τὰν ἐσσίαν τῶ ἀριθμῶ καττὰν) δύναμιν, ἅτις ἐντὶ ἐν τᾷ δεκάδι· μεγάλα γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἀγεμὼν κοινωνοῦσα . . . δύναμις καὶ τᾶς δεκάδος. ἄνευ δὲ ταύτας πάντα ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ*[a]*. νομικὰ γὰρ ἁ φύσις ἁ τῶ ἀριθμῶ καὶ ἀγεμονικὰ καὶ διδασκαλικὰ τῶ ἀπορουμένω παντὸς καὶ ἀγνοουμένω παντί. οὐ γὰρ ἦς**) δῆλον οὐθενὶ οὐθὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω ποτ' ἄλλο, αἰ μὴ ἦς***) ἀριθμὸς καὶ ἁ τούτω ἐσσία. νῦν δὲ οὗτος καττὰν†) ψυχὰν ἁρμόσδων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα*[b]* ἀλλάλοις κατὰ γνώμονος φύσιν††) ἀπεργάζεται, σωματιῶν καὶ σχίζων†††) τὼς λόγως χωρὶς ἑκάστως τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων . . . ἴδοις δέ κα οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τὼ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπινοῖς ἔργοις καὶ λόγοις πᾶσι παντᾷ, καὶ κατὰ τὰς δαμιουργίας τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν. ψεῦδος δὲ οὐθὲν δέχεται ἁ τῶ ἀριθμῶ φύσις οὐδὲ ἁρμονία· οὐ γὰρ οἰκεῖον αὐτοῖς ἐντί· τᾶς γὰρ ἀπείρω καὶ ἀνοήτω καὶ ἀλόγω φύσιος τὸ ψεῦδος καὶ ὁ φθόνος ἐντί*[c].

a) Cf. Aristot. Met. *A*, 5; Theo Smyrn. Plat. Mathem. II, 49, p. 166. *ἡ μέντοι δεκὰς πάντα περαίνει τὸν ἀριθμόν, ἐμπεριέχουσα πᾶσαν φύσιν ἐντὸς αὑτῆς ἀρτίου τε καὶ περιττοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ· περὶ ἧς καὶ Ἀρχύτας ἐν τῷ περὶ τῆς δεκάδος καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως πολλὰ διεξίασιν.* Theologum. Arithm. 10, p. 60 sq., ubi hic numerus omnium elementa intra se continere dicitur: *στερεὰ καὶ ἐπίπεδα, ἄρτιά τε καὶ περισσὰ καὶ ἀρτιοπέρισσα, καὶ*

---

*) Vulgo *τῶν ἀριθμῶν κατά*. Corr. Boeckh. Philol. p. 139. — **) Vulgo *ἐντὶ. ἧς* Boeckh ex coni. Koenii ad Gregor. Corinth. p. 259. — ***) Vulgo *εἷς*. Corr. Koen. l. l. — †) Vulgo *κατά. καττὰν* coni. Boeckh. — ††) V. Boeckh. Philol. p. 142 sq. — †††) Coni. Boeckh. pro *σωμάτων. σωματῶν* et *σχίζων* h. e. corpora formans et disiungens.

τέλεια πᾶσι τρόποις, πρωτά τε καὶ ἀσύνθετα, ἰσότητά τε καὶ ἀνισότητα, τὰς δὲ δέκα σχέσεις, διαμετρικά τε καὶ σφαιρικὰ καὶ κυκλικά etc. — *διόπερ καὶ ἐπωνόμαζον αὐτὴν θεολογοῦντες οἱ Πυθαγορικοὶ ποτὲ μὲν κόσμον, ποτὲ δὲ οὐρανόν, ποτὲ δὲ πᾶν, ποτὲ δὲ εἱμαρμένην καὶ αἰῶνα, κράτος τε καὶ πίστιν καὶ ἀνάγκην. — Πίστις γε μὴν καλεῖται, ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις πίστιν βεβαίαν ἔχομεν.* Quaternarium numerum quasi compendium et originem denarii esse docebant, quia si addendo coniungas unum duo tria quatuor, efficiuntur decem, cf. Vit. Pythag. ap. Phot. Bibl. p. 712. *ἐπειδὴ πάντα εἰς τοὺς ἀριθμοὺς ἀνῆγον ἔκ τε τῆς μονάδος καὶ τῆς δυάδος καὶ τὰ ὄντα πάντα ἀριθμοὺς προσηγόρευον, ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα, ὁ δὲ δέκα σύνθεσις τῶν τεσσάρων κατὰ τὸ ἑξῆς ἀριθμούντων ἡμῶν, διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.* Inde iuramentum illud Pythagorae per tetractyn: *Οὐ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν, Παγὰν ἀενάου φύσεως ῥιζώματ' ἔχουσαν*, Carm. aur. 47. Cf. Lucian. pro lapsu inter salut. 5. *εἰσὶ δὲ οἳ καὶ τὴν τετρακτύν, τὸν μέγιστον ὅρκον αὐτῶν, ἢ τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖ, ἤδη καὶ ὑγιείας ἀρχὴν ἐκάλεσαν, ὧν καὶ Φιλόλαός ἐστιν.* — **b)** Sensus: Numerus facit ut omnia cognosci possint. Eodem sensu iunguntur *σύμμετρα* et *προσήγορα* a Moderato Neo-Pythagorico ap. Stob. Ecl. I, p. 864. — **c)** Sequuntur haec, aliunde ut videtur petita: *ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐμπίτνει· πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσι τὸ ψεῦδος, ἁ δ' ἀλάθεια οἰκεῖον καὶ σύμφυτον τᾷ τῶ ἀριθμῶ γενεᾷ.*

Vides cur tantum numeris a Pythagoreis tributum sit: quia summam inter eos et rerum principia convenientiam esse et verissimam iis rerum cognoscendarum regulam contineri persuasum habebant. Id ipsum significat Aristot. Met. *A*, 5. *ἐν δὲ τούτοις καὶ πρὸ τούτων* (dixerat de Anaxagora, Parmenide, Empedocle, Leucippo et Democrito) *οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς ᾠήθησαν εἶναι πάντων*: quamquam quo sensu ita statuerint, id non semper eodem modo explicat. Nonnunquam enim eos similitudine quadam inter res ac numeros ductos principia disciplinae suae posuisse affirmat, velut loco citato, ubi sic pergit: *ἐπεὶ δὲ τούτων* (*τῶν μαθημάτων*), *οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς, ἕτερον δὲ καιρὸς καὶ τῶν ἄλλων ὡς εἰπεῖν ἕκαστον ὁμοίως* (v. infra n. 66), *ἔτι δὲ τῶν ἁρμονιῶν**) *ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη καὶ τοὺς λόγους· ἐπειδὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν, οἱ δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν.* Cf. n. 55, not. a. Adde Met. *A*. 6.

---

*) Ita Bonitz pro *ἁρμονικῶν*, v. ei. comm. in Metaph. p. 78.

οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. Met. *N*, 3. *οἱ δὲ Πυθαγόρειοι διὰ τὸ ὁρᾶν πολλὰ τῶν ἀριθμῶν πάθη ὑπάρχοντα τοῖς αἰσθητοῖς σώμασιν, εἶναι μὲν ἀριθμοὺς ἐποίησαν τὰ ὄντα, οὐ χωριστοὺς δέ* (velut Plato ideas separabat a rebus), *ἀλλ' ἐξ ἀριθμῶν τὰ ὄντα.* Aliis enimvero locis numerum et elementa numeri secundum Pythagoreos et principia et substantiam rerum omnium esse diserte dicit, veluti eo loco, qui citabitur n. 55 aliisque consimilibus, qui passim allegabuntur, cf. de Coelo III, 1 extr. *ἔνιοι γὰρ τὴν φύσιν ἐξ ἀριθμῶν συνιστᾶσιν, ὥσπερ τῶν Πυθαγορείων τινές.* Eodem sensu inferiores Pythagorei Acusmaticos et Hippasum eo descivisse a magistro contendebant, quod numerum nonnisi *παράδειγμα* rerum esse posuissent, v. supra n. 47, not. c. Dixeris antiquiores parum distincte de his locutos esse, recentiores admixta Platonis de ideis doctrina in apertam dissensionem et diversas sectas abiise: quo pertinent et illae de Hippaso narrationes fabulosae et hoc fragmentum suppositum Theanus ap. Stob. Ecl. I, p. 302. *ὁ δὲ* (*Πυθαγόρας*) *οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι.*

Arist. Met. *A*, 5. *Φαίνονται δὴ καὶ οὗτοι* (sc. *οἱ Πυθαγόρειοι*) *τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τούτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων (καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν), τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανόν* [a]. *ἕτεροι δὲ τῶν αὐτῶν τούτων τὰς ἀρχὰς δέκα λέγουσιν εἶναι τὰς κατὰ συστοιχίαν λεγομένας,* 55

πέρας	*ἄπειρον,*
περιττὸν	*ἄρτιον,*
ἓν	*πλῆθος,*
δεξιὸν	*ἀριστερόν,*
ἄρρεν	*θῆλυ,*
ἠρεμοῦν	*κινούμενον,*
εὐθὺ	*καμπύλον,*
φῶς	*σκότος,*
ἀγαθὸν	*κακόν,*
τετράγωνον	*ἑτερόμηκες* [b],

ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι οὗτος παρ' ἐκείνων ἢ ἐκεῖνοι παρὰ τούτου παρέλαβον τὸν λόγον τοῦτον· καὶ γὰρ ἐγένετο τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ ὥσπερ οὗτοι διωρισμένας, ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν μέλαν,

γλυκὺ πικρόν, ἀγαθὸν κακόν, μέγα μικρόν [c]. οὗτος μὲν οὖν ἀδιορίστως ἐπέρριψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. παρὰ μὲν οὖν τούτων ἀμφοῖν [d] τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσιν. πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν οὐ διήρθρωται παρ' ἐκείνων, ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. — — οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς [e] κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον, τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις, οἷον πῦρ ἢ γῆν ἤ τι τοιοῦτον ἕτερον, ἀλλ' αὐτὸ τὸ ἄπειρον καὶ αὐτὸ τὸ ἓν οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται, διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων.

a) His illustrantur ea, quae in antecedentibus citavimus ex opere Philolai. Pro *πεπερασμένον* Aristoteles debebat scribere *πέρας*, velut in subsequenti tabula contrariorum opponuntur *πέρας* et *ἄπειρον* et deinde *περιττὸν* et *ἄρτιον*: *πέρας* vero est i. q. *περαῖνον*, quo vocabulo utitur Philolaus. Finitur enim *τὸ ἄρτιον ὑπὸ τοῦ περιττοῦ*, v. Arist. Phys. III, 4. *καὶ οἱ μὲν (Πυθαγόρειοι) τὸ ἄπειρον εἶναι τὸ ἄρτιον· τοῦτο γὰρ ἐναπολαμβανόμενον καὶ ὑπὸ τοῦ περιττοῦ περαινόμενον παρέχειν τοῖς οὖσι τὴν ἀπειρίαν*: ad quem locum Simplic. Phys. f. 105 a. *οὗτοι δὲ τὸ ἄπειρον τὸν ἄρτιον ἀριθμὸν ἔλεγον διὰ τὸ πᾶν μὲν ἄρτιον, ὥς φασιν οἱ ἐξηγηταί, εἰς ἴσα διαιρούμενον ἄπειρον κατὰ τὴν διχοτομίαν. — τὸ δὲ περιττὸν προστεθὲν περαίνει αὐτό· κωλύει γὰρ αὐτοῦ τὴν εἰς τὰ ἴσα διαίρεσιν.* — **b)** Decem principia (cave dicas categorias) ab his poni dicit, quia dena paria oppositorum numerat, *τὰς ἀρχὰς τὰς κατὰ συστοιχίαν λεγομένας*, vocabulo *συστοιχία* ab ordinibus vel militum vel chori ad rationes notionum translato. Quod dicit *ἕτεροι δὲ τῶν αὐτῶν τούτων*, apparet eum alios nunc auctores sequi atque in superioribus, cf. Meteorol. I, 6. *τῶν δ' Ἰταλικῶν τινες καὶ καλουμένων Πυθαγορείων*, ib. 8; De An. I, 2, 4. *ἔφασαν γάρ τινες αὐτῶν*. De Sens. et Sensil. 5. — **c)** Alcmaeon Crotoniata, qui Pythagorae suppar erat, *φυσικὸν λόγον* composuisse dicitur, quo principia Pythagoreorum ad physiologiam et artem medicam, quibus maxime studebat, liberius applicaverat. Ad bina opposita eum *τὰ πολλὰ τῶν ἀνθρωπίνων* revocasse repetit Diog. L. VIII, 83. De fragmentis et doctrina eius cf. Unna in Stud. philol.-histor. ed. Petersen, Hamb. 1832, p. 41—87; Krische *Forsch.* p. 68—78. — **d)** Alcmaeonem dicit et eos e Pythagoreis, qui decem contrariorum paria posuerant. In sequentibus *τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων* apparet respi-

cere ad eos, de quibus dixerat ante auctores decem oppositorum; *οἱ ἐκεῖνοι* vero in verbis *σαφῶς μὲν οὐ διήρθρωται* etc. videntur esse hi ipsi auctores. — **e)** In iis, quae omisimus, sermo fuerat de Eleaticis, maxime de Parmenide. Duo principia nunc ita numerat, ut dena opposita alterius utrius columnae ad unum revocet; nam *τὸ πέρας* est idem atque *τὸ περιττόν*, *τὸ ἄρρεν*, *τὸ ἀγαθόν* etc. Quapropter prior series nonnunquam boni series, altera pravi, privativi, infiniti series appellatur, v. Eth. Nic. I, 4. *οἱ Πυθαγόρειοι — τιθέντες ἐν τῇ τῶν ἀγαθῶν συστοιχίᾳ τὸ ἕν*, Phys. III, 2. *τῆς δὲ ἑτέρας συστοιχίας αἱ ἀρχαὶ διὰ τὸ στερητικαὶ εἶναι ἀόριστοι*, et Simpl. Phys. f. 98 a. b., quae ad Pythagoreos referenda esse intelligitur ex Eudemi aliorumque Aristotelis interpretum testimoniis. In singulis oppositis multum variabatur, v. Varro de Ling. Lat. V, 11. *Pythagoras Samius ait omnium rerum initia esse bina, ut finitum et infinitum, bonum et malum, vitam et mortem, diem et noctem.* Cf. Plut. de Is. et Osir. 48; Simpl. Phys. f. 6 b. *τινὲς μέντοι καὶ μέχρι δεκάδος προήγαγον τὰς ἀρχάς —, ὥσπερ οἱ Πυθαγόρειοι τοὺς ἀπὸ μονάδος ἄχρι δεκάδος ἀριθμοὺς ἔλεγον τῶν ἁπάντων ἢ τὰς δέκα συστοιχίας, ἃς ἄλλως ἀνέγραψαν.*

Philolaus ap. Stob. Ecl. I, p. 458. *Περὶ δὲ φύσιος καὶ* 56
*ἁρμονίας ὧδε ἔχει· ἃ μὲν ἐστιὼ τῶν**) *πραγμάτων ἄϊδιος ἔσσα καὶ αὐτὰ μὲν ἃ φύσις θείαν τε καὶ οὐκ ἀνθρωπίναν ἐνδέχεται γνῶσιν πλὰν γα, ἢ ὅτι οὐχ οἷόν τ' ἦς οὐθενὶ τῶν ἐόντων καὶ γιγνωσκομένων ὑφ' ἁμῶν γνωσθῆμεν***), *μὴ ὑπαρχοίσας αὐτᾶς ἐντὸς****) *τῶν πραγμάτων, ἐξ ὧν ξυνέστα ὁ κόσμος, τῶν τε περαινόντων καὶ τῶν ἀπείρων*[a]. *ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁμόφυλοι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆμεν, εἰ μὴ ἁρμονία ἐπεγένετο, ὡτινιῶν τρόπῳ ἐγένετο. τὰ μὲν ὧν ὁμοῖα καὶ ὁμόφυλα ἁρμονίας οὐθὲν ἐπεδέοντο· τὰ δὲ ἀνόμοια μηδὲ ὁμόφυλα μηδὲ ἰσολαχῆ, ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, αἰ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι*[b].

a) Sensus: Aeterna rerum substantia et natura divinam, non humanam cognitionem requirit, nisi quantum subest finitis illis atque infinitis principiis, ex quibus constat mundus, unde etiam ab homine aliquatenus cognosci potest. *ἃ ἐστὼ τῶν πραγμάτων* et *αὐτὰ ἃ φύσις* sunt idem quod *δεκάς, ἀριθμὸς καὶ ἃ τούτω ἐσσία, φύσις τῷ ἀριθμῷ* in n. 54. — **b)** Quum principia illa sint dissimilia, mundus non poterat ex iis existere, nisi harmonia accessisset. Harmonia enim est ea ratio, qua opposita continentur atque ad mundi compositionem consociantur, cf. Diog.

---

*) Vulgo *ἐστώτων*. Corr. Boeckh. p. 62. — **) Vulgo *γεγενέσθαι*. Corr. Boeckh. — ***) Vulgo *τὰς ἐν τούς*. Corr. Heeren.

L. VIII, 85. de Philolao: *δοκεῖ δὲ αὐτῷ πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γενέσθαι*, et Nicom. Arithm. II, 19, p. 59. *ἁρμονία δὲ πάντως ἐξ ἐναντίων γίγνεται· ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ διχοφρονούντων συμφρόνησις*, quae definitio est Pythagorica, v. Ast ad Nicom. p. 299. Sequitur apud Stobaeum accuratior definitio harmoniae, quam musici appellabant, ex Philolao excerpta, neque dubitari potest quin et ipse rem numeris explicuerit, v. Boeckh. p. 65 sqq. Constat enim vel Pythagoram vel Pythagoreos primos consonantiarum momenta vel proportiones numeris determinasse octavamque, quam nos vocamus, interposuisse, v. Xenocrates et Heraclides ap. Porphyr. in Ptol. Harm. p. 213; Nicomach. Harm. Man. I, p. 9 sq. Meibom; Boeth. de Musica I, c. 10, 11; Diog. L. VIII, 12. Octonus sonus illis omninoque antiquissimis musicis appellabatur harmonia.

57 Stob. Ecl. Phys. I, p. 418. *Φιλόλαος ἄφθαρτον τὸν κόσμον εἶναι· λέγει γοῦν οὕτως ἐν τῷ περὶ ψυχῆς· „Παρὰ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα. οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς*[a] *εὑρεθήσεται οὔτ' ἐκτοσθεν, φθεῖραι αὐτὸν δυναμένα, ἀλλ' ἧς ὅδε ὁ κόσμος ἐξ αἰῶνος καὶ ἐς αἰῶνα διαμένει, εἷς ὑπὸ ἑνὸς τῶν συγγενέων καὶ κρατίστω καὶ ἀνυπερθέτω κυβερνώμενος"*[b].

Quae sequuntur interpositis Stobaei interpretamentis locutionibusque a Philolao alienis adeo corrupta sunt, ut quid ipsius Philolai sit quid minus non liqueat, cf. Boeckh. p. 166 sq.; quare a nobis prior tantummodo pars apposita est, quae tamen et ipsa aliquid vitii contraxisse videtur, cf. Ahrens de dial. Dor. p. 24; Zeller *d. Philos. d. Gr.* I, p. 269 ed. 2. — **a)** Supplendum est *τᾶς ψυχᾶς* scil. *τῶ κόσμω*. Connexum cum antecedentibus indicat Claudian. Mam. de Stat. An. II, 3. *priusquam de animae substantia decernat, de mensuris, ponderibus et numeris iuxta geometricam, musicam atque arithmeticam mirifice disputat, per haec omnia universum exstitisse affirmans,* cf. Boeckh. Philol. p. 85 sqq. et quae de anima humana disputabuntur infra. Utraque enim, anima mundi et anima hominis, est harmonia et numerus, quo omnia in universo constant et continentur, v. Iamblich. ad Nicom. Arithm. p. 11. *Φιλόλαος δέ φησιν ἀριθμὸν εἶναι τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν κρατιστεύουσαν καὶ αὐτογενῆ συνοχήν.* — **b)** Dicit deum s. Unum, v. sqq.

58 Philol. ap. Iambl. in Nicom. Arithm. p. 109. *Ἓν ἀρχὰ πάντων.* Id. ap. Phil. d. Mund. Opif. 33, p. 24 Mang. *Ἐντὶ γὰρ ὁ ἁγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς εἷς ἀεὶ ἐών, μόνιμος, ἀκίνατος, αὐτὸς αὑτῷ ὁμοῖος, ἄτερος τῶν ἄλλων.*

Cf. Aristot. Met. *M*, 6. *τῶν Πυθαγορείων ὅσοι τὸ ἓν στοιχεῖον καὶ ἀρχὴν φασιν εἶναι τῶν ὄντων.* Athenag. Leg. p. Christ. 6, p. 25 Oxon.:

καὶ Φιλόλαος δὲ ὥσπερ ἐν φρουρᾷ πάντα ὑπὸ τοῦ θεοῦ περιειλῆφθαι λέγων καὶ τὸ ἕνα εἶναι καὶ τὸ ἀνωτέρω τῆς ὕλης δεικνύει, cf. Boeckh. p. 151. A posterioribus distinguebatur inter unum et unitatem, *ἕν* et *μονάδα*. Illud primum numerum, hanc omnium numerorum atque rerum causam atque originem dicebant, v. Theo Smyrn. Math. 4. *ὥστε εἴη ἂν ἀρχὴ τῶν μὲν ἀριθμῶν ἡ μονάς, τῶν δὲ ἀριθμητῶν τὸ ἕν. — Ἀρχύτας δὲ καὶ Φιλόλαος ἀδιαφόρως τὸ ἓν καὶ μονάδα καλοῦσι καὶ τὴν μονάδα ἕν.*

Simpl. ad Arist. Phys. fol. 39a. *Καὶ οἱ Πυθαγόρειοι δὲ* 59
οὐ τῶν φυσικῶν μόνον, ἀλλὰ καὶ πάντων ἁπλῶς μετὰ τὸ ἕν, ὃ πάντων ἀρχὴν ἔλεγον, ἀρχὰς δευτέρας καὶ στοιχειώδεις τὰ ἐναντία ἐτίθεσαν, αἷς καὶ τὰς δύο συστοιχίας ὑπέταττον[a], *οὐκέτι κυρίως ἀρχαῖς οὔσαις. γράφει δὲ περὶ τούτων ὁ Εὔδωρος τάδε· „Κατὰ τὸν ἀνωτάτω λόγον φατέον τοὺς Πυθαγορικοὺς τὸ ἓν ἀρχὴν τῶν πάντων λέγειν, κατὰ δὲ τὸν δεύτερον λόγον δύο ἀρχὰς τῶν ἀποτελουμένων εἶναι, τό τε ἓν καὶ τὴν ἐναντίων τούτῳ φύσιν· ὑποτάσσεσθαι δὲ πάντων τῶν κατ' ἐναντίωσιν ἐπινοουμένων τὸ μὲν ἀστεῖον τῷ ἑνί, τὸ δὲ φαῦλον τῇ πρὸς τοῦτο ἐναντιουμένῃ φύσει. διὸ μηδὲ εἶναι τὸ σύνολον ταύτας ἀρχὰς κατὰ τοὺς ἄνδρας. εἰ γὰρ ἡ μὲν τῶνδε ἡ δὲ τῶνδέ ἐστιν ἀρχή, οὐκ εἰσὶ κοιναὶ πάντων ἀρχαί, ὥσπερ τὸ ἕν.“ καὶ πάλιν· „Διό“, φησί, „καὶ κατὰ ἄλλον τρόπον ἀρχὴν ἔφασαν εἶναι τῶν πάντων τὸ ἕν, ὡς ἂν καὶ τῆς ὕλης καὶ τῶν ὄντων πάντων ἐξ αὐτοῦ γεγενημένων, τοῦτο δ' εἶναι τὸν ὑπεράνω θεόν“*[b]. *καὶ λοιπὸν ἀκριβολογούμενος ὁ Εὔδωρος ἀρχὴν μὲν αὐτοὺς τὸ ἓν τίθεσθαι λέγει, στοιχεῖα δὲ ἀπὸ τοῦ ἑνὸς γενέσθαι φησίν, ἃ πολλοῖς ὀνόμασιν αὐτοὺς προσαγορεύειν. λέγει γάρ· „Φημὶ τοίνυν τοὺς περὶ τὸν Πυθαγόραν τὸ μὲν ἓν ἀρχὴν πάντων ἀπολιπεῖν, κατ' ἄλλον δὲ τρόπον δύο τὰ ἀνωτάτω στοιχεῖα παρεισάγειν, καλεῖν δὲ τὰ δύο ταῦτα στοιχεῖα πολλαῖς προσηγορίαις· τὸ μὲν γὰρ αὐτῶν ὀνομάζεται τεταγμένον, ὡρισμένον, γνωστόν, ἄρρεν, περιττόν, δεξιόν, φῶς· τὸ δὲ ἐναντίον τούτῳ ἄτακτον, ἀόριστον, ἄγνωστον, θῆλυ, ἄρτιον, ἀριστερόν, σκότος“*[c].

a) V. supra n. 55. — **b)** Sensus: Necesse erat ut praeter et supra illa opposita, quibus mundus agitaretur, Unum statuerent, quod omnium oppositorum origo et regula esset. Id esse deum supremum scil. Unum illud vel Deum unicum et sempiternum ap. Philolaum in n. 58. — **c)** Cf. Sext. Emp. adv. Math. X, 270. Discrimen inter *ἀρχὴν* et *στοιχεῖον* dandum Eudoro Peripatetico, Strabonis aequali. Ad Pythagoreorum doctrinam id maxime pertinet, quod principium i. e. Unum divinum, quod

posterioribus solebat appellari *ἡ Μονάς*, separatur ab oppositis, quae sunt secundi ordinis: in quibus quod denuo enumerabatur Unum, id cogitandum opposita multitudine.

60 Theophr. Met. 9. *Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι — — καθάπερ ἀντίθεσίν τινα ποιοῦσι τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός*[a], *ἐν ᾗ καὶ τὸ ἄπειρον καὶ τὸ ἄτακτον καὶ πᾶσα, ὡς εἰπεῖν, ἀμορφία καθ' αὑτήν· ὅλως δὲ οὐχ οἷόν τε**) *ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ' οἷον ἰσομοιρεῖν ἢ καὶ ὑπερέχειν τῆς ἑτέρας ᾗ***) *καὶ τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεόν, ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσι, δύνασθαι πάντ' εἰς τὸ ἄριστον ἄγειν, ἀλλ' εἴπερ, ἐφ' ὅσον ἐνδέχεται· τάχα δ' οὐδ' ἂν προέλοιτ', εἴπερ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν, ἐξ ἐναντίων γε καὶ ἐναντίοις οὖσαν*[b].

a) De infinita dyade, cuius frequens apud Platonicos et Pythagoreos inferiores mentio est, cf. Zeller l. c. p. 259 sqq. et {Bonitz Arist. fragm. 23 p. 1478 a}. Eam recentiores ex Uno primum procreatam et materiam ceterorum numerorum atque corporum fuisse dicebant, Diog. L. VIII, 25. ex recentiore compendio doctrinae Pythagoricae: *ἀρχὴν μὲν ἁπάντων μονάδα, ἐκ δὲ τῆς μονάδος ἀόριστον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑποστῆναι· ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος τοὺς ἀριθμούς, ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα, ἐκ δὲ τούτων τὰς γραμμάς, ἐξ ὧν τὰ ἐπίπεδα σχήματα* etc. Cf. Plut. de Pl. Ph. I. 7. *Πυθαγόρας τῶν ἀρχῶν τὴν μὲν μονάδα θεὸν καὶ ἀγαθόν, ἥτις ἐστὶν ἡ τοῦ ἑνὸς φύσις, αὐτὸς ὁ νοῦς, τὴν δ' ἀόριστον δυάδα δαίμονα καὶ τὸ κακόν, περὶ ἣν ἐστι τὸ ὑλικὸν πλῆθος.* — **b)** Recte dicit quod mundum ex sententia Pythagoreorum sine informi cogitari non posse dicit. Nimium contendit quod deteriorem naturam alteri parem vel superiorem esse affirmat. Bene vero etiam id a Theophrasto exponitur, quod Pythagorei boni efficaciam absolutam esse negabant bonumque et malum una eademque causa eodemque numine divino contineri statuebant, cf. Theo Smyrn. Plat. Math. II, 49, p. 166, qui locus citatur supra n. 54, not. a.

61 Arist. Met. *Λ*, 7. *Ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον.*

---

*) Videtur supplendum *εἶναι*. — **) Vulgo *ἤ*.

Opponuntur placita Pythagoreorum et doctrina ipsius Aristotelis. Aristoteles enim deum perfectum esse et naturam immutabilem, ab omni rerum vicissitudine liberam statuebat: Pythagorei contra deum seminis instar in ipsis rerum vicissitudinibus inesse et cum rebus augeri et perfici statuebant.

Cic. de Nat. Deor. I, 11. Pythagoras — censuit animum 62
esse (sc. deum) per naturam rerum omnem intentum et commeantem, ex quo nostri animi carperentur.

Cf. Sext. Empir. adv. Math., IX, 127, qui Pythagoreos propter hoc dogma ab esu animalium abstinuisse affirmat. Doctrinam de anima mundi ad Pythagoreos referendam esse confirmant recentiores, cf. Stob. Ecl. Phys. I, p. 452, qui hoc affert Philolai fragmentum, quod a Stoicis petitum esse apparet: *τὸ δὲ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπεως δίκην προὐβάλλετο τῆς τοῦ παντὸς σφαίρας*) ὁ δημιουργὸς θεός,* Cf. Krische *Forschungen* p. 80 sq. et infra n. 68.

Aristot. Met. *N*, 3. *Οἱ μὲν οὖν Πυθαγόρειοι πότερον οὐ* 63
ποιοῦσιν ἢ ποιοῦσι γένεσιν οὐθὲν δεῖ διστάζειν[a]· *φανερῶς γὰρ λέγουσιν ὡς τοῦ ἑνὸς συσταθέντος, εἴτ' ἐξ ἐπιπέδων εἴτ' ἐκ χροιᾶς εἴτ' ἐκ σπέρματος εἴτ' ἐξ ὧν ἀποροῦσιν εἰπεῖν*[b], *εὐθὺς τὰ ἔγγιστα τοῦ ἀπείρου ὅτι εἵλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ πέρατος.* Stob. Ecl. Phys. I, p. 380. *Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς Ἀκροάσεως γράφει· „Εἶναι δέ φασιν οἱ Πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι“*[c]. *ἐν δὲ τῷ περὶ Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει· „Τὸν δὲ οὐρανὸν εἶναι ἕνα. ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενόν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί“*[d].

a) Cf. Stob. Ecl. I, p. 450. *Πυθαγόρας φησὶ γεννητὸν κατ' ἐπίνοιαν τὸν κόσμον, οὐ κατὰ χρόνον* i. e. ponebant mundum olim non exstitisse, ut compositionem eius luculentius enarrarent, revera mundum ab omni tempore exstitisse putabant. Quid quod nonnunquam etiam numeros ipsamque harmoniam gigni putasse perhibentur, cf. Arist. Met. *N*, 3 extr., qui Met. *N*, 4, si non solos Pythagoreos, tamen praecipue hos respiciens, *ὥστε φανερόν*, inquit, *ὅτι οὐ τοῦ θεωρῆσαι ἕνεκεν ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν.* Minus tribuendum Plutarcho Pl. Ph. II, 4, a quo confunduntur placita Platonis et Pythagoreorum. — **b)** Cf. Arist. Met. *M*, 6. *ὅπως δὲ τὸ πρῶτον ἓν συνέστη ἔχον μέγεθος ἀπορεῖν ἐοίκασιν*, Met. *N*, 4. *τοῦ μὲν οὖν περιττοῦ γένεσιν οὔ φασιν.* Cf. n. 64. — **c)** Arist. Phys. IV, 6. *εἶναι δ' ἔφασαν οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι αὐτὸ*

---

*) *σφαίρας* adi. Heeren.

τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ διορίσεως· καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν. — **d)** Mundus igitur primitus unus atque individuus esse ponitur. Deinde inane ex infinito in mundum ingreditur numerosque dirimit h. e. efficit ut ex numero s. Uno generetur multitudo rerum, cf. supra n. 53. 55, not. a. Exinde nascuntur tempus et spiritus et vacuum, quod loca dirimit. Spiritus (*πνοή*) est quasi respiratio mundi, qui ponitur esse tanquam *ζῷον*: *ἄπειρον πνεῦμα* est infinitum extra mundum positum, quod mundus spiritu ducit eoque modo in se recipit; nimirum constant omnia ex finitis et infinitis, v. n. 52. Quid sit *ἡ πνοὴ* et *τὸ πνεῦμα* difficile dictu est. Ne aerem interpreteris facit Arist. Phys. III, 4 diserte affirmans Pythagoreos et Platonem infinitum posuisse esse *καθ' αὑτό, οὐχ ὡς συμβεβηκός τινι ἑτέρῳ, ἀλλ' οὐσίαν αὐτὸ ὄν, — καὶ εἶναι τὸ ἔξω τοῦ οὐρανοῦ ἄπειρον.* Cf. Plutarch. Pl. Ph. II, 9. *οἱ — ἀπὸ τοῦ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενόν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.* Affertur syllogismus Archytae, quo infinitum extra mundum esse demonstratur, ab Eudemo ap. Simplic. Phys. f. 108 a; verum is Peripateticorum formulis adeo immutatus est et amplificatus, ut inane non tam extra mundum esse demonstretur quam prorsus e rerum natura tollatur. — Mundus spiritu perflatus quo pacto moveri coeperit describitur fragmento obscuriore Philolai ap. Stob. I, p. 420: *ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινάσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν καὶ συνεχὴς καὶ φύσι διαπνεόμενος καὶ περιαγεόμενος ἐξ ἀϊδίω*: de quo loco cf. Boeckh p. 167 sq. {De vacuo Pythag. cf. *Stud. z. Gesch. d. Begr.*, p. 555.}

64 Alex. Aphrod. in Arist. Metaph. *A*, Scholl. Arist. p. 551 a. *Ἀρχὰς μὲν τῶν ὄντων τοὺς ἀριθμοὺς Πλάτων τε καὶ οἱ Πυθαγόρειοι ὑπετίθεντο, ὅτι ἐδόκει αὐτοῖς τὸ πρῶτον ἀρχὴ εἶναι καὶ τὸ ἀσύνθετον, τῶν δὲ σωμάτων πρῶτα τὰ ἐπίπεδα εἶναι. τὰ γὰρ ἁπλούστερά τε καὶ μὴ συναιρούμενα πρῶτα τῇ φύσει, ἐπιπέδων δὲ γραμμαὶ κατὰ τὸν αὐτὸν λόγον, γραμμῶν δὲ στιγμαί, ἃς οἱ μαθηματικοὶ σημεῖα, αὐτοὶ δὲ μονάδας ἔλεγον, ἀσύνθετα παντάπασιν ὄντα καὶ οὐθὲν πρὸ αὐτῶν ἔχοντα· οἱ δὲ μονάδες ἀριθμοί, οἱ ἀριθμοὶ ἄρα πρῶτοι τῶν ὄντων.*

Huic doctrinae multa aliena ab recentioribus admixta sunt, v. Sextus Emp. adv. Math. X, 249 sqq., ut dubitatum sit an possit ad veteres Pythagoreos referri. Retulit vero iam Aristoteles Met. Z, 2. *Δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι, καὶ μᾶλλον ἢ τὸ σῶμα καὶ τὸ στερεόν*: ubi de Pythagoreis sermonem esse cernitur inde, quod in sequentibus Platonis doctrina ab ea, quam modo tractavit, diserte distinguitur. Similiter ib. *N*, 5. *οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν*

καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι, οἷον αἱ στιγμαὶ τῶν μεγεθῶν, καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, κτλ. De Coelo III, 1. ἔνιοι γὰρ τὴν φύσιν ἐξ ἀριθμῶν συνιστᾶσιν, ὥσπερ τῶν Πυθαγορείων τινές. τὰ μὲν γὰρ φυσικὰ σώματα φαίνεται βάρος ἔχοντα καὶ κουφότητα, τὰς δὲ μονάδας οὔτε σῶμα ποιεῖν οἷόν τε συντιθεμένας, οὔτε βάρος ἔχειν. Aliis tamen locis magnitudo numeris Pythagoreorum ab Aristotele tribuitur, velut ubi comparantur cum atomis, de An. I, 4. δόξειε δ' ἂν οὐθὲν διαφέρειν μονάδας λέγειν ἢ σωμάτια μικρά. Cf. de Coelo III, 4. Quid quod etiam primariam unitatem magnitudinem habere testatur, Met. *M*, 6. καὶ οἱ Πυθαγόρειοι δ' ἕνα τὸν μαθηματικὸν (sc. ἀριθμόν), πλὴν οὐ κεχωρισμένον ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς οὐσίας συνεστάναι φασίν· τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ μοναδικῶν, ἀλλὰ τὰς μονάδας ὑπολαμβάνουσιν ἔχειν μέγεθος· ὁπως δὲ τὸ πρῶτον ἓν συνέστη ἔχον μέγεθος ἀπορεῖν ἐοίκασιν: ubi tamen cavendum ne quae sunt Aristotelis conclusiones, ipsorum Pythagoreorum placita fuisse existimes, v. Ritter *Gesch. d. Philos.* I, p. 405 sq. — A ceterorum via in his deflexisse traditur Ecphantus, de cuius doctrina et aetate ceteroquin incertum est, cf. Stob. Ecl. I, p. 308. Ἔκφαντος Συρακούσιος, εἷς τῶν Πυθαγορείων, πάντων (sc. ἀρχὰς) τὰ ἀδιαίρετα σώματα καὶ τὸ κενόν· τὰς γὰρ Πυθαγορικὰς μονάδας οὗτος πρῶτος ἀπεφήνατο σωματικάς.

Nicom. Instit. Arithm. II, 6. p. 45. ed. Paris. Ἔσται οὖν 65
ἡ μονὰς σημείου λόγον ἐπέχουσα καὶ τόπον ἀρχὴ μὲν διαστημάτων καὶ ἀριθμῶν, οὔπω δὲ γραμμὴ οὐδὲ διάστημα· ἀμέλει οὔτε σημεῖον σημείῳ συντεθὲν πλέον τι ποιεῖ· ἀδιάστατον γὰρ ἀδιαστάτῳ συντεθὲν διάστημα οὐχ ἕξει, ὥσπερ εἴ τις τὸ οὐδὲν οὐδενὶ συντεθὲν σκέπτοιτο· οὐδὲν γὰρ ποιεῖ. — — ἀδιάστατος ἄρα ἡ μονὰς καὶ ἀρχοειδής, πρῶτον δὲ διάστημα εὑρίσκεται καὶ φαίνεται ἐν δυάδι, εἶτα ἐν τριάδι, εἶτα ἐν τετράδι, καὶ ἑξῆς ἐν τοῖς ἀκολούθοις· διάστημα γάρ ἐστι δυοῖν ὅρων τὸ μεταξὺ θεωρούμενον. πρῶτον δὲ διάστημα γραμμὴ λέγεται· γραμμὴ γάρ ἐστι τὸ ἐφ' ἓν διαστατόν· δύο δὲ διαστήματα ἐπιφάνεια· ἐπιφάνεια γάρ ἐστι τὸ διχῇ διαστατόν. τρία δὲ διαστήματα στερεόν· στερεὸν γάρ ἐστι τὸ τριχῇ διαστατόν.

Cf. Philo de Mundi Opif. 16. p. 11 Mang. Arist. Met. Z, 11. καὶ ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, καὶ γραμμῆς τὸν λόγον τὸν τῶν δύο εἶναί φασιν. Revocatur igitur magnitudinis, quae spatium implet, origo ad unitates s. numeros et ad intervallum. Illi sunt τὸ πέρας, hoc est τὸ ἄπειρον. Inde Aristoteles Met. *A*, 8. Ἐκ τούτων (sc. πέρατος καὶ ἀπείρου) εἶναι τὸ μέγεθος. Intervallum autem, quo disiunguntur numeri s. unitates, idem est quod τὸ κενόν, v. n. 63. Triangulo (τῷ τριχῇ διαστάντι) plurimum tribuebant in natura rerum atque deorum describenda, v. Boeckh Philol. p. 152 sqq.

66 Theol. Arithm. 8. p. 56. *Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν ἐν τετράδι, ποιότητα*) καὶ χρῶσιν ἐπιδειξαμένης**) τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐν ὀγδοάδι συμβῆναι τοῖς οὖσιν.*

Cf. Arist. Met. *A*, 5, qui locus citatur n. 54 not. Numerum septenarium etiam *καιρὸν* appellabant, v. Alex. Aphrod. in Arist. Met. *A*, 8 in Schol. Arist. p. 561 a; Theol. Arithm. 7, p. 45, cf. Arist. Met. *M*, 4; eumque omnium rerum modum esse ait Cicero Somn. Scip. 5. Eodem faciunt quae leguntur ap. Arist. Met. *N*, 6. *ἑπτὰ μὲν φωνήεντα, ἑπτὰ δὲ χορδαὶ ἢ ἁρμονίαι, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ δὲ* (sc. *ἔτεσιν*) *ὀδόντας βάλλει ἔνιά γε, ἔνια δ' οὔ, ἑπτὰ δὲ οἱ ἐπὶ Θήβας.* Constat haec de numeris eorumque rationibus commenta ab inferioribus Pythagoreis et Platonicis summo cum studio culta atque explicata esse: unde conflata est illa opinionum farrago, quae inscribitur Theologumena Arithmeticae ed. a. F. Astio, Lips. 1817. De numero septenario cf. etiam Varro ap. Gell. N. A. III, 10, de septenario et octonario Macrob. Somn. Scip. I, 5. 6.

67 Philol. ap. Stob. Ecl. I, p. 10. *Καὶ τὰ ἐν τῷ σφαίρᾳ σώματα πέντε ἐντί. ..... τὰ ἐν τῷ σφαίρᾳ πῦρ, ὕδωρ, καὶ γᾶ, καὶ ἀήρ· καὶ ὁ τᾶς σφαίρας ὁλκὸς***) πέμπτον.* Plut. de Pl. Ph. II, 6. *Πυθαγόρας πέντε σχημάτων ὄντων στερεῶν, ἅπερ καλεῖται καὶ μαθηματικά, ἐκ μὲν τοῦ κύβου φησὶ γεγονέναι τὴν γῆν, ἐκ δὲ τῆς πυραμίδος τὸ πῦρ, ἐκ δὲ τοῦ ὀκταέδρου τὸν ἀέρα, ἐκ δὲ τοῦ εἰκοσαέδρου τὸ ὕδωρ, ἐκ δὲ τοῦ δωδεκαέδρου τὴν τοῦ παντὸς σφαῖραν.*

Cf. Meineke ad Stob. l. c. Apud Philolaum exciderunt nonnulla post *τὰ ἐν τῷ σφαίρᾳ σώματα πέντε ἐντί*, nam sine dubio haec corpora esse adiecerat cubum, tetraedron, octaedron, icosaedron, dodecaedron. Ab illis repetuntur quae sunt in sphaera h. e. corpora elementorum, terrae, ignis, aeris, aquae. Quintum elementum quid dicatur obscurum est, *ὁ τᾶς σφαίρας ὁλκός*, si ita scribendum existimes, videtur esse id quod totum globum mundi circuit eumque comprehendit, *ἡ τοῦ παντὸς σφαῖρα*, ut ait Plutarchus. Nonnulli cogitaverunt de aethere, qui posterioribus dicitur *ἡ πέμπτη οὐσία*, v. Boeckh p. 160 sq.

---

*) Corr. Boeckh p. 158. Ed. Par. *διαστὰν τετράδι ποιότητι.* — **) Ast. coni. *ἐπιδεξαμένης.* — ***) Libb. *ὁ τὰς σφαίρας ὁλκάς.* Boeckh p. 160. *ἁ — ὁλκάς.*

Stob. Ecl. Phys. I, p. 488. *Φιλόλαος πῦρ ἐν μέσῳ περὶ* 68
τὸ κέντρον, ὅπερ Ἑστίαν τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον καὶ Μητέρα θεῶν, βωμόν τε καὶ συνοχὴν καὶ μέτρον φύσεως[a], *καὶ πάλιν πῦρ ἕτερον ἀνωτάτω τὸ περιέχον. πρῶτον δ' εἶναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώματα θεῖα χορεύειν, οὐρανόν, πλανήτας, μεθ' οὓς ἥλιον, ὑφ' ᾧ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, μεθ' ἃ σύμπαντα τὸ πῦρ, Ἑστίας ἐπὶ τὰ κέντρα τάξιν ἐπέχον*[b]. *τὸ μὲν οὖν ἀνωτάτω μέρος, τοῦ περιέχοντος*[c], *ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, Ὄλυμπον καλεῖ, τὰ δὲ ὑπὸ τὴν Ὀλύμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, Κόσμον· τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, Οὐρανόν*[d]. *καὶ περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίγνεσθαι τὴν σοφίαν, περὶ δὲ τὰ γενόμενα τῆς ἀταξίας τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην, ἀτελῆ δὲ ταύτην*[e].

a) Eodem pertinent quae supra citantur de anima mundi n. 62 not. *τὸ δὲ ἡγεμονικὸν ἐν τῷ μεσαιτάτῳ πυρί*, et quae ex Philolao afferuntur ab Stob. I, p. 468. *τὸ πρῶτον ἁρμοσθέν, τὸ ἓν ἐν τῷ μέσῳ τᾶς σφαίρας, Ἑστία καλεῖται.* — **b)** Cf. Boeckh de Platonico systemate coelestium globorum et de vera indole astronomiae Philolaicae, Heidelb. 1810, Philol. p. 114 sqq.; H. Martin *Études sur le Timée de Platon* II, p. 92 sqq. Verbis *περὶ δὲ τοῦτο — χορεύειν* significatur harmonia sphaerarum, de qua constat ex Aristot. Met. *A*, 5, de Coelo II, 9, Porphyr. in Ptolem. Harm. 4, p. 257; Cic. Somn. Scip. 4. *Quis est, qui complet aures meas, tantus et tam dulcis sonus? Hic est, inquit ille, qui intervallis coniunctus imparibus, sed tamen pro rata parte ratione distinctis, impulsu et motu ipsorum orbium conficitur et acuta cum gravibus temperans varios aequabiliter concentus efficit.* Cf. Nicomach. Harm. Man. I, p. 6 Meibom; Plut. de Mus. 44. *τὴν γὰρ τῶν ὄντων φορὰν καὶ τὴν τῶν ἀστέρων κίνησιν οἱ περὶ Πυθαγόραν καὶ Ἀρχύταν καὶ Πλάτωνα — οὐκ ἄνευ μουσικῆς γίγνεσθαι καὶ συνεστάναι ἔφασκον· πάντα γὰρ καθ' ἁρμονίαν ὑπὸ τοῦ θεοῦ κατεσκευάσθαι φασίν.* — **c)** i. e. *τὸ περιέχον τὸ ἀνωτάτω*, Olympus quem vocabant. Similiter statuebat Parmenides, v. infra n. 101. — **d)** Coelum igitur est i. q. *τὸ ὑποσέληνον* et *περίγειον μέρος*, terra cum aere circumfuso. Haec regio vicissitudini et mutationi obnoxia est, v. Philol. ap. Stob. I, p. 420. *τὸ μὲν ἀμετάβλατον αὐτοῦ (τοῦ κόσμου) τὸ δὲ μεταβάλλον ἐστί· καὶ τὸ μὲν ἀμετάβολον ἀπὸ τᾶς τὸ ὅλον περιεχούσας ψυχᾶς μέχρι σελάνας περαιοῦται, τὸ δὲ μεταβάλλον ἀπὸ τᾶς σελάνας μέχρι τᾶς γᾶς*: de quo loco cf. Boeckh p. 167 sq. — **e)** Sensus: Sapientia pertinet ad mundum immutabilem et ad numeros, ideo perfecta est. Virtus pertinet ad res mutabiles, in quibus agendo versamur, ideoque imperfecta est. Quomodo de ceteris sta-

tuerint ex hoc principio profecti coniici licet ex Aristotele Met. *A*, 8. *ὅταν γὰρ ἐν τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς* (sc. *τοῖς Πυθαγορείοις*) *ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν ἀδικία καὶ κρίσις ἢ μῖξις κτλ.* Ad. quem locum Alex. Aphrodisiensis, Scholl. Arist. p. 561 a. *οἱ τὰ πράγματα τοὺς ἀριθμοὺς εἶναι λέγοντες ταύτην τὴν τάξιν αὐτοῖς ἀπένειμαν ἐν τῷ οὐρανῷ, ἣν ἔχειν ᾠοντο καὶ τοὺς ἀριθμούς, οἷς ἔλεγον εἶναι ταὐτά. οἷον ἣν ᾠοντο τάξιν ἔχειν τὴν δυάδα, ταύτην ἔλεγον ἔχειν τὴν τάξιν ἐν τῷ κόσμῳ τὴν δόξαν, ἐπειδὴ δυὰς ἦν δόξα αὐτοῖς. πάλιν ἣν τάξιν ἡ ἑπτάς, ταύτην ἀπεδίδοσαν ἐν τῷ κόσμῳ τῷ καιρῷ, ἐπεὶ καὶ τὸν ἑπτὰ ἀριθμὸν καὶ καιρὸν ἡγοῦντο εἶναι. μικρὸν δὲ ἄνωθεν τοῦ καιροῦ ἢ κάτωθεν ἐποίουν, εἰ ἔτυχεν, ἀδικίαν ἢ κρίσιν, ὅτι καὶ ἡ τῶν αὐτῶν τούτοις ἀριθμῶν τάξις ἡ αὐτὴ ἦν.*

69 Arist. de Coelo II, 13. *Οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι — ἐπὶ μὲν — τοῦ μέσου πῦρ εἶναί φασι, τὴν δὲ γῆν ἐκ τῶν ἄστρων οὖσαν, κύκλῳ φερομένην περὶ τὸ μέσον νύκτα τε καὶ ἡμέραν ποιεῖν*[a]*. ἔτι δ' ἐναντίαν ἄλλην ταύτῃ κατασκευάζουσι γῆν, ἣν ἀντίχθονα ὄνομα καλοῦσιν, οὐ πρὸς τὰ φαινόμενα τοὺς λόγους καὶ τὰς αἰτίας ζητοῦντες, ἀλλὰ πρός τινας λόγους καὶ δόξας αὐτῶν τὰ φαινόμενα προσέλκοντες καὶ πειρώμενοι συγκοσμεῖν*[b]*. — τῷ γὰρ τιμιωτάτῳ οἴονται προσήκειν τὴν τιμιωτάτην ὑπάρχειν χώραν, εἶναι δὲ πῦρ μὲν γῆς τιμιώτερον, τὸ δὲ πέρας τῶν μεταξύ. τὸ δ' ἔσχατον καὶ τὸ μέσον πέρας*[c]*· ὥστ' ἐκ τούτων ἀναλογιζόμενοι οὐκ οἴονται ἐπὶ τοῦ μέσου κεῖσθαι τῆς σφαίρας αὐτήν, ἀλλὰ μᾶλλον τὸ πῦρ. ἔτι δ' οἵ γε Πυθαγόρειοι καὶ διὰ τὸ μάλιστα προσήκειν φυλάττεσθαι τὸ κυριώτατον τοῦ παντός· τὸ δὲ μέσον εἶναι τοιοῦτον· ὃ Διὸς φυλακὴν ὀνομάζουσι*[d]*, τὸ ταύτην ἔχον τὴν χώραν πῦρ, ὥσπερ τὸ μέσον ἁπλῶς λεγόμενον, καὶ τὸ τοῦ μεγέθους μέσον καὶ τοῦ πράγματος ὂν μέσον καὶ τῆς φύσεως.*

a) Cf. Plut. Plac. Ph. III, 13. *οἱ μὲν ἄλλοι μένειν τὴν γῆν, Φιλόλαος δὲ ὁ Πυθαγόρειος κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλου λοξοῦ, ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ.* Motu terrae ita efficiuntur nox et dies, ut qua parte solem spectet terra illustretur, contraria obscuretur. Sole speculi instar lumen centrale propagari atque emitti statuebat, v. Philol. ap. Stob. I, p. 530, cf. Boeckh p. 124 sqq. — **b)** Cf. Arist. Met. *A*, 5. *καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον. κἂν εἴ τί που διέλειπε, προσεγλίχοντο τοῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. λέγω δ' οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν οὐρανὸν δέκα μὲν*

εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. Aliam rationem aperit Plut. Plac. Ph. III, 11. Φιλόλαος ὁ Πυθαγόρειος τὸ μὲν πῦρ μέσον. τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν· δευτέραν δὲ τὴν ἀντίχθονα· τρίτην δὲ ἣν οἰκοῦμεν γῆν ἐξ ἐναντίας κειμένην καὶ περιφερομένην τῇ ἀντίχθονι, παρ' ὃ καὶ μὴ ὁρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ. Est igitur terra opposita (ἀντίχθων) inter terram et ignem centralem posita et ita quidem opposita terrae, ut haec spectet τὸ περιέχον, ipsa ignem centralem. Utraque eodem motu circulari fertur, unde sequitur ut semper aversae sint et ut a nostra terra neque terra opposita neque ignis centralis spectari possit. Constat enim motum terrae circum axem ab Hiceta demum Syracusio observatum esse, v. Cic. Acad. pr. II, 39, 123. Eum secuti sunt Heraclides Ponticus et Ecphantus Pythagoreus, v. Plut. Pl. Ph. III, 13. — **c)** Inde factum ut et extimum et intimum igneum esse putarent, v. n. 68. Ceterum ut in reliquis, ita etiam de elementis magis secundum sua placitorum principia, quam diligenti singularum rerum observatione ducti iudicabant, cf. Arist. Met. *A*, 8. διὸ περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων οὐδ' ὁτιοῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν οἶμαι λέγοντες ἴδιον. — **d)** Quod a Stobaeo n. 68 appellatur Διὸς οἶκος, id ab Aristotele dicitur Διὸς φυλακή. Alii ignem centralem Ζανὸς πύργον nominabant, v. Boeckh Philol. p. 96.

Theol. Arithm. 4, p. 22. Καὶ τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ, ὥσπερ καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως λέγει, ἐγκέφαλος, καρδία, ὀμφαλός, αἰδοῖον· „Κεφαλὰ μὲν νόω, καρδία δὲ ψυχᾶς καὶ αἰσθάσιος, ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τῶ πρώτω, αἰδοῖον δὲ σπέρματος καταβολᾶς τε καὶ γεννάσιος· ἐγκέφαλος δὲ τὰν ἀνθρώπω*) ἀρχάν, καρδία δὲ τὰν ζῴω, ὀμφαλὸς δὲ τὰν φυτῶ, αἰδοῖον δὲ τὰν ξυναπάντων· πάντα γὰρ καὶ θάλλοντι καὶ βλαστάνοντι." 70

Deest verbum post τὰν ξυμπάντων. Describuntur quatuor genera animalium, quae cerebro vel capite, quae corde, quae umbilico et quae pudendis cernuntur. Capiti respondet ratio, cordi animus et sensus, umbilico germinatio, pudendis generatio.

Macrob. Somn. Scip. I, 14. 19. Platon dixit animam essentiam se moventem, Xenocrates numerum se moventem, Aristoteles ἐντελέχειαν, Pythagoras et Philolaus harmoniam[a]. Claud. Mamert. de Statu An. II, 7 ex Philolao: Anima inditur corpori per numerum et immortalem eandemque incorpo- 71

*) Libb. ἀνθρώπων.

ralem convenientiam[b]. — Diligitur corpus ab anima, quia sine eo non potest uti sensibus[c]: a quo postquam morte deducta est, agit in mundo incorporalem vitam.

a) Arist. de An. I, 4. *καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς, — ἁρμονίαν γάρ τινα αὐτὴν λέγουσι· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων.* Cf. Polit. VIII, 5. Erit igitur anima effectus corporis, sicut deum cum rebus augeri statuebant, v. supra n. 61 et Plat. Phaed. p. 86. Adde quod etiam animam mundi numerum et harmoniam esse statuebant et nostros animos carpi ex animo divino per omnem naturam rerum intento, v. n. 56. 62. — **b)** Quibus potissimum numeris ad animi rationes describendas usi sint, cernitur ex Theol. Arithm. 8, p. 56, qui locus citatur in n. 66, cf. Arist. Met. *A*, 5. *ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιοσύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νοῦς* etc. n. 54, not. Senario efficitur anima, septenario intellectus: quapropter hunc prae ceteris numeris cumulabant laudibus eiusque rationes atque efficientiam per omnem naturam persequebantur, v. supra n. 66, not. — **c)** Sensibus percipiuntur corpora coelestia et omnes numeri, animo contingit sapientia, v. n. 68. not. e, et quae leguntur ap. Philolaum in n. 54. *νῦν δὲ οὗτος κατὰν ψυχὰν ἁρμόζων αἰσθάσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται.* De singulis etiam in hoc parum curasse videntur, cf. Arist. de An. I, 3. *οἱ δὲ μόνον ἐπιχειροῦσι λέγειν ποιόν τι ἡ ψυχή, περὶ δὲ τοῦ δεξομένου σώματος οὐθὲν ἔτι προσδιορίζουσιν, ὥσπερ ἐνδεχόμενον κατὰ τοὺς Πυθαγορικοὺς μύθους τὴν τυχοῦσαν ψυχὴν εἰς τὸ τυχὸν ἐνδύεσθαι σῶμα.*

72 Diog. L. VIII, 31. *Ἐκριφθεῖσαν δ' αὐτὴν* (sc. *τὴν ψυχὴν*) *ἐπὶ γῆς πλάζεσθαί ἐν τῷ ἀέρι ὁμοίαν τῷ σώματι*[a]. *τὸν δ' Ἑρμῆν ταμίαν εἶναι τῶν ψυχῶν, καὶ διὰ τοῦτο πομπαῖον λέγεσθαι καὶ πυλαῖον καὶ χθόνιον, ἐπειδήπερ οὗτος εἰσπέμπει ἀπὸ τῶν σωμάτων τὰς ψυχάς, ἀπό τε γῆς καὶ ἐκ θαλάττης· καὶ ἄγεσθαι μὲν τὰς καθαρὰς ἐπὶ τὸν ὕψιστον, τὰς δ' ἀκαθάρτους μήτε ἐκείναις πελάζειν μήτ' ἀλλήλαις, δεῖσθαι δ' ἐν ἀρρήκτοις δεσμοῖς ὑπὸ Ἐρινύων. 32. εἶναί τε πάντα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ ταύτας δαίμονάς*[b] *τε καὶ ἥρωας ὀνομάζεσθαι· καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις τούς τε ὀνείρους καὶ τὰ σημεῖα νόσου τε καὶ ὑγιείας, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ προβάτοις καὶ τοῖς ἄλλοις κτήνεσιν· εἵς τε τούτους γίγνεσθαι τούς τε καθαρμοὺς καὶ ἀποτροπιασμοὺς μαντικήν τε πᾶσαν καὶ κληδόνας καὶ τὰ ὅμοια.*

a) Arist. de An. 1. 2. *ἔφασαν γάρ τινες αὐτῶν* (sc. *τῶν Πυθαγορείων*) *ψυχὴν εἶναι τὰ ἐν τῷ ἀέρι ξύσματα, οἱ δὲ τὸ ταῦτα κινοῦν.* —

b) Appulei. de Deo Socr. p. 242 Bip.: *Pythagoricos mirari oppido solitos, si quis se negaret unquam vidisse daemonem, satis, ut reor, idoneus auctor est Aristoteles.*

Xenophanes ap. Diog. L. VIII, 36 de Pythagora: 73

Καὶ ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι καὶ τόδε φάσθαι ἔπος·
παῦσαι μηδὲ ῥάπιζ', ἐπεὶ ἢ φίλου ἀνέρος ἐστίν
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων.[a]

Pythagoras ap. Ovid. Met. XV, 165:

Omnia mutantur, nihil interit. Errat et illinc
Huc venit, hinc illuc et quoslibet occupat artus
Spiritus, eque feris humana in corpora transit
Inque feras noster nec tempore deperit ullo.
Utque novis facilis signatur cera figuris
Nec manet ut fuerat nec formas servat easdem,
Sed tamen ipsa eadem est: animam sic semper eandem
Esse, sed in varias doceo migrare figuras.[b]

a) Xenophanes antiquissimus huius de animarum migratione placiti testis est, quo nihil celebrius erat, nihil philosophis atque poetis celebratius, cf. supra n. 46. — **b)** Videntur haec ad Epicharmum Ennii expressa esse. Certe similia legebantur apud Epicharmum, v. Diog. L. VIII, 10 sq. Cf. in Empedocle fin.

Philol. ap. Clem. Alex. Strom. III, p. 433 A. *Μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντιες, ὡς διά τινας τιμωρίας ἃ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι**) *τούτῳ τέθαπται*[a] Plat. Phaed. p. 62 B. *ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ' ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διδεῖν*[b]*· οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι*[c]. 74

a) Quod veteres theologos appellat, significat Orpheum et Orphicos, qui etiam de migratione animarum similiter statuebant, v. Lobeck Aglaoph. p. 795 sq. Ad sententiam cf. Plato Gorg. p. 493 A. *ὅπερ ἤδη τοῦ ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν καὶ τὸ μὲν σῶμά ἐστιν*

*) Vulgo *σώματι*. Corr. Boeckh.

ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο ἐν ᾧ ἐπιθυμίαι εἰσὶ τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω κάτω, καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός (h. e. Empedocles aut Pythagoreorum aliquis), *παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πιστικὸν ὠνόμασε πίθον, τοὺς δ' ἀνοήτους ἀμυήτους* etc. — **b)** Voce *φρουρὰ* similiter utitur Philolaus ap. Athenag. cit. n. 58, not. Sensus: Corpore quasi vinculis tenemur, cf. Euxitheus Pythagoricus ap. Athen. IV, p. 157 C, Cic. Tuscul. I, 30, 74, Somn. Scip. 3. Alii cogitaverunt de praesidio, cf. Cic. Cato 20. *vetat Pythagoras iniussu imperatoris i. e. dei de praesidio et statione vitae decedere.* — **c)** Etiam haec ad Pythagoreos pertinere viderunt interpretes, v. Boeckh Philol. p. 179. Eodem spectat sententia Pythagorae *ἕπου θεῷ* ap. Stob. Ecl. II, p. 66.

75 Cic. Tusc. IV, 5. Veterem illam equidem Pythagorae primum, deinde Platonis descriptionem sequar, qui animam in duas partes dividunt, alteram rationis participem faciunt alteram expertem, in participe rationis ponunt tranquillitatem id est placidam quietamque constantiam, in illa altera motus turbidos tum irae tum cupiditatis, contrarios inimicosque rationi.

Cf. Galen. de Hipp. et Plat. Plac. IV, 6, p. 425; V, 6, p. 478 Kuehn. Nonnulla fragmenta ex iis, quae Pythagoreis ab inferiore aetate supposita diximus, irrationalem animi partem (*τὸ ἄλογον*) dividunt in *τὸ ἐπιθυμητικὸν* et *θυμικόν*, quae Platonis est et divisio et locutio; cf. Plut. de Pl. Phil. IV, 4. Propius a vera Pythagoricorum placitorum indole abesse videntur quae habentur ap. Diog. L. VIII, 30. *τὴν δὲ ἀνθρώπου ψυχὴν διαιρεῖσθαι τριχῇ, εἴς τε νοῦν καὶ φρένας καὶ θυμόν. νοῦν μὲν οὖν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ*, cf. supra n. 70.

76 Arist. Met. *A*, 5. *Καὶ περὶ τοῦ τί ἐστιν ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι* (sc. *οἱ Πυθαγόρειοι*), *λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμιζον, ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον.*

Cf. Arist. Met. *N*, 5. *οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι, οἷον αἱ στιγμαὶ τῶν μεγεθῶν καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, οἷον ὁδὶ μὲν ἀνθρώπου, ὁδὶ δὲ ἵππου, ὥσπερ οἱ τοὺς ἀριθμοὺς ἄγοντες εἰς τὰ σχήματα τρίγωνον καὶ τετράγωνον, οὕτως ἀφομοιῶν ταῖς ψήφοις τὰς μορφὰς τῶν*

φυτῶν· ἢ ὅτι λόγος ἡ συμφωνία ἀριθμῶν*), ὁμοίως δὲ καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον. Adde quod Philolaus explicat n. 53. 34, sine numeris res non posse cognosci. Inde Sextus Empir. adv. Math. VII, 92. Οἱ δὲ Πυθαγόρειοι τὸν λόγον μέν φασιν (sc. κριτήριον εἶναι), οὐ κοινῶς δέ, τὸν δὲ ἀπὸ τῶν μαθημάτων περιγιγνόμενον, καθάπερ ἔλεγε καὶ ὁ Φιλόλαος, θεωρητικόν τε ὄντα τῆς τῶν ὅλων φύσεως ἔχειν τινὰ συγγένειαν πρὸς ταύτην, ἐπείπερ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον καταλαμβάνεσθαι πέφυκεν.

Plato Gorg. p. 507 extr. Φασὶ δ' οἱ σοφοὶ καὶ οὐρανὸν 77
καὶ γῆν καὶ θεοὺς καὶ ἀνθρώπους τὴν κοινωνίαν συνέχειν καὶ φιλίαν καὶ κοσμιότητα καὶ σωφροσύνην καὶ δικαιότητα, καὶ τὸ ὅλον τοῦτο διὰ ταῦτα κόσμον καλοῦσιν. — σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις καὶ ταῦτα σοφὸς ὤν. ἀλλὰ λέληθέ σε ὅτι ἡ ἰσότης ἡ γεωμετρικὴ καὶ ἐν θεοῖς καὶ ἐν ἀνθρώποις μέγα δύναται[a]. Arist. Magn. Moral. I, 1. Πρῶτος μὲν οὖν ἐνεχείρησε Πυθαγόρας περὶ ἀρετῆς εἰπεῖν, οὐκ ὀρθῶς δέ· τὰς γὰρ ἀρετὰς εἰς τοὺς ἀριθμοὺς ἀνάγων οὐκ οἰκείαν τῶν ἀρετῶν τὴν θεωρίαν ἐποιεῖτο· οὐ γάρ ἐστιν ἡ δικαιοσύνη ἀριθμὸς ἰσάκις ἴσος[b].

a) Secundum Scholia dicit Pythagoreos et Empedoclem, qui coniunguntur etiam Gorg. p. 493 A, cf. n. 74, not. a. ἡ ἰσότης ἡ γεωμετρικὴ est i. q. ἀριθμὸς ἰσάκις ἴσος i. e. numerus octonarius ad res relatus, cf. Philolaus supra n. 66. ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐν ὀγδοάδι συμβῆναι τοῖς οὖσιν. Vulgo eum appellabant Iustitiam, cf. Macrob. Somn. Scip. I, 5, 17. *Pythagorici vero hunc numerum Iustitiam vocaverunt, quia primus omnium ita solvitur in numeros pariter pares h. e. in bis quaterna, ut nihilominus in numeros aeque pariter pares divisio quoque ipsa solvatur i. e. in bis bina. Eadem quoque qualitate contexitur i. e. bis bina bis. Cum ergo et contextio ipsius pari aequalitate procedat et resolutio aequaliter redeat usque ad monadem, quae divisionem arithmetica ratione non recipit, merito propter aequalem divisionem Iustitiae nomen accepit.* Cf. ipse Plato Legg. VI, p. 756 E. — **b)** Notabile quod ipse Pythagoras nominatur, cum Aristoteles soleat appellare Pythagoreos. Ad sensum facit Eth. Nicom. V, 8; Magn. Moral. I, 34. ἔστι δὲ δίκαιον καὶ ἀντιπεπονθός, οὐ μέντοι γε ὡς οἱ Πυθαγόρειοι ἔλεγον. ἐκεῖνοι μὲν γὰρ ᾤοντο δίκαιον εἶναι, ἅ τις ἐποίησε ταῦτ' ἀντιπαθεῖν. In universum cf. Epicharm. ap. Clem. Al. Strom. V, p. 258:

*) H. e. ὅτι ἡ συμφωνία λόγος ἀριθμῶν, cf. Bonitz Obs. p. 26. Vulg. ὅτι ὁ λόγος ἢ συμφ.

ὁ βίος ἀνθρώποις λογισμοῦ κἀριθμοῦ δεῖται πάνυ.
Ζῶμεν ἀριθμῷ καὶ λογισμῷ· ταῦτα γὰρ σώζει βροτούς.

78 Porphyr. V, P. 30. *Κατεκήλει δὲ (Πυθαγόρας) ῥυθμοῖς καὶ μέλεσι καὶ ἐπῳδαῖς τὰ ψυχικὰ πάθη καὶ τὰ σωματικά*[a]. 32. *τὰς διατριβὰς καὶ αὐτὸς ἔωθεν μὲν ἐπὶ τῆς οἰκίας ἐποιεῖτο, ἁρμοζόμενος πρὸς λύραν τὴν ἑαυτοῦ ψυχὴν καὶ ᾄδων παιᾶνας ἀρχαίους τέ τινος Θαλήτου, καὶ ἐπῇδε τῶν Ὁμήρου καὶ Ἡσιόδου ὅσα καθημεροῦν τὴν ψυχὴν ἐδοκίμασε*[b]. 40. *δύο τε μάλιστα καιροὺς παρηγγύα ἐν φροντίδι θέσθαι, τὸν μὲν ὅτε εἰς ὕπνον τρέποιτο, τὸν δὲ ὅτε ἐξ ὕπνου διανίστατο. ἐπισκοπεῖν γὰρ προσήκει ἐν ἑκατέρῳ τούτοιν τά τε ἤδη πεπραγμένα καὶ τὰ μέλλοντα, τῶν μὲν γενομένων εὐθύνας παρ' ἑαυτοῦ ἕκαστον λαμβάνοντα, τῶν δὲ μελλόντων πρόνοιαν ποιούμενον*[c]. 41. *τοιαῦτα παρῄνει, μάλιστα δ' ἀληθεύειν· τοῦτο γὰρ μόνον δύνασθαι τοὺς ἀνθρώπους ποιεῖν θεῷ παραπλησίους — ἔλεγε δέ τινα καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπιπλέον Ἀριστοτέλης ἀνέγραψεν*[d].

a) Constat diligentissime et musicam et medicinam a Pythagoreis cultam esse. Illam etiam ad omnem rerum cognitionem deumque colendum et ad mores atque sanitatem pertinere existimabant, v. Diog. L. VIII, 33. *τήν τε ἀρετὴν ἁρμονίαν εἶναι καὶ τὴν ὑγίειαν καὶ τὸ ἀγαθὸν ἅπαν καὶ τὸν θεόν· διὸ καὶ καθ' ἁρμονίαν συνεστάναι τὰ ὅλα· φιλίαν τε εἶναι ἐναρμόνιον ἰσότητα*, cf. supra n. 57, not. a; 68, not. b; 71; Plut. de Is. et Osir. 80; Virt. Mor. 3. Medicinam alii ad artis rationem excolebant, alii populariter magis exercebant, velut Orphici, qui Pythagoreos in his ut in aliis sectati sunt. De incantationibus v. Welcker *kl. Schriften* III, p. 64 sq. — **b)** Thaletae Cretensis paeanes ad religionem Appollinis maxime pertinebant, cui insigniter dediti erant Pythagorei. Homerum et Hesiodum non repudiabant velut Xenophanes et Heraclitus, sed allegorice interpretando ad suam doctrinam aptabant. — **c)** Cf. Cic. de Sen. 11; Carm. Aur. 40. *πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;* — **d)** Symbolica praecepta plenissime collegit Iamblichus Protrept. 21. De interpretatione vehementer inter antiquos dissensum est, v. Orelli Opusc. Gr. Sentent. I, p. 61 sq. Inter recentiores cf. Goettling *Abhandlungen* I, p. 278—316.

B. Eleatici.

1. Xenophanes.

Diog. L. IX, 18. *Ξενοφάνης — Κολοφώνιος — ἐκπεσὼν* 79
τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας διέτριβε καὶ ἐν Κατάνῃ[a]. *διήκουσε δὲ κατ' ἐνίους μὲν οὐδενός, κατ' ἐνίους δὲ Βότωνος Ἀθηναίου ἤ, ὥς τινες, Ἀρχελάου*[b]. *καί, ὡς Σωτίων φησί, κατ' Ἀναξίμανδρον ἦν*[c].

a) Xenophanem Eleae degisse, etsi non aperte a veteribus memoratum est, satis tamen probatur eo quod ab omnibus uno ore Eleaticae successionis princeps vel inter principes fuisse perhibetur, cf. Plato Soph. p. 242 D. *τὸ δὲ παρ' ἡμῖν Ἐλεατικὸν ἔθνος, ἀπὸ Ξενοφάνους τε καὶ ἔτι πρόσθεν ἀρξάμενον, ὡς ἑνὸς ὄντος τῶν πάντων καλουμένων, οὕτω διεξέρχεται τοῖς μύθοις.* Accedit quod Eleam urbem a Phocaeensibus conditam versibus suis celebrasse traditur, v. Diog. L. IX, 20; cf. Arist. Rhet. II, 23. Ipse se per multas Graeciae civitates iactatum esse testatur ap. Diog. L. IX, 19 et fr. 9 Bergk. — **b)** De Botone Atheniensi non constat. Archelaum a Xenophane auditum esse evidenter falsum est. Ab aliis Telaugis Pythagorici auditor fuisse narrabatur, v. n. 2. — **c)** Xenophanem Ol. 60. floruisse traditur a Diogene IX, 20, ut Anaximandro suppar fuerit. Apollodorus eum Ol. 40. natum esse sumsit, quam computationem si sequimur, florentissima eius aetas inciderit circiter in Ol. 50. Secundum Timaeum Hieronis et Epicharmi aequalis erat, v. Clem. Alex. Strom. I, p. 301 C; Plut. Reg. Apophth. 4; Sext. Empir. adv. Math. I, 257. Quae notationes non possunt inter se conciliari, etiamsi tenemus ipsum se ad summam senectutem pervenisse testari, ap. Diog. L. IX, 19. Obiter aetatem Xenophanis computanti maxime sequendum erit quod primum memoratur ab Heraclito, Diog. L. VIII, 36, ipse autem primus mentionem Pythagorae iniecit, Diog. L. IX, 1, 18. Cf. Clint. F. H. s. ann. 538, 477; Welcker, de Cyclo Ep. p. 401 sq. {Cf. quae de Xenophane disputavi in *Stud. z. Gesch. d. Begr.*, p. 589—623.}

Diog. L. IX, 18. *Γέγραφε δὲ καὶ ἐν ἔπεσι καὶ ἐλεγείας* 80
καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα· ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ.

Carminum reliquias collegit Karsten, Philos. Graec. Vett. Reliqq. I, 1, Bruxell. 1830; de lyricis v. Schneidewin Del. Poet. Eleg. p. 39—45 et Th. Bergk Poet. Lyr. Gr. p. 376—380 ed. 2. Quae ad philosophiam pertinent reperiuntur apud Brandis Comment. Eleat. I; Cousin *nouv. fragm. philosophiques, Paris 1828,* p. 9 sqq.; omnia ap. Mullach Arist. de Melisso, Xen. et Gorg. disput. c. Eleat. philos. fragm. Berol. 1846, p. 91—110. Iambos intellige carmina satirica; sillos autem, parodias et

tragoedias cum grammatici Xenophani tribuerent, indolem potius quam formam carminum spectasse videntur, v. Karsten, p. 20 sqq.; nisi forte Xenophanem in sillis Timonis Phliasii loquentem (v. infra de Timone) spectaverunt ii, a quibus Eleatici sillographi fama profecta est. Ad nostram rem gravissimum Xenophanis opus est quod *περὶ φύσεως* inscriptum fuisse ferunt, quod citatur Stobaeo Ecl. Phys. I, p. 294; Poll. Onom. VI, 46. Physica ab eo tractata esse constat; titulus autem *περὶ φύσεως* a recentioribus fictus esse videtur, cf. n. 109 b.

81 Arist. Rhet. II, 23. *Ξενοφάνης ἔλεγεν ὅτι ὁμοίως ἀσεβοῦσιν οἱ γενέσθαι φάσκοντες τοὺς θεοὺς τοῖς ἀποθανεῖν λέγουσιν· ἀμφοτέρως γὰρ συμβαίνει μὴ εἶναι τοὺς θεούς ποτε.*

Cf. quod adiicitur p. 1400 b. Bekk.: *οἷον Ξενοφάνης Ἐλεάταις ἐρωτῶσιν εἰ θύωσι τῇ Λευκοθέᾳ καὶ θρηνῶσιν ἢ μὴ συνεβούλευεν, εἰ μὲν θεὸν ὑπολαμβάνουσι μὴ θρηνεῖν, εἰ δ' ἄνθρωπον μὴ θύειν.*

82 Xenophanes ap. Sext. Emp. adv. Math. I, 289; IX, 193.

Πάντα θεοῖς ἀνέθηκαν Ὅμηρός θ' Ἡσίοδός τε
ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν.
* * *
ὡς πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα
κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν.

83 Clem. Alex. Strom. V, p. 601 C. *Εὖ γοῦν καὶ Ξενοφάνης ὁ Κολοφώνιος, διδάσκων τι εἷς καὶ ἀσώματος ὁ θεός, ἐπιφέρει·*

Εἷς θεὸς ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος,
οὔ τι δέμας θνητοῖσιν ὁμοίιος οὐδὲ νόημα.

καὶ πάλιν·

Ἀλλὰ βροτοὶ δοκέουσι θεοὺς γεγενῆσθαι,
τὴν σφετέρην τ' αἴσθησιν ἔχειν φωνήν τε δέμας τε.

καὶ πάλιν·

Ἀλλ' εἴτοι χεῖράς γ' εἶχον βόες ἠὲ λέοντες
ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες,
καί κε θεῶν ἰδέας ἔγραφον καὶ σώματ' ἐποίουν
τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ὁμοῖον,
ἵπποι μέν θ' ἵπποισι, βόες δέ τε βουσὶν ὁμοῖα.

N. 83. vs. 3. Vulgo *γεννᾶσθαι*. — 4. Apud Clementem editur *τὴν σφετέρην δ' ἐσθῆτα*. Correximus ex Theodoret. Graec. Affect. Curat. Serm. III, p. 49 Sylb.: *ἀλλ' οἱ βροτοὶ δοκοῦσι γεννᾶσθαι θεούς, καὶ ἴσην τ' αἴσθησιν ἔχειν φ. τ. δ. τ.* — 9. Vulgo septimus est. Nos cum Karst. In fine vulgo *ὁμοῖοι*.

Cf. Clem. Alex. Strom. VII, p. 711 B. *Ἕλληνες δὲ ὥσπερ ἀνθρωπομόρφους, οὕτως καὶ ἀνθρωποπαθεῖς τοὺς θεοὺς ὑποτίθενται, καὶ καθάπερ τὰς μορφὰς αὐτῶν ὁμοίας ἑαυτοῖς ἕκαστοι διαζωγραφοῦσιν, ὡς φησιν ὁ Ξενοφάνης· „Αἰθίοπές τε μέλανας σιμούς τε, Θρᾷκές τε πυρροὺς καὶ γλαυκούς“, οὕτως καὶ τὰς ψυχὰς ὁμοιοῦσιν καὶ τοῖς αὐτοῖς ἀναπλάττουσιν κτλ.*

Arist. de Xenoph., Zen. et Gorg. 3. *Ἀδύνατόν φησιν* (ὁ Ξενοφάνης) *εἶναι, εἴ τι ἔστι, γενέσθαι, τοῦτο λέγων ἐπὶ τοῦ θεοῦ· ἀνάγκη γὰρ ἤτοι ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γενέσθαι τὸ γενόμενον· δυνατὸν δὲ οὐδέτερον. οὔτε γὰρ ὅμοιον ὑφ' ὁμοίου προσήκειν τεκνωθῆναι μᾶλλον ἢ τεκνῶσαι (ταῦτα γὰρ ἅπαντα τοῖς γε ἴσοις ἢ ὁμοίοις οὐχ*) *ὑπάρχειν πρὸς ἄλληλα) οὔτ' ἂν ἐξ ἀνομοίου τἀνόμοιον γενέσθαι. εἰ γὰρ γίγνοιτο ἐξ ἀσθενεστέρου τὸ ἰσχυρότερον ἢ ἐξ ἐλάττονος τὸ μεῖζον ἢ ἐκ χείρονος τὸ κρεῖττον, ἢ τοὐναντίον τὰ χείρω ἐκ τῶν κρειττόνων, τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γενέσθαι**), ὅπερ ἀδύνατον. ἀΐδιον μὲν οὖν διὰ ταῦτα εἶναι τὸν θεόν.* 84

Nomen Xenophanis supplevimus ad fidem Theophrasti, unde similia excerpsit Simplicius Phys. fol. 6 a. *Μίαν δὲ τὴν ἀρχὴν ἤτοι ἓν τὸ ὂν καὶ πᾶν καὶ οὔτε πεπερασμένον οὔτε ἄπειρον, οὔτε κινούμενον οὔτε ἠρεμοῦν Ξενοφάνην τὸν Κολοφώνιον, τὸν Παρμενίδου διδάσκαλον, ὑποτίθεσθαί φησιν ὁ Θεόφραστος, ὁμολογῶν ἑτέρας εἶναι μᾶλλον ἢ τῆς περὶ φύσεως ἱστορίας τὴν μνήμην τῆς τούτου δόξης· τὸ γὰρ ἓν τοῦτο καὶ πᾶν τὸν θεὸν ἔλεγεν ὁ Ξενοφάνης, ὃν ἕνα μὲν δείκνυσιν ἐκ τοῦ πάντων κράτιστον εἶναι —, ἀγένητον δὲ ἐκ τοῦ δεῖν τὸ γιγνόμενον ἢ ἐξ ὁμοίου ἢ ἐξ ἀνομοίου γίγνεσθαι. ἀλλὰ τὸ μὲν ὅμοιον ἀπαθές φησιν ὑπὸ τοῦ ὁμοίου. οὐδὲν γὰρ μᾶλλον γεννᾶν ἢ γεννᾶσθαι προσήκει τὸ ὅμοιον ἐκ τοῦ ὁμοίου. εἰ δ' ἐξ ἀνομοίου γίγνοιτο, ἔσται τὸ ὂν ἐκ τοῦ μὴ ὄντος· καὶ οὕτως ἀγένητον καὶ ἀΐδιον ἐδείκνυ.* Cf. Zeller *die Philos d. Griechen* I, p. 366 sqq. ed. 2, qui haec, quae leguntur a verbis *τὸ γὰρ ἓν τοῦτο* etc., a Simplicio non ex Theophrasto, sed ex Aristotelis qui fertur libello de Xenophane, Zenone et Gorgia hausta esse eiusque libelli in capitibus 3, 4 vel nullam vel ambiguam fidem esse contendit, et quae disputavit Ueberweg in Schneidewini Philologo 1853, p. 104 sqq. Libellum illum Aristotelis recognoverunt Th. Bergk comm. de Arist. lib. de Xenoph., Zen. et Gorg. Marb. 1843, et Mullach in libro ad n. 80 citato. {Cf. et *Stud. z. Gesch. d. Begr.*, p. 593. 610. 619.}

Aristot. ibid. *Εἰ δ' ἔστιν ὁ θεὸς ἁπάντων κράτιστον, ἕνα φησὶν αὐτὸν προσήκειν εἶναι· εἰ γὰρ δύο ἢ πλείους εἶεν, οὐκ ἂν* 85

*) *οὐχ* adi. Bergk. — **) Karst. coni. *τὸ οὐκ ὂν ἐξ οὐκ ὄντος ἂν γ.* Plenius dixisset *τὸ ὂν ἐξ οὐκ ὄντος ἢ τὸ οὐκ ὂν ἐξ ὄντος ἂν γ.*

ἔτι κράτιστον καὶ βέλτιστον αὐτὸν εἶναι πάντων. ἕκαστος γὰρ ὢν τῶν πολλῶν ὁμοίως ἂν τοιοῦτος εἴη. τοῦτο γὰρ θεὸν καὶ θεοῦ δύναμιν εἶναι, κρατεῖν ἀλλὰ μὴ κρατεῖσθαι, καὶ πάντα κράτιστον εἶναι*). ὥστε καθὸ μὴ κρείττων, κατὰ τοσοῦτον οὐκ εἶναι θεόν. πλειόνων οὖν ὄντων, εἰ μὲν εἶεν τὰ μὲν ἀλλήλων κρείττους τὰ δὲ ἥττους, οὐκ ἂν εἶναι θεούς· πεφυκέναι γὰρ θεὸν μὴ κρατεῖσθαι. ἴσων δὲ ὄντων, οὐκ ἂν ἔχειν θεὸν φύσιν**) δεῖν εἶναι κράτιστον· τὸ δὲ ἴσον οὔτε βέλτιον οὔτε χεῖρον εἶναι τοῦ ἴσου. ὥστε εἴπερ εἴη τε καὶ τοιοῦτον εἴη θεός, ἕνα μόνον εἶναι τὸν θεόν. οὐδὲ γὰρ οὐδὲ πάντα δύνασθαι ἂν ἃ βούλοιτο· οὐ γὰρ ἂν δύνασθαι πλειόνων ὄντων. ἕνα ἄρα εἶναι μόνον.

Cf. Simplic. l. c. πλειόνων γάρ φησιν ὄντων, ὁμοίως, ἀνάγκη ὑπάρχειν πᾶσι τὸ κρατεῖν· τὸ δὲ πάντων κράτιστον καὶ ἄριστον θεός.

86 Arist. l. l. Ἕνα δ' ὄντα ὅμοιον εἶναι πάντῃ (sc. τὸν θεόν), ὁρᾶν τε καὶ ἀκούειν, τάς τε ἄλλας αἰσθήσεις ἔχοντα πάντῃ[a]. εἰ γὰρ μή, κρατεῖν ἂν καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὰ μέρη θεοῦ ὄντα, ὅπερ ἀδύνατον. πάντῃ δ' ὅμοιον ὄντα σφαιροειδῆ εἶναι[b]· οὐ γὰρ τῇ μὲν τῇ δ' οὐ τοιοῦτον εἶναι, ἀλλὰ πάντῃ.

a) Diog. L. IX, 19. ὅλον δ' ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν (sc. τὸν θεόν). Sext. Emp. adv. Math. IX, 144, Xenophanis nomine non addito: οὗλος ὁρᾷ, οὗλος δὲ νοεῖ, οὗλος δέ τ' ἀκούει. Minime igitur intellectum (τὸ νοεῖν) a sensibus disiunctum esse statuebat, quod recentiores de eo contendunt, velut Aristocl. ap. Euseb. Pr. Ev. XIV, 17; Plut. ap. Euseb. ib. I, 8. — Quod deum ἀναπνεῖν negabat, ap. Diog. L. l. l., id ad Pythagorici placiti similitudinem fortasse interpretandum est; {cf. *Stud. z. Gesch. d. Begr.*, p. 555}. — **b)** Simplic. l. l. hoc argumentum praetermittit: at faciunt eodem quae deinceps sequuntur, πεπερασμένον δὲ καὶ σφαιροειδὲς αὐτὸ διὰ τὸ πανταχόθεν ὅμοιον λέγει, καὶ πάντα δὲ νοεῖν φησιν αὐτόν, λέγων· Ἀλλ' ἀπάνευθε πόνοιο νόου φρενὶ πάντα κραδαίνει.

87 Arist. l. l. Ἀΐδιον δ' ὄντα (sc. τὸν θεὸν) καὶ ἕνα καὶ σφαιροειδῆ οὔτ' ἄπειρον εἶναι***) οὔτε πεπεράνθαι. ἄπειρον μὲν τὸ μὴ ὃν εἶναι†)· τοῦτο γὰρ οὔτε μέσον οὔτ' ἀρχὴν καὶ τέλος οὔτ' ἄλλο μέρος οὐδὲν ἔχειν· τοιοῦτον δ' εἶναι τὸ ἄπειρον. οἷον

*) Vulgo κρατεῖσθαι εἶναι. Karst. correxit coni. — **) Videtur aliquid turbatum. Fortasse scribendum: οὐκ ἂν ἔχειν ἕνα θεοῦ φύσιν, δεῖν γὰρ εἶναι κράτιστον. — ***) Voc. εἶναι ex coni. add. Brandis. — †) Cod. Lips. ἄπειρον ὃ μὴ ὂν εἶναι. Corr. Brandis.

δὲ τὸ μὴ ὄν, οὐκ ἂν εἶναι τὸ ὄν, περαίνειν δὲ πρὸς ἄλληλα, εἰ πλείω εἴη. τὸ δὲ ἓν οὔτε τῷ οὐκ ὄντι οὔτε τοῖς πολλοῖς ὁμοιῶσθαι· ἓν γὰρ οὐκ ἔχει πρὸς ὅ τι περανεῖ*).

Idem argumentum repetit Simplicius l. l. καὶ οὔτε δὴ ἄπειρον οὔτε πεπερασμένον εἶναι, διότι ἄπειρον μὲν τὸ μὴ ὂν ὡς οὔτε ἀρχὴν ἔχον οὔτε μέσον οὔτε τέλος· περαίνειν δὲ πρὸς ἄλληλα τὰ πλείω. Contra apud Aristotelem Met. *A*, 5 leguntur haec: Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην, διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης δὲ πρῶτος τούτων ἐνίσας (ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής) οὐθὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν: cui loco si tantum tribuamus, ut Xenophanem nil nisi unitatem sive dei sive mundi statuisse, de ratione eius unitatis omnino nihil prodidisse putemus, concedamus oportet Aristotelis qui fertur libellum et Simplicium Xenophanis sententiam non fideliter expressisse, sed ad posteriorum placita licenter applicasse. Cf. n. 84, not.

Arist. l. l. Τὸ δὴ τοιοῦτον ὂν ἕν, ὃν τὸν θεὸν εἶναι λέγει, 88
οὔτε κινεῖσθαι οὔτε ἀκίνητον εἶναι. ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν. οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε ἐκεῖνο εἰς ἄλλο ἐλθεῖν. κινεῖσθαι δὲ τὰ πλείω ὄντα ἑνός· ἕτερον γὰρ εἰς ἕτερον δεῖν κινεῖσθαι. εἰς μὲν οὖν τὸ μὴ ὂν οὐδὲν ἂν κινηθῆναι· τὸ γὰρ μὴ ὂν οὐδαμῇ εἶναι. εἰ δὲ εἰς ἄλληλα μεταβάλλοι πλείω ἂν αὐτὸ**) εἶναι ἑνός. διὰ ταῦτα δὴ κινεῖσθαι μὲν ἂν τὰ δύο ἢ πλείω ἑνός, ἠρεμεῖν δὲ καὶ ἀκίνητον εἶναι τὸ οὐδέν. τὸ δὲ ἓν οὔτε ἀτρεμεῖν οὔτε κινεῖσθαι· οὔτε γὰρ τῷ μὴ ὄντι οὔτε τοῖς πολλοῖς ὅμοιον εἶναι. κατὰ πάντα δὲ οὕτως ἔχειν τὸν θεόν, ἀΐδιόν τε καὶ ἕνα, ὅμοιόν τε καὶ σφαιροειδῆ ὄντα, οὔτε ἄπειρον οὔτε πεπερασμένον, οὔτε ἠρεμεῖν οὔτε κινητὸν***) εἶναι.

Simpl. l. l. παραπλησίως δὲ καὶ τὴν κίνησιν ἀφαιρεῖ καὶ τὴν ἠρεμίαν· ἀκίνητον μὲν γὰρ εἶναι τὸ μὴ ὄν· οὔτε γὰρ ἂν εἰς αὐτὸ ἕτερον οὔτε αὐτὸ πρὸς ἄλλο ἐλθεῖν· κινεῖσθαι δὲ τὰ πλείω τοῦ ἑνός· ἕτερον γὰρ εἰς ἕτερον μεταβάλλειν· ὥστε καὶ ὅταν ἐν ταὐτῷ μένειν λέγῃ καὶ μὴ κινεῖσθαι,

> αἰεὶ δ' ἐν τωὐτῷ τε μένει κινούμενον οὐδέν,
> οὐδὲ μετέρχεσθαί μιν ἐπιπρέπει ἄλλοτε ἄλλῃ †)

---

*) Cod. Lips. περανθείη. — **) Sic Karsten adiecto ἄν. Bekk. αὐτόν. — ***) Codd. ἀκίνησον. — †) Vulgo ἀεὶ δ' ἐν ταὐτῷ μένει· κινούμενον οὐδέν, οὐδὲ μετέρχεσθαι μήν, ἐπεὶ πρέπει. In uno codice ἐπιτρέπει. Corr. Karsten.

οὐ κατὰ τὴν ἠρεμίαν τὴν ἀντικειμένην τῇ κινήσει μένειν αὐτόν φησιν, ἀλλὰ κατὰ τὴν ἀπὸ κινήσεως καὶ ἠρεμίας ἐξῃρημένην. {Rectissime Schuster in libro *Heraklit.* inscr. p. 229 de hac re judicavit.}

89 Xenophanes ap. Sext. Emp. adv. Math. VII, 49; 110; VIII, 326.

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται
εἰδώς, ἀμφὶ θεῶν τε καὶ ἅσσα λέγω περὶ πάντων·
εἰ γὰρ καὶ τὰ μάλιστα τύχοι τετελεσμένον εἰπών,
αὐτὸς ὅμως οὐκ οἶδε· δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται.

His praelusisse iis videtur, quae πρὸς δόξαν et de rerum natura disputata erant: quo pertinent fortasse etiam quae laudantur ap. Diog. L. VIII, 36. νῦν οὖν τ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον, et hic versus ap. Plut. Symp. IX, 14, 7 ταῦτα δεδόξασται μὲν ἐοικότα τοῖς ἐτύμοισιν. In universum patet eos, qui nonnisi Unum esse docebant, de multarum rerum generatione nonnisi secundum probabilitatem et dubitanter disputare potuisse, cf. Plato Soph. p. 242 C — 245 E, Parmen. p. 128 D. Posteriorum alii Xenophanem inter physicam et doctrinam de Uno fluctuasse incertum affirmant, velut Timo Sillographus ap. Sext Emp. Hyp. Pyrrh. I, 224, ab aliis inter Scepticos refertur, v. Diog. L. IX, 19; 72; Plut. ap. Euseb. Pr. Ev. I, 8.

90 Xenophanes ap. Simplic. Phys. fol. 41 a *).

Γῆ καὶ ὕδωρ πάνθ' ὅσσα γίνονται ἠδὲ φύονται.

Ap. Sext. Emp. adv. Math. IX, 361.

Πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα.[a]

Ap. Achill. Tat. Isag. Arat. p. 128 Petav.

Γαίης μὲν τόδε πεῖρας ἄνω πὰρ ποσσὶν ὁρᾶται
Αἰθέρι προσπλάζον, τὰ κάτω δ' ἐς ἄπειρον ἱκάνει.[b]

a) Alii eum omnia ex terra procreasse affirmant, v. Sext. Emp. adv. Math. X, 313; Stob. Ecl. I, p. 294; Hippolyt. Ref. Haer. I, 14. Revera primitus commixtionem quandam terrae et aquae exstitisse docuit idque

---

N. 89. vs. 1. ἀνὴρ ἴδεν, Ita et Diog. L. IX, 72. Plut. d. Aud. Poet. 2. γένετ' οὐδὲ κτλ. — 3 et 4 citantur etiam a Galeno d. Diff. Puls. III, 1, p. 636 Kuehn: Ἦν γὰρ καὶ τὰ μέγιστα τύχῃ τετελεσμένα, εἰπὼν Αὐτός, ὅμως οὐκ οἶδε· δοκὸς κτλ. — δοκὸς scribendum esse, non δόκος, praecipit gramm. a Cramero editus, Anecd. I, p. 223, 19. Et ita Callimachus ap. Eust. p. 1627, 43; 1761, 34; τῷ γ' ἐμῷ δοκῷ.

*) In antecedentibus pro Anaximene restituendum. nomen Xenophanis. —

inde conclusit, quod conchae in montibus et vestigia piscium et animalium marinorum in saxis impressa reperirentur Syracusis et in insula Paro et Melita, v. Hippolyt. l. c., ubi deinde adiiciuntur haec: *ταῦτα δέ φησι γενέσθαι ὅτε πάντα ἐπηλώθησαν πάλαι, τὸν δὲ τύπον ἐν τῷ πηλῷ ξηρανθῆναι· ἀναιρεῖσθαι δὲ τοὺς ἀνθρώπους πάντας ὅταν ἡ γῆ κατενεχθεῖσα εἰς τὴν θάλασσαν πηλὸς γένηται, εἶτα πάλιν ἄρχεσθαι τῆς γενέσεως, καὶ τοῦτο πᾶσι τοῖς κόσμοις γίγνεσθαι μεταβολήν**): unde intelligitur eum multas mundi vicissitudines statuisse, terram vero, modo desidentem in mare modo inde rursus emergentem, pro fundamento rerum habuisse. — **b)** Arist. de Coelo II, 13. *οἱ μὲν γὰρ διὰ ταῦτα ἄπειρον τὸ κάτω τῆς γῆς εἶναί φασιν, ἐπ' ἄπειρον αὐτὴν ἐρριζῶσθαι λέγοντες, ὥσπερ Ξενοφάνης ὁ Κολοφώνιος, ἵνα μὴ πράγματ' ἔχωσι ζητοῦντες τὴν αἰτίαν.* Cf. de Xenoph., Z. et G. 2, ubi terrae et aeris profunditatem infinitam statuisse traditur. Alii eum quatuor elementa ante Empedoclem docuisse narrant, v. Porphyr. ap. Simplic. Phys. fol. 41 a. Diog. L. IX, 19.

2. Parmenides,

Diog. L. IX, 21. *Παρμενίδης — Ἐλεάτης διήκουσε Ξε-* 91
νοφάνους, — ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ καὶ Διοχαίτῃ τῷ Πυθαγορικῷ, ὡς ἔφη Σωτίων. — γένους θ' ὑπάρχων λαμπροῦ καὶ πλούσιος ὑπ' Ἀμεινίου — εἰς ἡσυχίαν προετράπη.[a] 23. *ἤκμαζε δὲ κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα.*[b] — — *λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ περὶ φιλοσόφων.*[c]

a) Arist. Met. *A*, 5. *ὁ γὰρ Παρμενίδης τούτου* (sc. *Ξενοφάνους*) *λέγεται μαθητής.* Cum Pythagoreis coniungitur etiam a Callimacho vel Nicomacho ap. Procl. in Parm. ed. Cousin, T. IV, p. 5, et Strabone VI, p. 252. De vita quadam Parmenidea, veluti vita Pythagorica dicebatur, loquitur Cebes tab. 2. Et videtur etiam in physicis nonnihil a Pythagoreis traxisse. — **b)** Parmenidem et Zenonem Athenas visitasse tempore Panathenaeorum, *τὸν μὲν Παρμενίδην εὖ μάλα ἤδη πρεσβύτην, σφόδρα πολιόν, καλὸν δὲ κἀγαθὸν τὴν ὄψιν, περὶ ἔτη μάλιστα πέντε καὶ ἑξήκοντα, Ζήνωνα δὲ ἐγγὺς ἐτῶν τετταράκοντα, εὐμήκη καὶ χαρίεντα ἰδεῖν*, et Socratem ea occasione cum iis disputasse *σφόδρα νέον ὄντα* i. e. admodum adolescentem, perhibet Plato Parmen. p. 127 A, cf. Theaet. p. 183 E, Soph. p. 217 C. Inde statuendum de aetate Parmenidis, licet Plato reprehendatur ab Athenaeo XI, p. 505 F, neque illa tempora facile concinant cum iis, quae sequitur Diogenes, Parmenidem floruisse Ol. 96 affir-

---

*) Libb. *μεταβάλλειν* vel *καταβάλλειν*. Roeper et Editores Gotting. *καταβολήν*.

mans. Cf. Clinton F. H. a. 503, 455, p. 448. — c) Cf. Strabo VI, p. 252; Plut. adv. Colot. 32. Apud Platonem inducitur tanquam philosophus ingenio atque arte disputandi, quam primus certa ratione exercuerit, summe venerandus, v. Parmen. p. 135 C et in Theaeteto et Sophista ll. cc. Ita etiam Aristoteli summus inter Eleaticos fuisse videbatur, cum ceteri *μικρὸν ἀγροικότεροι* fuerint, Met. *A*, 5. Cf. etiam Timo Phliasius ap. Diog. L. IX, 23.

92 Diog. L. IX, 22. *Καὶ αὐτὸς δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς.*

Theophrastus ap. Diog. L. VIII, 55. hoc opus *περὶ φύσεως* inscriptum fuisse memorat; cf. Sext. Emp. adv. Math. VII, 111; Galen. cit. in n. 109 b. Peculiarem de Parmenidis philosophia librum edidisse fertur Aristoteles, v. Io. Philipon. in Arist. Phys. B. p. 9 a; itemque Xenocrates, v. Diog. L. IV, 13. Post Aristotelem Theophrastus et Eudemus Rhodius diligenter de nostro egisse videntur. Nostram Parmenidae doctrinae notitiam Simplicii potissimum commentariis debemus, et ad Physica et ad librum de Coelo. Reliquias congesserunt Brandis Comment. Eleat. I; Karsten Philos. Graec. Vett. Reliq. Vol. I, Pars II. Amstelod. 1835; Mullach Aristot. de Melisso, Xenoph. et Gorg. cet. p. 111 — 151.

93 Parmenides ap. Sext. Empir. adv. Math. VII, 111; Simplic. de Coelo fol. 137 a.

Χρεὼ δέ σε πάντα πυθέσθαι,
ἠμὲν ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ
ἠδὲ βροτῶν δόξας, τῇς οὐκ ἔνι πίστις ἀληθής.
ἀλλ᾽ ἔμπης καὶ ταῦτα μαθήσεαι, ὡς τὰ δοκοῦντα
χρὴ δοκίμως εἶναι διὰ παντὸς πάντα περῶντα.
ἀλλὰ σὺ τῆσδ᾽ ἀφ᾽ ὁδοῦ διζήσιος εἶργε νόημα,
μηδέ σ᾽ ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν
καὶ γλῶσσαν· κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον
ἐξ ἐμέθεν ῥηθέντα.

N. 93. vs. 1—3 afferuntur etiam ap. Diog. L. IX, 22. — 2. 3. Plut. adv. Colot. 13; Clem. Alex. Strom. V, p. 576 B; Procul. in Plat. Tim. p. 105. — 4. 5. Desunt ap. Sext. Empir., inveniuntur ap. Simpl. de Coelo. — 7—9. Diog. L. IX, 22. — 2. Simplic. *εὐκύκλεος*. Procul. *εὐφεγγέος*. Sext. Emp. (ubi in seqq. Ms. Ciz. *ἀτρεκές*). Plut., Diog. L. *ἀτρεκές*, cett. *ἀτρεμές*. — 3. Vulg. editur *ταῖς*. Plut. l. l. *αἷς*. — 5. Libb. *εἶναι*. Mullach coni. dedit *γνῶναι*.

Exordium carminis et venustate et maiestate conspicuum exstat ap. Sext. Emp. l. c. Fingit poeta se sublime elatum ad Sapientiae sacrarium in aethere situm Solis filiabus iter monstrantibus evehi, deinde in perpetuae lucis via progressum atque ad deae templum delatum ex eius ore et aeternae veritatis praecepta et fallaces mortalium opiniones doceri. Sequuntur versus supra laudati, ubi loquitur Sapientia. Sensus: Oportet te omnia percipere, tam veritatem exactam quam vulgares hominum opiniones, a quibus tamen abstinere mentem decet, quo minus longa consuetudo cogat te hac in via sensibus uti. Controversam vero argumentationem a me propositam ratione examinare oportet. Cf. Parmenides Platonis similiter de opinionibus disserens et diligentem exercitationem in dialectica, ne quis illis decipiatur, commendans p. 130 E, 135 D. sq. Iidem versus qua ratione et carmen suum et philosophiam diviserit Parmenides indicant; cf. n. 99. Huius enim altera pars de ipsa veritate erat, altera de hominum opinionibus. Ita et Aristoteles Met. *A*, 3. *τῶν μὲν οὖν ἓν φασκόντων εἶναι τὸ πᾶν οὐθενὶ συνέβη τὴν τοιαύτην συνιδεῖν αἰτίαν* (sc. *τῆς κινήσεως*), *πλὴν εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον ὅσον οὐ μόνον ἓν, ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας εἶναι.*

Parmenides ap. Procul. in Plat. Tim. p. 105; Simpl. Phys. fol. 25a; 19a. 94

Εἰ δ' ἄγ' ἐγὼν ἐρέω, κόμισαι δὲ σὺ μῦθον ἀκούσας,
αἵπερ ὁδοὶ μοῦναι διζήσιός εἰσι νοῆσαι·
ἡ μέν, ὅπως ἔστι τε καὶ ὡς οὐκ ἔστι μὴ εἶναι,
πειθοῦς ἐστι κέλευθος, ἀληθείῃ γὰρ ὀπηδεῖ·
ἡ δ', ὡς οὐκ ἔστιν τε καὶ ὡς χρεών ἐστι μὴ εἶναι·
τὴν δή τοι φράζω παναπειθέα ἔμμεν ἀταρπόν·
οὔτε γὰρ ἂν γνοίης τό γε μὴ ἐόν, οὐ γὰρ ἐφικτόν,
οὔτε φράσαις.[a] — — —
Χρὴ σε λέγειν τε νοεῖν τ' ἐὸν ἔμμεναι. ἔστι γὰρ εἶναι,
μηδὲν δ' οὐκ εἶναι[b]*· τά σ' ἐγὼ φράζεσθαι ἄνωγα.*
πρῶτ' ἀφ' ὁδοῦ ταύτης διζήσιος εἶργε νόημα·
αὐτὰρ ἔπειτ' ἀπὸ τῆς, ἣν δὴ βροτοὶ εἰδότες οὐδὲν
πλάζονται δίκρανοι· ἀμηχανίη γὰρ ἐν αὐτῶν
στήθεσιν ἰθύνει πλαγκτὸν νόον· οἱ δὲ φορεῦνται

N. 94. vs. 1. Vulgo *εἰ δ' ἄγε τῶν*. Emend. Karsten. — 7. Inter hunc versum et antecedentem Proculus interposuit particulam *καί*, unde suspiceris aliquid omissum esse. Simplic. tamen uno ordine continuat. *ἐφικτόν* Proculus, *ἀνυστόν* Simpl. — 9. Vulg. *χρὴ τὸ λέγειν τὸ νοεῖν τὸ ἐόν*. Corr. Grauert. — 10. Vulg. *τά σε*. Corr. Bergk. de Empedocl. prooem. p. 27. — 11. Simplic. *πρώτης γὰρ ἀφ' ὁδοῦ ταύτης διζήσιος*.

κωφοὶ ὁμῶς τυφλοί τε τεθηπότες, ἄκριτα φῦλα,
οἷς τὸ πέλειν τε καὶ οὐκ εἶναι τωὐτὸν νενόμισται
κοὐ τωὐτόν· πάντων δὲ παλίντροπός ἐστι κέλευθος.[c]

a) Ad vs. 1—8. cf. Plato Sophist. p. 237 A. *τετόλμηκεν ὁ λόγος οὗτος ὑποθέσθαι τὸ μὴ ὂν εἶναι· ψεῦδος γὰρ οὐκ ἂν ἄλλως ἐγίγνετο ὄν. Παρμενίδης δὲ ὁ μέγας, ὦ παῖ, παισὶν ἡμῖν οὖσιν ἀρχόμενός τε καὶ διὰ τέλους τοῦτο ἀπεμαρτύρατο, πεζῇ τε ὧδε ἑκάστοτε λέγων καὶ μετὰ μέτρων· Οὐ γὰρ μή ποτε τοῦτο δαῇς, φησίν, εἶναι μὴ ἐόντα· ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα.* Cf. p. 238 C. *συννοεῖς οὖν ὡς οὔτε φθέγξασθαι δυνατὸν ὀρθῶς οὔτ' εἰπεῖν οὔτε διανοηθῆναι τὸ μὴ ὂν αὐτὸ καθ' αὑτό, ἀλλ' ἔστιν ἀδιανόητόν τε καὶ ἄρρητον καὶ ἄφθεγκτον καὶ ἄλογον*; **b)** Sensus: *τὸ μὲν εἶναι ἔστι, τὸ δὲ μὴ εἶναι μηδέν ἐστιν*, cf. Plato Parm. p. 163 C. *τοῦτο τὸ μὴ ἔστι λεγόμενον ἁπλῶς σημαίνει ὅτι οὐδαμῶς οὐδαμῇ ἐστιν οὐδέ πῃ μετέχει οὐσίας τό γε μὴ ὄν. — οὔτε ἄρα εἶναι δύναιτο ἂν τὸ μὴ ὄν, οὔτε ἄλλως οὐδαμῶς οὐσίας μετέχειν. —* **c)** vs. 12 sq. Heracliteos respicere videntur, cf. Bernays Mus. Phil. Rh. N. F. VII, p. 115. a quo dissentit Zeller *d. Philos. d. Gr.* I, p. 495.

95 Parmenides ap. Simpl. Phys. fol. 31 a. b; 17 a; 7 a; de Coelo fol. 27 b.

Μόνος δ' ἔτι μῦθος ὁδοῖο
λείπεται, ὡς ἔστιν. ταύτῃ δ' ἐπὶ σήματ' ἔασι
πολλὰ μάλ', ὡς ἀγένητον ἐὸν καὶ ἀνώλεθρόν ἐστιν,
οὐλον μουνογενές τε καὶ ἀτρεμὲς ἠδ' ἀτάλαντον·
οὔ ποτ' ἔην οὐδ' ἔσται, ἐπεὶ νῦν ἔστιν ὁμοῦ πᾶν,
ἓν ξυνεχές. τίνα γὰρ γένναν διζήσεαι αὐτοῦ;
πῇ πόθεν αὐξηθέν; οὔτ' ἐκ μὴ ἐόντος ἐάσω
φάσθαι σ' οὐδὲ νοεῖν· οὐ γὰρ φατὸν οὐδὲ νοητόν
ἐστιν ὅπως οὐκ ἔστι. τί δ' ἄν μιν καὶ χρέος ὦρσεν,
ὕστερον ἢ πρόσθ' ἐκ τοῦ μηδενὸς ἀρξάμενον φῦν;
οὕτως ἢ πάμπαν πελέμεν χρεών ἐστιν ἢ οὐκί.
οὐδέ ποτ' ἐκ τοῦ ἐόντος ἐφήσει πίστιος ἰσχὺς

N. 95. vs. 3. Libb. *ἀτέλεστον, ἀτέλευτον, ἀγένητον.* — 4. De v. *ἀτάλαντον* cf. Empedocl. in n. 132, not. c, Parmenid. 93. 105 Br. — 5. Libb. *οὐδέ ποτ' ἦν.* Corr. Karsten. — 6. *γένναν* de Coelo in Mss. omnibus et Phys. fol. 31 a. Idem ap. Empedocl. v. 87. — 10. Libb. *πρόσθεν τοῦ μηδενός*, et deinde *ἀρξάμενον φῦναι.* Hoc correxit Buttmann Mus. Ant. Stud. I, 1, 246. — 12. Simplic. *ἔκ γε μὴ ἐόντος, ἐκ μὴ ἐόντος.* Corr. Karsten.

γίνεσθαί τι παρ᾽ αὐτό· τοῦ εἵνεκεν οὔτε γενέσθαι
οὔτ᾽ ὄλλυσθαι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν,
ἀλλ᾽ ἔχει.

Sensus: Unum igitur restat, ut sit ens. Quod multis indiciis probatur esse sine ortu et obitu, integrum, unicum, immotum, semper sibi constans. Neque fuit unquam neque erit, quoniam nunc est simul omne, Unum continuum. Quem eius ortum quaesiveris? Unde et quo modo auctum? Ex non ente nec dicere te sinam nec cogitare; neque enim dici nec cogitari potest, non esse ens. Quae illud necessitas excitaverit postea aut ante? Natio enim non est enti neque initium. Ergo aut esse omnino necesse est aut non esse; neque unquam ex ente demonstrari poterit quidquam fieri praeter ipsum. Quapropter neque fieri neque interire illud concesserit iusta ratio. Cf. quae sequuntur ap. Simplic. Phys. fol. 31 b:

κέκριται δ᾽ οὖν ὥσπερ ἀνάγκη
τὴν μὲν ἐᾶν ἀνόητον, ἀνώνυμον, οὐ γὰρ ἀληθής
ἐστιν ὁδός, τὴν δ᾽ ὥστε πέλειν καὶ ἐτήτυμον εἶναι·
πῶς δ᾽ ἂν ἔπειτα πέλοι τὸ ἐόν; πῶς δ᾽ ἄν κε γένοιτο;
εἰ γε γένοιτ᾽, οὐκ ἔστ᾽, οὐδ᾽ εἴ ποτε μέλλει ἔσεσθαι.
τὼς γένεσις μὲν ἀπέσβεσται καὶ ἄπιστος ὄλεθρος.

ubi vs. 3 post τὴν δὲ supplendum ὁδὸν προκρίνειν, scil. ut sit ens.

Parmenides ap. Clem. Alex. Strom. V, p. 552 D; Simplic. Phys. fol. 19a; 17b; 9a; 7a; 31b. 96

Λεῦσσε δ᾽ ὅμως ἀπεόντα νόῳ παρεόντα βεβαίως·
οὐ γὰρ ἀποτμήξῃ τὸ ἐὸν τοῦ ἐόντος ἔχεσθαι,
οὔτε σκιδνάμενον πάντῃ πάντως κατὰ κόσμον
οὔτε συνιστάμενον.[a] — —
* * *
Οὐδὲ διαίρετόν ἐστιν, ἐπεὶ πᾶν ἐστιν ὁμοῖον·
οὐδέ τι τῇ μᾶλλον, τό κεν εἴργοι μιν ξυνέχεσθαι,
οὐδέ τι χειρότερον· πᾶν δὲ πλέον ἐστὶν ἐόντος.
τῷ ξυνεχὲς πᾶν ἐστιν, ἐὸν γὰρ ἐόντι πελάζει[b]. —
αὐτὰρ ἀκίνητον μεγάλων ἐν πείρασι δεσμῶν
ἐστιν, ἄναρχον, ἄπαυστον, ἐπεὶ γένεσις καὶ ὄλεθρος
τῆλε μάλ᾽ ἐπλάγχθησαν, ἀπῶσε δὲ πίστις ἀληθής.[c]
τωὐτόν τ᾽ ἐν τωὐτῷ τε μένον καθ᾽ ἑωυτό τε κεῖται·

N. 96 vs. 2. Libb. ἀποτμήξει forma attica pro vulgari. — 6. De voce τῇ cf. n. 97. vs. 4. 7. — 7. Simpl. πᾶν δὲ πλέων. Brandis δ᾽ ἐμπλέων ex codice. — 11. Vulg. τῇδε μάλ᾽ ἐπλάγχθ. Corr. Scaliger. — 12. Ita Simpl. fol. 31 b.

οὕτως ἔμπεδον αὖθι μένει· κρατερὴ γὰρ ἀνάγκη
πείρατος ἐν δεσμοῖσιν ἔχει, τό μιν ἀμφὶς ἐέργει.
οὔνεκεν οὐκ ἀτελεύτητον τὸ ἐὸν θέμις εἶναι·
ἐστὶ γὰρ οὐκ ἐπιδευές· ἐὸν δ' ἂν παντὸς ἐδεῖτο.

a) Vs. 1—4. loquitur Sapientia, discipulum exhortans ut quae de aeterna, individua, immobili natura entis docuerit, ea licet oculos fugiant, tamen mente tanquam praesentia contempletur. Nihil, inquit, dissecuerit ens continuum, quippe quod neque dissipatum sit neque constipatum: quibus verbis tangit eos philosophos, qui res fieri *συγκρίσει* et *διακρίσει*, docebant. — **b)** Vs. 5—8 eadem alia ratione exprimuntur: Neque dividuum est ens, siquidem omne sui simile est, neque usquam magis, quod prohiberet ipsum cohaerere, neque minus, sed omne plenum est entis. Ergo continuum est omne, nam ens cum ente consistit. — **c)** Vs. 9—11. Cum ens neque ortum sit neque interire possit, sequitur ut sit immobile: quod pertinet ad motum in tempore. Sequitur vs. 12 sq. de motu in loco. Denique vs. 14 sq. ens finitum esse adiicit (v. 14 *τὸ* referendum ad *πεῖρας*), quia sit nullius rei indigens. Id peculiare fuisse doctrinae Parmenidis adnotat Aristot. Met. *A*, 5, qui locus laudatur n. 87, not; cf. Phys. I, 2; III, 6. *ὁ δὲ τὸ ὅλον πεπεράνθαι μεσσόθεν ἰσοπαλές.*

97 Parmenides ap. Simpl. Phys. fol. 31 b; Plat. Soph. p. 244E; Aristot. de Xenoph., Z. et G. c. 2. 4; Stob. Eclog. I, p. 352; Simpl. Phys. fol. 27 b.

Αὐτὰρ ἐπεὶ πεῖρας πύματον τετελεσμένον ἐστίν,
πάντοθεν εὐκύκλου σφαίρης ἐναλίγκιον ὄγκῳ,
μεσσόθεν ἰσοπαλὲς πάντῃ· τὸ γὰρ οὔτε τι μεῖζον
οὔτε τι βαιότερον πελέναι χρεών ἐστι τῇ ἢ τῇ.
οὔτε γὰρ οὐκ ἐόν ἐστι, τό κεν παύοι μιν ἱκέσθαι
εἰς ὁμόν, οὔτ' ἐόν ἐστιν ὅπως εἴη κεν ἐόντος
τῇ μᾶλλον τῇ δ' ἧσσον, ἐπεὶ πᾶν ἐστιν ἄσυλον.
ἦ γὰρ πάντοθεν ἶσον ὁμῶς ἐν πείρασι κυρεῖ.

Vs. 3. Philoponus in Arist. Phys. III, p. 12 verba *μεσσόθεν ἰσοπαλὲς* recte sic exponit: *τουτέστι ἴσον ἐκ τοῦ μέσου πανταχόθεν ἀπέχον, ἵνα σφαιρικὸν αὐτὸ δείξῃ.* Ad sequentes versus cf. Parmenides Platon.

N. 96 vs. 14. Simpl. fol. 9 a. *ἔχει τό μιν*, cett. locis *ἔχει τέ μιν*.— 16. Simpl. fol. 7 a. *ἐπιδευές· μὴ ἐὸν γὰρ ἂν πάντως.* fol. 9 a. *μὴ ἐὸν δ' ἂν παντός.* fol. 31 b. *μὴ ὂν δ' ἂν π.* Nostrum *ἐὸν* verte, si esset *ἐπιδευές*. — N. 97. vs. 5. Libb. *τό κεν παύῃ ἱκνεῖσθαι*. — 6. Libb. *ὅπως εἴη κενὸν ἐόντος*. Nos refinximus ex coni. Karst. Sensus patet ex n. 96. vs. 5 sqq.

p. 150 E. *καὶ μὴν καὶ αὐτό γε τὸ ἕν πρὸς ἑαυτὸ οὕτως ἂν ἔχοι· μήτε μέγεθος ἐν ἑαυτῷ μήτε σμικρότητα ἔχον οὔτε ἂν ὑπερέχοιτο οὔτ' ἂν ὑπερέχοι ἑαυτοῦ, ἀλλ' ἐξ ἴσου ὂν ἴσον ἄν εἴη ἑαυτῷ.*

Parmenides ap. Simplic. Phys. fol. 19 a; 31 a. b. 98

Τωὐτὸν δ' ἐστὶ νοεῖν τε καὶ οὕνεκέν ἐστι νόημα·
οὐ γὰρ ἄνευ τοῦ ἐόντος, ἐν ᾧ πεφατισμένον ἐστίν,
εὑρήσεις τὸ νοεῖν· οὐδὲν γὰρ ἢ ἔστιν ἢ ἔσται
ἄλλο παρὲκ τοῦ ἐόντος· ἐπεὶ τ' γε Μοῖρ' ἐπέδησεν
οὖλον ἀκίνητόν τ' ἔμεναι. τῷ πάντ' ὄνομ' ἐστίν,
ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ,
γίνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐκί,
καὶ τόπον ἀλλάσσειν, διά τε χρόα φανὸν ἀμείβειν.

Vs. 1. Idem est cogitare atque illud cujus causa est cogitatio h. e. ens, quod solum cogitari potest, nam non ens neque dici neque cogitari potest, v. n. 94, vs. 7. 8. — Vs. 2. Neque enim seorsum ab ente, in quo enuntiatum est (i. e. quod cogitatur), reperies cogitare, quoniam hoc fatum ita vinculis illigavit, ut solum atque immobile sit. — Vs. 5 sq. Propterea omnia nomina tantummodo sunt, quae mortales statuerunt opinantes esse vera, nasci atque interire, esse et non esse, locum mutare, colorem vertere.

Parmenides ap. Simplic. Phys. fol. 9 a, 38 b; de Coelo fol. 137 a. 99

Ἐν τῷ σοι παύσω πιστὸν λόγον ἠδὲ νόημα
ἀμφὶς ἀληθείης· δόξας δ' ἀπὸ τοῦδε βροτείας
μάνθανε, κόσμον ἐμῶν ἐπέων ἀπατηλὸν ἀκούων.
Μορφὰς γὰρ κατέθεντο δύο γνώμης ὀνομάζειν
(τῶν μίαν οὐ χρεών ἐστιν, ἐν ᾧ πεπλανημένοι εἰσίν),
ἀντία δ' ἐκρίναντο δέμας καὶ σήματ' ἔθεντο
χωρὶς ἀπ' ἀλλήλων· τῇ μὲν φλογὸς αἰθέριον πῦρ

N. 98. vs. 3. *γὰρ ἢ ἔστιν.* ἢ inseruimus ex coni. Simpl. Phys. fol. 31 b. *οὐδ' εἰ χρόνος ἐστὶν ἢ ἔσται.* — 5. Ita Simpl. Phys. fol. 19 a et 31 b, nisi quod interpunximus post ἔμεναι, et *τῷ πάντ' ὄνομ' ἐστίν* dedimus pro *ᾧ πᾶν ὄνομ' ἐστίν* quod est fol. 31 b, cum fol. 19 a. legatur *ᾧ πάντ' ὄνομα ἔσται* et in aliis codd. *ὠνόμασται.* Plato Theaet. p. 180 D. *οἷον ἀκίνητον τελέθει τῷ παντί.* Simpl. fol. 7 a. *οἷον ἀκίνητον τελέθει, τῷ πᾶν ὄνομ' εἶναι.* Vide Heindorf ad Plat. Soph. p. 252 a. — N. 99. vs. 1. *παύσω* Simplic. de Coelo, omn. Mss. *παύω* Phys. fol. 9 a. — 7. Vulgo *τὴν μέν.*

ἠπιόφρον, μέγ᾽ ἀραιόν, ἑωυτῷ πάντοσε τωὐτόν,
τῷ δ᾽ ἑτέρῳ μὴ τωὐτόν· ἀτὰρ κἀκεῖνο κατ᾽ αὐτὸ
ἀντία, νύκτ᾽ ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε.
τῶν σοι ἐγὼ διάκοσμον ἐοικότα πάντα φατίσω,
ὡς οὐ μήποτέ τίς σε βροτῶν γνώμη παρελάσσῃ.

Addit Simpl. Phys. fol. 7 b. *Καὶ δὴ καταλογάδην μεταξὺ τῶν ἐπῶν ἐμφέρεταί τι ῥησείδιον ὡς αὐτοῦ Παρμενίδου, ἔχον οὕτως· Ἐπὶ τῷδέ ἐστι τὸ ἀραιόν, καὶ τὸ θερμόν, καὶ τὸ φάος, καὶ τὸ μαλθακόν, καὶ τὸ κοῦφον· ἐπὶ δὲ τῷ πυκνῷ ὠνόμασται τὸ ψυχρόν, καὶ τὸ ζόφος, καὶ τὸ σκληρόν, καὶ τὸ βαρύ· ταῦτα γὰρ ἀπεκρίθη ἑκατέρως ἑκάτερα*: quae notatio ex eorum aliquo, qui de Parmenide scripserant (v. n. 92), ad Simplicium transiisse videtur. Ceterum apparet vs. 1—3 alteri parti carminis et doctrinae, qua mundi adspectabilis ordinem et ornatum exposuerat (n. 93), praefatos esse. Duo enim ponebat rerum genera vel formas (*εἴδη, μορφάς*), e quibus omnia nata essent; alterum lucis, ignis et calidi, alterum noctis, tenebrarum et frigidi nomine vocabant. Ex his reliqua procreantur, praeside Daemone, quam appellat, et Amore (n. 101). At reliqua illa non sunt nisi mortalia et caduca; quo pertinent verba *κόσμον ἐμῶν ἐπέων ἀπατηλόν* vs. 3 et hi versus, quibus posteriorem carminis partem finierat, ap. Simplic. de Coelo fol. 138 b:

οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε, νῦν τε ἔασι
καὶ μετέπειτ᾽ ἀπὸ τοῦδε τελευτήσουσι τραφέντα·
τοῖς δ᾽ ὄνομ᾽ ἄνθρωποι κατέθεντ᾽ ἐπίσημον ἑκάστῳ.

De utriusque partis connexu Arist. Met. *A*, 5. *ἀναγκαζόμενος δ᾽ ἀκολουθεῖν* (sc. *ὁ Παρμενίδης*) *τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων· τούτων δὲ τὸ μὲν κατὰ μὲν τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν.* De Gen. et Corr. I, 3. *ὥσπερ Παρμενίδης λέγει δύο* (sc. *στοιχεῖα*), *τὸ ὂν καὶ τὸ μὴ ὂν εἶναι φάσκων, πῦρ καὶ γῆν.* Cf. Theophrast. in Schol. Aristot. p. 536. *τούτῳ δὲ* (Xenophani) *ἐπιγενόμενος Παρμενίδης — ἐπ᾽ ἀμφοτέρας ἦλθε τὰς ὁδούς· καὶ γὰρ ὡς αἴδιόν ἐστι τὸ πᾶν ἀποφαίνεται καὶ γένεσιν ἀποδιδόναι πειρᾶται τῶν ὄντων, οὐχ ὁμοίως περὶ ἀμφοτέρων δοξάζων, ἀλλὰ κατ᾽ ἀλήθειαν μὲν ἓν τὸ πᾶν καὶ ἀγένητον καὶ σφαιροειδὲς ὑπολαμβάνων, κατὰ δόξαν δὲ τῶν πολλῶν εἰς τὸ γένεσιν ἀποδοῦναι τῶν φαινομένων δύο ποιῶν τὰς ἀρχάς, πῦρ καὶ γῆν, τὸ μὲν ὡς ὕλην τὸ δὲ ὡς αἴτιον καὶ ποιοῦν*: qua interpretatione sententia Parmenidis minus accurate expressa est. Ipsius versus 4 sqq. hunc sensum

---

N. 99. vs. 8. Phys. fol. 9 a. *ἦπιον ὄν, μέγ᾽ ἀραιόν, ἐλαφρόν, ἑωυτῷ.* Similiter fol. 7 b, sed fol. 39 a ita: *ἠπιόν ἐστιν, ἐλαφρόν, ἑαυτῷ πάντοσε τωὐτόν.* Nos *ἠπιόφρον* ex coni. Karst. *ἦπιον ἐόν*, quod pronuntiandum esse per synizesin. — 11. Libb. *τόν*. Corr. Karst.

praebent: Duas enim formas statuerunt appellare (falsi sunt qui alterutram solam posuerunt) et duo corpora rerum distinxerunt. Alterum est ignis aethereus, mitis ille et pertenuis et sui per omnia similis, alteri dissimilis; alterum, et illud per se existens et alteri oppositum, est nox obscura, corpus densum et grave. Horum ego tibi ordinem et dispositionem, unde exstitit mundus, qualis esse videatur, exponam.

Parmenides ap. Simplic. Phys. fol. 39 a. 100

Αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται
καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς,
πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου,
ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδέν.

Sensus: Quum autem omnia nominata sint lux et nox, utriusque effectus (*τὰ κατὰ σφετέρας δυνάμεις*) per omnia pateat, universum completum est simul luce et nocte, aequali utraque, quoniam neutri quidquam cum altera commune est. Aequales dicere videtur quae sint aequaliter discretae (*ἐπεὶ οὐδετέρῳ μέτα μηδέν*) et aeternae.

Simplic. Phys. fol. 9 a. *Μετ' ὀλίγα δὲ πάλιν περὶ τῶν* 101
δυοῖν στοιχείων εἰπὼν (sc. *ὁ Παρμενίδης*) *ἐπάγει καὶ τὸ ποιητικόν, λέγων οὕτως·*

Αἱ γὰρ στεινότεραι πυρὸς ἔκ πεποίηντ' ἀκρίτοιο,
αἱ δ' ἐπὶ τῆς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα·
ἐν δὲ μέσῳ τούτων Δαίμων, ἣ πάντα κυβερνᾷ.
παντὸς γὰρ στυγεροῖο τόκου καὶ μίξιος ἀρχή,
πέμπουσ' ἄρσενι θῆλυ μιγῆναι, ἐναντία τ' αὖθις
ἄρσεν θηλυτέρῳ.[a]

ταύτην καὶ θεῶν αἰτίαν εἶναί φησι, λέγων

πρώτιστον μὲν Ἔρωτα θεῶν μητίσατο πάντων[b].

καὶ τὰς ψυχὰς πέμπειν ποτὲ μὲν ἐκ τοῦ ἐμφανοῦς εἰς τὸ ἀειδές, ποτὲ δὲ ἀνάπαλίν φησιν[c].

Parmenides ap. Clem. Alex. Strom. V, p. 614 A.

Εἶσῃ δ' αἰθερίην τε φύσιν τά τ' ἐν αἰθέρι πάντα
σήματα καὶ καθαρῆς εὐαγέος ἠελίοιο

N. 101. vs. 1. Libb. (Phys. fol. 9 a; 7 b) *στεινότεραι ποίηντο πυρὸς ἀκρίτοιο.* Alii codd. *πύηντο* et *πύην.* — 4—6. Cum praecedentibus conjunguntur apud eundem Simplic. Phys. fol. 7 b. — 4. Vulgo *πάντα γάρ*, vs. 5. *θῆλυ μίγεν τό τ' ἐναντίον αὖθις.* Karst. in comment. proposuit *πέμπε σὺν ἄρσενι θῆλυ μιγῆναι, ἐναντία τ' αὖθις κτλ.*, quod ex parte recepimus.

λαμπάδος ἔργ᾽ ἀΐδηλα καὶ ὁππόθεν ἐξεγένοντο,
ἔργα τε κύκλωπος πεύσῃ περίφοιτα σελήνης
καὶ φύσιν. εἰδήσεις τε καὶ οὐρανὸν ἀμφὶς ἔχοντα,
ἔνθεν ἔφυ τε καὶ ὡς μιν ἄγουσ᾽ ἐπέδησεν Ἀνάγκη
πείρατ᾽ ἔχειν ἄστρων.

Ap. Simplic. de Coelo fol. 137.

πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη
αἰθήρ τε ξυνὸς γάλα τ᾽ οὐράνιον καὶ Ὄλυμπος
ἔσχατος ἠδ᾽ ἄστρων θερμὸν μένος ὡρμήθησαν
γίνεσθαι.[d]

a) Vs. 1—6. Sensus: Angustiores enim orbes constant ex igne solido (*πῦρ ἄκριτον* est ignis abundans, densus, solidus); his superiecti ex nocte et igne mixti sunt; in medio autem coronarum est Dea, quae omnia gubernat. Omnis enim partus coitusque effectrix est, impellens feminam ut mari et marem ut feminae se misceat. Cf. Stob. Ecl. I, p. 482, qui locus ita scribendus videtur: *Παρμενίδης στεφάνας εἶναι περιπεπλεγμένας ἐπαλλήλους, τὴν μὲν ἐκ τοῦ ἀραιοῦ τὴν δὲ ἐκ τοῦ πυκνοῦ, μικτὰς δὲ ἄλλας ἐκ φωτὸς καὶ σκότους μεταξὺ τούτων. καὶ τὸ περιέχον δὲ πάσας τείχους δίκην στερεὸν ὑπάρχειν, ὑφ᾽ ᾧ πυρώδης στεφάνη, καὶ τὸ μεσαίτατον πασῶν, περὶ ὃ πάλιν πυρώδης. τῶν δὲ συμμιγῶν τὴν μεσαιτάτην ἁπάσαις αἰτίαν πάσης κινήσεως καὶ γενέσεως ὑπάρχειν, ἥντινα καὶ Δαίμονα καὶ Κυβερνῆτιν καὶ Κληδοῦχον ἐπονομάζει, Δίκην τε καὶ Ἀνάγκην.* Cf. Cicero Nat. D. I, 11, qui turbat omnia, et Krische *Forschungen* p. 97—116. Locum Stobaei intellige sic: Parm. mundum esse statuit multos orbes circumflexos et ita alternantes, ut alter ex igne s. luce alter ex nocte constet et inter hos alii sint ex luce et nocte mixti. Extimum, quod omnes complectitur (*τὸ περιέχον*), esse firmum et intra illud orbem igneum; intimum, quod intra omnes orbes sit, item firmum et circa illud rursus orbem igneum. Hunc orbem, in medio omnium mixtorum positum, omnibus existere causam omnis motus atque generationis: quam appellari et Deam et Gubernatricem et Clavigeram (i. e. penes quam sint claves adyti) et Iustitiam et Necessitatem. Extremus orbis igneus, qui est intra firmamentum extimum, est coelum stellans, qui vs. 13 appellatur *οὐρανὸς ἀμφὶς ἔχων*, vs. 16 *Ὄλυμπος ἔσχατος*. Intimus ignis, etiam hic firmamento fultus, est quasi Vesta mundi et Dea omnium rerum procreatrix et gubernatrix, v. Theologum. Arithm. I, p. 9 et Simplic. Phys. f. 8 a. *καὶ ποιητικὸν αἴτιον μὲν ἓν κοινόν, τὴν ἐν μέσῳ πάντων ἱδρυμένην καὶ πάσης γενέσεως αἰτίαν δαίμονα τίθησιν.* Eandem non solum *Δίκην* et *Ἀνάγκην*, sed etiam *Ἀφροδίτην* et Amoris matrem appellatam esse testatur Plutarch. Amator. 13, h. e., quod ipse Parmenides ait, omnis coitus et omnis partus effectricem. — **b)** De Amore Parmenidis, quem praeiverant Hesiodus et Pherecydes Syrius, cf. Arist. Met. *A*, 4. Post Amorem etiam de ceteris diis eorumque bellis atque discordiis narraverat sicut anti-

quiores poetae, cf. Plato Sympos. p. 195 C; Cic. Nat. D. I, 11; Menander de encom. I, 5, qui loquitur de physicis hymnis a Parmenide et Empedocle de natura deorum compositis. — **c)** Animae s. daemones a Dea Gubernatrice modo ex regione lucida in tenebricosam, modo ex tenebris in lucem mittuntur. — **d)** Cf. Plutarch. adv. Colot. 13. *ὅς γε (Παρμενίδης) καὶ διάκοσμον πεποίηται καὶ στοιχεῖα μιγνύς, τὸ λαμπρὸν καὶ τὸ σκοτεινόν, ἐκ τούτων τὰ φαινόμενα πάντα καὶ διὰ τούτων ἀποτελεῖ· καὶ γὰρ περὶ γῆς εἴρηκε πολλὰ καὶ περὶ οὐρανοῦ καὶ ἡλίου καὶ σελήνης καὶ ἄστρων καὶ γένεσιν ἀνθρώπων ἀφήγηται.* De singulis parum liquet.

Diog. L. IX, 22. *Γένεσίν τε ἀνθρώπων ἐξ ἰλύος πρῶτον* 102
γενέσθαι.[a] Arist. Met. *Γ*, 5. *Καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· — — καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον·*

Ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πολυκάμπτων,
τὼς νόος ἀνθρώποισι παρέστηκεν· τὸ γὰρ αὐτὸ
ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν
καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.[b]

Theophr. de Sens. 3. *Παρμενίδης μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν* (sc. *περὶ αἰσθήσεων*), *ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις· ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ ψυχρόν, ἄλλην γίγνεσθαι τὴν διάνοιαν· βελτίω δὲ καὶ καθαρωτέραν τὴν διὰ τὸ θερμόν. οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρίας**). 4. *τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν ὡς ταὐτὸ λέγει· διὸ καὶ τὴν μνήμην καὶ τὴν λήθην ἀπὸ τούτων***) *γίγνεσθαι διὰ τῆς κράσεως. ἂν δ' ἰσάζωσι τῇ μίξει, πότερον ἔσται φρονεῖν ἢ οὔ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν, φανερὸν ἐν οἷς φησι τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν*[c].

a) Cf. Censorin. de die nat. 4, qui tradit Parmenidem de generatione hominis similiter atque Empedoclem statuisse (v. infra n. 137), ut *primo singula membra ex terra quasi praegnante edita deinde coiverint et solidi hominis materiam effecerint, igni simul et humore*

---

*) Sequuntur versus modo ex Aristotele allati. Apud Theophrastum ita est: *ὡς γὰρ ἑκάστῳ ἔχει κρᾶσις μ. πολυπλάγκτων.* — **) Scil. *τῶν στοιχείων* vel *μελέων.*

permixtam: haec sunt duo ista elementa opposita, quae Parmenides per omnem naturam persequebatur. Et ita etiam Amorem et Discordiam in hominis procreationem valere statuebat, v. Censorin. c. 6. *inter se certare feminae et maris, et penes utrum victoria sit, eius habitum referri auctor est Parmenides:* cuius versus latine conversos servavit Cael. Aurel. de Morb. Chron. IV, 9. — **b)** Ut cuique comparata est mixtio membrorum, sic cuique intellectus est. Hoc enim est quod sapit, corporis natura, hominibus omnibus ac singulis. Quod enim praevalet intelligentia est, f. quae sequuntur ap. Theophr. l. c.: *δυοῖν ὄντοιν στοιχείοιν κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις.* — **c)** Parmenides igitur etiam elementis oppositis sensum tribuebat, ita ut unumquodque sentiret id quod suae naturae par esset, cf §. 1. *Παρμενίδης — τῷ ὁμοίῳ* sc. *ποιεῖ τὴν αἴσθησιν,* velut frigidum sentitur a frigido etc. Cf. Empedocles n. 139.

3. Zeno.

103 Diog. L. IX, 25. *Ζήνων Ἐλεάτης — — διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά. — — φησὶ δὲ Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς. — γέγονε δὲ ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ. φέρεται γοῦν αὐτοῦ βιβλία πολλῆς συνέσεως γέμοντα.*

De aetate notum est ex Platone Parm. p. 127 B cit. n. 91 b. Floruit Ol. 79, v. Diog. L. IX, 29; Suid. v. *Ζήνων.* Ex Platone etiam illud sumptum, quod dicit Laertius Zenonem Parmenidi in deliciis fuisse. — Strab. VI, p. 252 Eleam praeter Parmenidis etiam Zenonis legibus floruisse narrat. Patriae amorem in eo prae se tulit quod civium libertatem contra Nearchum tyrannum vindicare conabatur, extremos, cum tyranno succubuisset, cruciatus constanter perpessus; v. Diod. Sic. Exc. Vales. 557; Plut. adv. Colot. 32; Diog. L. IX, 26. 27; Cousin *nouveaux fragments philosophiques* p. 107 sqq. Dialectices inventor dici videtur cum propter summum syllogismorum artificium, tum quia dialogos philosophicos composuit, v. Diog. L. III, 47; Arist. El. Soph. 10. Librorum titulos complures numerat Diog. L. v. *Ζήνων.* Inprimis nobilis erat ille, quo refutatis adversariorum opinionibus Parmenidis de Uno doctrinae patrocinatus erat, de quo ipse Zeno apud Plat. Parmenid. p. 128. *Ἔστι δὲ τό γε ἀληθὲς βοήθειά τις ταῦτα τὰ γράμματα τῷ Παρμενίδου λόγῳ πρὸς τοὺς ἐπιχειροῦντας αὐτὸν κωμῳδεῖν, ὡς, εἰ ἕν ἔστι, πολλὰ καὶ γελοῖα συμβαίνει πάσχειν τῷ λόγῳ καὶ ἐναντία αὑτῷ. ἀντιλέγει δὴ οὖν τοῦτο τὸ γράμμα πρὸς τοὺς τὰ πολλὰ λέγοντας καὶ ἀνταποδίδωσι ταὐτὰ καὶ πλείω, τοῦτο βουλόμενον δηλοῦν, ὡς ἔτι γελοιότερα πάσχοι ἂν αὐτῶν ἡ ὑπόθεσις, ἡ εἰ πολλὰ ἔστιν ἢ ἡ τοῦ ἓν εἶναι, εἴ τις ἱκανῶς ἐπεξίοι. διὰ τοιαύτην δὴ φιλονεικίαν ὑπὸ νέου ὄντος ἐμοῦ ἐγράφη, καί τις αὐτὸ ἔκλεψε γραφέν, ὥστε οὐδὲ βουλεύσασθαι ἐξεγένετο, εἴτ' ἐξοιστέον αὐτὸ εἰς τὸ φῶς εἴτε μή.* Postrema a Platone addita videntur eo consilio, ut

minueretur Zenonis quae ei propter artificiosius argumentandi genus conflata erat invidia; v. Diog. L. VIII, 57; IX, 25; Sext. Emp. VII, 7. In tribus potissimum rebus ratiocinationes Zenonis, Palamedis Eleatici quem dicit, positas fuisse affirmat Plato Phaedr. p. 261 E. *τὰ αὐτὰ ὅμοια καὶ ἀνόμοια, καὶ ἓν καὶ πολλά, μένοντά τε αὖ καὶ φερόμενα.*

Simplic. in Phys. fol. 255 a. *Διὰ τοῦτο λύει* (sc. ὁ *Ἀριστοτέλης*) *καὶ τὸν Ζήνωνος τοῦ Ἐλεάτου λόγον, ὃν ἤρετο Πρωταγόραν τὸν σοφιστήν. Εἰπέ γάρ μοι, ἔφη, ὦ Πρωταγόρα, ἆρα ὁ εἷς κέγχρος καταπεσὼν ψόφον ποιεῖ ἢ τὸ μυριοστὸν τοῦ κέγχρου; τοῦ δὲ εἰπόντος μὴ ποιεῖν, Ὁ δὲ μέδιμνος, ἔφη, τῶν κέγχρων καταπεσὼν ποιεῖ ψόφον ἢ οὔ; τοῦ δὲ ψοφεῖν εἰπόντος τὸν μέδιμνον, Τί οὖν, ἔφη ὁ Ζήνων, οὐκ ἔστι λόγος τοῦ μεδίμνου τῶν κέγχρων πρὸς τὸν ἕνα καὶ τὸ μυριοστὸν τοῦ ἑνός; τοῦ δὲ φήσαντος εἶναι, Τί οὖν, ἔφη ὁ Ζήνων, οὐ καὶ τῶν ψόφων ἔσονται λόγοι πρὸς ἀλλήλους οἱ αὐτοί; ὡς γὰρ τὰ ψοφοῦντα, καὶ οἱ ψόφοι· τούτου δὲ οὕτως ἔχοντος, εἰ ὁ μέδιμνος τοῦ κέγχρου ψοφεῖ, ψοφήσει καὶ ὁ εἷς κέγχρος καὶ τὸ μυριοστὸν τοῦ κέγχρου.* 104

Cf. Arist. Phys. VII, 5.

Simplic. Phys. fol. 30 b. *Δεικνὺς γὰρ ὅτι, εἰ πολλὰ ἔστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζήνων· „Εἰ πολλὰ ἔστιν, ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἔστι καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττονα. εἰ δὲ τοσαῦτα ἔστιν ὅσα ἔστι, πεπερασμένα ἂν εἴη.“ καὶ πάλιν· „Εἰ πολλὰ ἔστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἔστι καὶ πάλιν ἐκείνων ἕτερα μεταξύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί.“ καὶ οὕτω μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε*[a]*. τὸ δὲ κατὰ μέγεθος πρότερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι, εἰ μὴ ἔχοι μέγεθος τὸ ὄν, οὐδ' ἂν εἴη, ἐπάγει· „Εἰ δὲ ἔστιν, ἀνάγκη ἕκαστον μέγεθός τε ἔχειν καὶ πάχος, καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου. καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγος· καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τι. ὅμοιον δὲ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν· οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον ἔσται, οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔσται· οὕτως εἰ πολλὰ ἔστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μέν, ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δέ, ὥστε ἄπειρα εἶναι.“*[b] 105

a) *Ἐκ τῆς διχοτομίας.* De eadem argumentandi ratione Aristoteles Phys. I, 3 extr. *ἐκ τῆς διχοτομίας ἄτομα ποιήσαντες μεγέθη*, quem locum interpretes ad Zenonem referebant; v. Simplic. f. 30 a. Bipartitam illam divisionem esse per se non necesse est, verum exempli gratia potissimum haec allata sunt. — **b)** Si divisionem in infinitum persequare, quodvis corpus ex infinitis corpusculis constare; infinite igitur magnum esse videbitur. Atqui corpuscula illa infinite parva sunt. Sequitur ergo compositionem quoque eorum infinite parvam esse. Cf. Eudem. ap. Simpl. Phys. f. 30 a. *καὶ Ζήνωνά φασι λέγειν, εἴ τις αὐτῷ τὸ ἓν ἀποδοίη τί ποτέ ἐστι, ἔξειν τὰ ὄντα λέγειν. ἠπόρει δέ, ὡς ἔοικε, διὰ τὸ τῶν μὲν αἰσθητῶν ἕκαστον κατηγορικῶς τε πολλὰ λέγεσθαι καὶ μερισμῷ, τὴν δὲ στιγμὴν μηδὲ ἓν τιθέναι· ὃ γὰρ μήτε προστιθέμενον αὔξει μήτε ἀφαιρούμενον μειοῖ οὐκ ᾤετο τῶν ὄντων εἶναι.* Postrema leguntur etiam apud Aristotelem Met. *B*, 4. Quod argumentandi genus secus intelligentes nonnulli Unum a Zenone sublatum esse affirmant, velut Alex. Aphrod. ap. Simpl. f. 30 a; Senec. Ep. 88. extr.

106 Simpl. Phys. fol. 130 b. *Ὁ Ζήνωνος λόγος ἀναιρεῖν ἐδόκει τὸν τόπον ἐρωτῶν οὕτως· „Εἰ ἔστιν ὁ τόπος, ἐν τίνι ἔσται; πᾶν γὰρ ὂν ἔν τινι· τὸ δὲ ἔν τινι καὶ ἐν τόπῳ. ἔσται ἄρα καὶ ὁ τόπος ἐν τόπῳ, καὶ τοῦτο ἐπ᾽ ἄπειρον, οὐκ ἄρα ἔστιν ὁ τόπος.“*

Cf. Arist. Phys. IV, 1. 3.

107 Arist. Phys. VI, 9. *Τέτταρες δ᾽ εἰσὶ λόγοι περὶ κινήσεως Ζήνωνος οἱ παρέχοντες τὰς δυσκολίας τοῖς λύουσιν· πρῶτος μὲν ὁ περὶ τοῦ μὴ κινεῖσθαι διὰ τὸ πρότερον εἰς τὸ ἥμισυ δεῖν ἀφικέσθαι τὸ φερόμενον ἢ πρὸς τὸ τέλος*[a]. *— δεύτερος δ᾽ ὁ καλούμενος Ἀχιλλεύς· ἔστι δ᾽ οὗτος, ὅτι τὸ βραδύτερον οὐδέποτε καταληφθήσεται θέον ὑπὸ τοῦ ταχίστου· ἔμπροσθεν γὰρ ἀναγκαῖον ἐλθεῖν τὸ διῶκον ὅθεν ὥρμησε τὸ φεῦγον, ὥστ᾽ ἀεί τι προέχειν ἀναγκαῖον τὸ βραδύτερον*[b]. *— — τρίτος δὲ — — ὅτι ἡ ὀϊστὸς φερομένη ἕστηκεν. συμβαίνει δὲ παρὰ τὸ λαμβάνειν τὸν χρόνον συγκεῖσθαι ἐκ τῶν νῦν*[c]. *— — τέταρτος δ᾽ ὁ περὶ τῶν ἐν τῷ σταδίῳ κινουμένων ἐξ ἐναντίας ἴσων ὄγκων παρ᾽ ἴσους, τῶν μὲν ἀπὸ τέλους τοῦ σταδίου, τῶν δ᾽ ἀπὸ μέσου, ἴσῳ τάχει, ἐν ᾧ συμβαίνειν οἴεται ἴσον εἶναι χρόνον τῷ διπλασίῳ τὸν ἥμισυν. ἔστι δ᾽ ὁ παραλογισμὸς ἐν τῷ τὸ μὲν παρὰ κινούμενον τὸ δὲ παρ᾽ ἠρεμοῦν τὸ ἴσον μέγεθος ἀξιοῦν τῷ ἴσῳ τάχει τὸν ἴσον φέρεσθαι χρόνον*[d].

a) Cf. Arist. Phys. VI, 2. *διὸ καὶ ὁ Ζήνωνος λόγος ψεῦδος λαμβάνει τὸ μὴ ἐνδέχεσθαι τὰ ἄπειρα διελθεῖν ἢ ἅψασθαι τῶν ἀπείρων καθ᾽*

ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. Cf. Scholl. Arist. Phys. p. 407 b Brandis, ubi hoc exemplum adiicitur: εἰ γὰρ κινοῖτό τι ἐπὶ πηχυαίου μεγέθους ἐν μιᾷ ὥρᾳ, ἐπειδὴ ἐν παντὶ μεγέθει ἄπειρόν ἐστι σημεῖον*), ἀνάγκη πάντων ἅψασθαι τῶν σημείων τοῦ μεγέθους τὸ κινούμενον· διελεύσεται ἄρα τὸ ἄπειρον ἐν πεπερασμένῳ χρόνῳ, ὅπερ ἀδύνατον. Spatium infinitum esse eo demonstrabat Zeno quod quaelibet spatii pars bifariam dividi posset. — **b)** Simpl. Phys. f. 237 a. Ἀχιλλεὺς οὖν ὁ λόγος ἀπὸ τοῦ παραληφθέντος ἐν αὐτῷ Ἀχιλλέως ἐκλήθη, ὃν ἀδύνατόν φησιν ὁ λόγος τὴν χελώνην διώκοντα καταλαβεῖν. — **c)** Cf. Arist. init. cap. laud.; Simpl. Phys. f. 236 b. Ὁ δὲ Ζήνωνος λόγος — — ἐᾠκει συλλογίζεσθαι οὕτως· τὸ φερόμενον βέλος ἐν παντὶ τῷ**) νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ἐστιν, ὥστε καὶ ἐν παντί τῷ χρόνῳ· τὸ δὲ ἐν τῷ νῦν κατὰ τὸ ἴσον ἑαυτῷ ὂν οὐ κινεῖται. ἠρεμεῖ ἄρα, ἐπειδὴ μηδὲν ἐν τῷ νῦν κινεῖται, τὸ δὲ μὴ κινούμενον ἠρεμεῖ, ἐπειδὴ πᾶν ἢ κινεῖται ἢ ἠρεμεῖ. τὸ ἄρα φερόμενον βέλος ἕως φέρεται ἠρεμεῖ, κατὰ πάντα τὸν τῆς φορᾶς χρόνον. — **d)** Simpl. Phys. f. 238 a. Ὁ μὲν οὖν λόγος — εὐηθέστατος —, ὥς φησιν Εὔδημος, διὰ τὸ προφανῆ τὸν παραλογισμὸν ἔχειν. Optime hoc argumentum explicatur a Baylio Dict. hist. crit. art. Zenon. lit. F.

Diog. L. IX, 29. Ἀρέσκει δ' αὐτῷ τάδε· κόσμους εἶναι***) 108
κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ λαμβανόντων εἰς ἄλληλα τὴν μεταβολήν. γένεσίν τ' ἀνθρώπων ἐκ γῆς εἶναι καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων κατὰ μηδενὸς τούτων ἐπικράτησιν.

Absonum est quod Zeno plures mundos statuisse perhibetur. Reliqua quamquam minus offendant, tamen dubium an ipse physicam explicaverit. Idem cadit in Melissum, cf. n. 116, not., et Zeller *Phil. d. Gr.* I, p. 422. 444 ed. 2.

4. Melissus.

Diog. L. IX, 24. Μέλισσος — Σάμιος. οὗτος ἤκουσε 109
Παρμενίδου[a], — — γέγονε δὲ καὶ πολιτικὸς ἀνὴρ καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος· ὅθεν καὶ ναύαρχος αἱρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη διὰ τὴν οἰκείαν ἀρετήν[b]. — — φησὶ δ' Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδηκοστὴν Ὀλυμπιάδα.

---

*) Leg. ἄπειρά ἐστι σημεῖα. — **) τῷ deest in edit. — ***) Hesych.. Miles. p. 26 ed. Or. κόσμον εἶναι. In seqq. vulg. λαμβανόντων αὐτῶν. Hoc eiecit Cobet.

a) Hoc parum probabile est, et minus etiam illud verisimile quod Heraclitum audivisse traditur, apud Diog. l. l. — **b)** Athenienses a Samiis Melisso duce pugna navali victos esse narrat Aristot. ap. Plut. V. Pericl. c. 26; cf. adv. Colot. 32; Suid. s. v. *Μέλιτος*. Congruit computatio Apollodori. v. Clinton F. H. s. ann. 440. — Opus Melissi, quod reliquit, unicum *περὶ τοῦ ὄντος* inscriptum fuisse testatur Suid. l. l., *περὶ φύσεως* Galen. ad Hippocr. d. Natur. Hom. I, p. 5 Kuehn.; de Elem. sec. Hippocr. I, 9, p. 487 Kuehn.: *τὰ γὰρ τῶν παλαιῶν ἅπαντα περὶ φύσεως ἐπιγέγραπται, τὰ Μελίσσου, τὰ Παρμενίδου, τὰ Ἐμπεδοκλέους, Ἀλκμαίωνός τε καὶ Γοργίου, καὶ Προδίκου, καὶ τῶν ἄλλων ἁπάντων*; *de ente et natura* Alexander Aphrod. et Nicol. Damasc. apud Bessarion. in Calumn. Platon. II, 11. Ionica dialecto scriptum erat; de divisione v. ad n. 113. Reliquias, quas Simplicio maximam partem debemus, tractavit Brandis Commentatt. Eleat. Sect. III, p. 186 sqq., cf. Mullach Arist. de Melisso, X. G. p. 80—90. Aristotelici qui fertur libri de Xenophane, Zenone et Gorgia capp. I et II ad Melissum pertinere evicit Spalding Vindiciae Philosophor. Megaricor. p. 56 sqq.

110 Simpl. Phys. fol. 22 b. *Ὁ Μέλισσος — ἄρχεται τοῦ συγγράμματος οὕτως· „Εἰ μὲν μηδὲν ἔστι, περὶ τούτου τί ἂν λέγοιτο ὡς ἐόντος τινός; εἰ δέ τι ἔστιν, ἤτοι γινόμενόν ἐστιν ἢ ἀεὶ**) *ἐόν. ἀλλ᾽ εἰ γινόμενον, ἤτοι ἐξ ἐόντος ἢ ἐκ μὴ ἐόντος· ἀλλ᾽ οὔτε ἐκ μὴ ἐόντος οἷόν τε γίνεσθαί τι, οὔτε ἄλλο μὲν οὐδὲν ἐόν, πολλῷ δὲ μᾶλλον τὸ ἁπλῶς ἐόν· οὔτε ἐκ τοῦ ἐόντος· εἴη γὰρ ἂν οὕτω καὶ οὐ γίνοιτο. οὐκ ἄρα γινόμενόν ἐστι τὸ ἐόν· ἀεὶ ἐὸν ἄρα ἐστίν. Οὔτε φθαρήσεται τὸ ἐόν· οὔτε γὰρ ἐς τὸ μὴ ἐὸν οἷόν τε τὸ ἐὸν μεταβάλλειν· συγχωρέεται γὰρ καὶ τοῦτο ὑπὸ τῶν φυσικῶν· οὔτε ἐς ἐόν· μένοι γὰρ ἂν πάλιν οὕτω γε καὶ οὐ φθείροιτο. οὔτε ἄρα γέγονε τὸ ἐόν, οὔτε φθαρήσεται· ἀεὶ ἄρα ἦν τε καὶ ἔσται.“*

Cf. Meliss. ap. Simpl. fol. 34 b. Arist. d. Xenoph. Zen. Gorg. c. 1. *εἰ δ᾽ ὄντων τινῶν ἀεὶ ἕτερα προσγίγνοιτο, πλέον ἂν καὶ μεῖζον τὸ ὂν***) *γεγονέναι· ᾧ δὴ πλέον καὶ μεῖζον, τοῦτο γενέσθαι ἂν ἐξ οὐδενός. οὐ γὰρ ἐν τῷ ἐλάττονι τὸ πλέον, οὐδ᾽ ἐν τῷ μικροτέρῳ τὸ μεῖζον ὑπάρχειν.*

111 Melissus ap. Simpl. l. l. *Ἀλλ᾽ ἐπειδὴ τὸ γενόμενον ἀρχὴν ἔχει, τὸ μὴ γενόμενον ἀρχὴν οὐκ ἔχει, τὸ δ᾽ ἐὸν οὐ γέγονεν, οὐκ ἂν ἔχοι ἀρχήν. ἔτι δὲ τὸ φθειρόμενον τελευτὴν ἔχει· εἰ δέ τί*

---

*) Vulgo *ἀεί*. Restituimus ionismum, itemque in sequentibus. — **) Vulgo *ἕν*. De sequentibus cf. Mullach l. c. p. 3.

ἐστιν ἄφθαρτον, τελευτὴν οὐκ ἔχει· τὸ ἐὸν ἄρα ἄφθαρτον ἐὸν τελευτὴν οὐκ ἔχει· τὸ δὲ μήτε ἀρχὴν ἔχον μήτε τελευτὴν ἄπειρον τυγχάνει ἐόν· ἄπειρον ἄρα τὸ ἐόν.

Cf. Meliss. ap. Simpl. Phys. f. 24 a. Ἀλλ' ὥσπερ ἔστιν αἰεί, οὕτω καὶ τὸ μέγαθος ἄπειρον αἰεὶ χρὴ εἶναι. Cf. Arist. d. Xenoph. Zen. Gorg. l. l, Aristoteles Melissum vituperat plus semel, velut Met. *A*, 5 (una cum Xenophane), Phys. I, 2. 3 (φορτικός), praesertim propter hanc conclusionem dissolutiorem Elench. Soph. 6. Et ipse quidem Melissus, deesse aliquid sentiens, id in hunc modum supplevisse videtur, ap. Simpl. Phys. f. 23 b. οὐ γὰρ αἰεὶ εἶναι ἀνυστὸν ὅ τι μὴ πᾶν ἐστι.

Melissus ap. Simpl. l. l. Εἰ δὲ ἄπειρον, ἕν. εἰ γὰρ δύο εἴη, 112
οὐκ ἂν δύναιτο ἄπειρα εἶναι, ἀλλ' ἔχοι ἂν πείρατα πρὸς ἄλληλα· ἄπειρον δὲ τὸ ἐόν· οὐκ ἄρα πλείω τὰ ἐόντα· ἓν ἄρα τὸ ἐόν.

Cf. Meliss. ap. Simpl. Phys. f. 23 b. Arist. d. Xenoph. l. l. qui addit ἕν δὲ ὂν ὅμοιον εἶναι πάντῃ· εἰ γὰρ ἀνόμοιον, πλείω ὄντα οὐκ ἂν ἔτι ἓν εἶναι, ἀλλὰ πολλά, quae ex sequentibus translata esse videntur, argumentorum serie leviter inflexa. Eodem pertinent haec Melissi l. l.: εἰ διῄρηται τὸ ἐόν, κινέεται· κινεόμενον δὲ οὐκ ἂν εἴη ἅμα, quae sunt ad argumentum de motu referenda, v. num. sq.

Melissus ap. Simpl. l. l. Ἀλλὰ μὴν εἰ ἕν, καὶ ἀκίνητον· 113
τὸ γὰρ ἓν ἐὸν ὅμοῖον αἰεὶ ἑωυτῷ· τὸ δὲ ὅμοῖον οὔτ' ἂν ἀπόλοιτο, οὔτ' ἂν μέζον γίνοιτο, οὔτε μετακοσμέοιτο, οὔτε ἀλγέοι, οὔτε ἀνιῷτο*). εἰ γάρ τι τούτων πάσχοι, οὐκ ἂν ἓν εἴη· τὸ γὰρ ἠντιναοῦν κίνησιν κινεόμενον ἐκ τινος καὶ ἐς ἕτερόν τι μεταβάλλει· οὐδὲν δὲ ἦν ἕτερον παρὰ τὸ ἐόν. οὐκ ἄρα τοῦτο κινήσεται. Καὶ κατ' ἄλλον δὲ τρόπον οὐδὲν κενεόν ἐστι τοῦ ἐόντος· τὸ γὰρ κενεὸν οὐδέν ἐστιν· οὐκ ὂν οὖν εἴη τό γε μηδέν. οὐ κινέεται οὖν τὸ ἐόν· ὑποχωρῆσαι γὰρ οὐκ ἔχει οὐδαμῇ, κενεοῦ μὴ ἐόντος. ἀλλ' οὐδὲ ἐς ἑωυτὸ συσταλῆναι δυνατόν[a]. εἴη γὰρ ἂν οὕτως ἀραιότερον ἑωυτοῦ καὶ πυκνότερον· τοῦτο δὲ ἀδύνατον. τὸ γὰρ ἀραιὸν ἀδύνατον ὁμοίως εἶναι πλῆρες τῷ πυκνῷ, ἀλλ' ἤδη τὸ ἀραιόν γε κενεώτερον γίνεται τοῦ πυκνοῦ· τὸ δὲ κενεὸν οὐκ ἔστιν. εἰ δὲ πλῆρές ἐστι τὸ ἐὸν ἢ μή, κρίνειν χρὴ τῷ ἐσδέχεσθαί τι αὐτὸ ἄλλο, ἢ μή· εἰ γὰρ μὴ ἐσδέχεται, πλῆρες· εἰ δὲ ἐσδέχοιτό τι, οὐ πλῆρες· εἰ οὖν ἐστι μὴ κενεόν, ἀνάγκη πλῆρες εἶναι· εἰ δὲ τοῦτο, μὴ κινέεσθαι· οὐχ ὅτι μὴ δυνατὸν διὰ πλήρεος κι-

*) Vulgo ἀλγεῖ et ἀνιᾶται. Herod. IV, 130. ἀνιᾠατο.

νέεσθαι, ὡς ἐπὶ τῶν σωμάτων λέγομεν[b], ἀλλ' ὅτι πᾶν τὸ ἐὸν οὔτε ἐς ἐὸν δύναται κινέεσθαι· οὐ γὰρ ἔστι τι παρ' αὐτό· οὔτε ἐς τὸ μὴ ἐόν· οὐ γὰρ ἔστι τὸ μὴ ἐόν.

a) Scil. διακρινόμενον sive συγκρινόμενον. — **b)** V. loc. sq.

Cf. Arist. d. Xenoph. l. l., qui easdem conclusiones, sed brevius et compositius affert: ἄϊδιον δὲ ὂν ἄπειρόν τε καὶ ὅμοιον πάντῃ, ἀκίνητον εἶναι τὸ ἕν· οὐ γὰρ ἂν κινηθῆναι μὴ εἰς τι ὑποχωρῆσαν· ὑποχωρῆσαι δὲ ἀνάγκην εἶναι ἤτοι εἰς πλῆρες ἐὸν ἢ εἰς κενόν. τούτων δὲ τὸ μὲν οὐκ ἂν δέξασθαι, τὸ πλῆρες, τὸ δὲ οὐκ εἶναι οὐδέν, τὸ κενόν. {De vacui notione cf. *Studien z. Geschichte d. Begriffe*, p. 553 sqq.} Ceterum ex loco supra laudato aliisque fragmentis huic similibus quae fuerit totius libri dispositio existimari potest. Nam videtur, praecipuis argumentis in initio operis ad compendium propositis, deinde singula capita copiosius pertractasse, addita simul, id quod ex Arist. de Xenoph. l. l. colligitur, dissentientium refutatione. Ex accuratiore illa argumentorum explicatione haec adiicere non alienum erit, quae leguntur ap. Simpl. Phys. f. 24 a. Εἰ γὰρ ἑτεροιοῦται, ἀνάγκη τὸ ἐὸν μὴ ὁμοῖον εἶναι, ἀλλ' ἀπόλλυσθαι τὸ πρόσθεν ἐὸν, τὸ δὲ οὐκ ἐὸν γίνεσθαι. εἰ τοίνυν τρισμυρίοισι*) ἔτεσιν ἑτεροῖον γίνοιτο τὸ πᾶν, ὀλέοιτο**) ἂν ἐν τῷ παντὶ χρόνῳ. Ἀλλ' οὐδὲ μετακοσμηθῆναι ἀνυστόν· ὁ γὰρ κόσμος ὁ πρόσθεν ἐὼν οὐκ ἀπόλλυται***), οὔτε ὁ μὴ ἐὼν γίνεται. — Οὐδὲ ἀλγέει· οὐ γὰρ ἂν πᾶν εἴη ἀλγεινόν· οὐ γὰρ ἂν δύναιτο αἰεὶ εἶναι χρῆμα ἀλγεινόν· οὐδ' ἂν ἔχοι†) ἴσην δύναμιν τῷ ὑγιεῖ· οὔτ' ἂν ὁμοῖον εἴη, εἰ ἀλγέοι· ἀπογινομένου γάρ τευ ἂν ἀλγέοι ἢ προσγινομένου, καὶ οὐκ ἂν ἔτι ὁμοῖον εἴη. οὐδ' ἂν τὸ ὑγιὲς ἀλγῆσαι δύναιτο· ἀπὸ γὰρ ἂν ὅλοιτο τὸ ὑγιὲς καὶ τὸ ἐόν, τὸ δὲ οὐκ ἐὸν γένοιτο. καὶ περὶ τοῦ ἀνιῆσθαι ὁ αὐτὸς λόγος τῷ ἀλγέοντι.

114 Melissus ap. Simpl. fol. 24 a; 19 a. Εἰ μὲν ἐὸν ἔστι††), δεῖ αὐτὸ ἓν εἶναι· ἓν δὲ ἐόν, δεῖ αὐτὸ σῶμα μὴ ἔχειν. εἰ δὲ ἔχοι†††) πάχος, ἔχοι ἂν μόρια καὶ οὐκέτι ἂν εἴη ἕν.

Cf. Arist. d. Xenoph. c. 2. Intelligitur ex hoc loco quam caute hoc Aristotelis testimonio uti debeamus, Met. *A*, 5. Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς (Unum intellectuale) ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό. Ξενοφάνης δὲ — — οὐθὲν διεσαφήνισεν, οὐθὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ' εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν. Ubi quae de Xenophane adiiciuntur ostendunt hoc iudicium non in eo inniti, quod Melissus τὸ ἓν et τὸν κόσμον idem

---

*) Vulg. ἐν τριχὶ μιῇ μυρίοις. Corr. Brandis. — **) Vulg. ὀλεῖται. — ***) Vulg. ἀπολεῖται. — †) Vulg. οὐδ' ἔχει. — ††) Vulg. εἴη. — †††) Vulg. ἔχει.

esse statuebat, v. loc. ad n. 113. laud.: verum Aristoteles id placitum Eleaticis commune fuisse existimabat; de Coelo III, 1. *ἐκεῖνοι δὲ* (sc. *Μέλισσος καὶ Παρμενίδης*) *διὰ τὸ μηθὲν μὲν ἄλλο παρὰ τὴν τῶν αἰσθητῶν οὐσίαν ὑπολαμβάνειν εἶναι, τοιαύτας δέ τινας* (sc. *ἀγενήτους καὶ ἀκινήτους*) *νοῆσαι πρῶτοι φύσεις, εἴπερ ἔσται τις γνῶσις ἢ φρόνησις, οὕτω μετήνεγκαν ἐπὶ ταῦτα τοὺς ἐκεῖθεν λόγους.* Aristoteles igitur, si Melisso Unum materiale tribuebat, id maxime spectasse videtur, quod illi Uni, quantum sciamus, non cogitationem tribuebat, verum sanitatem tantummodo, v. loc. ad n. 113 citatum, et palmariam quandam excellentiam, *τοῦ γὰρ ἑόντος ἀληθινοῦ κρέσσον οὐδέν*, v. loc. sq. extr.

Melissus ap. Simpl. de Coelo fol. 137a, v. Scholl. Aristot. p. 509b. cf. Aristocl. ap. Eus. Pr. Ev. XIV, 17. *Εἰ γὰρ ἦν πολλά, τοιαῦτα χρῆν**) *αὐτὰ εἶναι, οἷόν περ ἐγώ φημι τὸ ἓν εἶναι. εἰ γὰρ ἔστι γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ σίδηρος καὶ χρυσὸς καὶ πῦρ, καὶ τὸ μὲν ζῳὸν***), *τὸ δὲ τεθνηκός, καὶ μέλαν καὶ λευκὸν καὶ τὰ ἄλλα πάντα ὅσσα****) *οἱ ἄνθρωποί φασιν εἶναι ἀληθέα* †), *εἰ δὴ ταῦτα ἔστι καὶ* ††) *ἡμέες ὀρθῶς ὁρέομεν καὶ ἀκούομεν, εἶναι χρὴ ἕκαστον τοιοῦτον, οἷόν περ τὸ πρῶτον ἔδοξεν ἡμῖν* †††), *καὶ μὴ μεταπίπτειν μηδὲ γίνεσθαι ἕτεροῖον, ἀλλ' αἰεὶ εἶναι ἕκαστον οἷόν περ ἔστιν* §). *νῦν δέ φαμεν ὀρθῶς ὁρᾶν καὶ ἀκούειν καὶ συνιέναι· δοκέει δὲ ἡμῖν τό τε θερμὸν ψυχρὸν γίνεσθαι καὶ τὸ ψυχρὸν θερμὸν, καὶ τὸ σκληρὸν μαλθακὸν καὶ τὸ μαλθακὸν σκληρὸν, καὶ τὸ ζῳὸν* §§) *ἀποθνήσκειν καὶ ἐκ μὴ ζῶντος γίνεσθαι, καὶ ταῦτα πάντα ἑτεροιοῦσθαι, καὶ ὅ τι ἦν τε καὶ ὃ νῦν ἔστιν* §§§) *οὐδὲν ὁμοῖον εἶναι, ἀλλ' ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁμουρέων**†) *καὶ χρυσὸς καὶ λίθος καὶ ἄλλο ὅ τι ἰσχυρὸν δοκέει εἶναι πᾶν· ὥστε συμβαίνει μήτε ὁρᾶν μήτε τὰ ἐόντα γινώσκειν, ἐξ ὕδατός τε γῆ καὶ λίθοις γίνεσθαι. οὐ τοίνυν ταῦτα ἀλλήλοις ὁμολογέει· φαμένοις γὰρ εἶναι πολλὰ ἀΐδια καὶ εἰδεά τε καὶ ἰσχὺν ἔχοντα πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκέει καὶ μεταπίπτειν ἐκ τοῦ ἑκάστοτε ὁρεομένου. δῆλον τοίνυν ὅτι οὐκ ὀρθῶς ὁρέομεν***†), *οὐδὲ ἐκεῖνα πολλὰ ὀρθῶς δο-* 115

---

*) Vulg. *πολλὰ τοιαῦτα, χρή.* — **) Simpl. *ζῷον*,, Aristocl. *ζῶν.* — ***) Simpl. *τὰ ἄλλα, ὅσα φασὶν εἶναι ἄνθρωποι.* — †) Aristocl. *ἀληθῶς.* — ††) Arist. *ἢ καί.* — †††) Arist. *εἶναι ἐχρῆν, καὶ τὸ ἐὸν τοιοῦτον, οἷον πρῶτον ἔδοξεν ἡμῖν εἶναι.* — §) Arist. *ἕτερον, ἀλλ' εἶναι ὅμοιον, οἷόν περ ἐστὶ ἕκαστον.* — §§) Arist. *ζῶν*, Simpl. *ζῷον.* — §§§) Simpl. om. *ἔστιν.* — *†) Libb. *ὁμοῦ ῥέων.* Corr. Bergk. *ὁμουρέων* est digito conterminus, aptatus. — **†) Simpl. *ἑωρῶμεν.*

κέει εἶναι. οὐ γὰρ ἂν μετέπιπτεν, εἰ ἀληθέα ἦν, ἀλλ᾽ ἦν, οἷόν περ ἐδόκεε ἕκαστον, τοιοῦτον· τοῦ γὰρ ἐόντος ἀληθινοῦ κρέσσον οὐδέν. ἦν δὲ μεταπέσῃ, τὸ μὲν ἐὸν*) ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν. οὕτως οὖν εἰ πολλὰ ἦν**), τοιαῦτα χρῆν***) εἶναι, οἷόν περ τὸ ἕν.

Cf. Aristot. l. l.

116 Io. Philop. in Arist. Phys. *B*, p. 3 b. ὁ *Μέλισσος ἐν τοῖς πρὸς ἀλήθειαν* ἓν *εἶναι λέγων τὸ ὂν ἐν τοῖς πρὸς δόξαν δύο φησὶν εἶναι τὰς ἀρχὰς τῶν ὄντων, πῦρ καὶ ὕδωρ.*

Haec produnt sectatorem Parmenidis. Apud Stob. Ecl. I, p. 60. *Μέλισσος καὶ Ζήνων τὸ ἓν καὶ πᾶν (ἀπεφήναντο), καὶ μόνον ἀΐδιον καὶ ἄπειρον τὸ ἕν, καὶ τὸ μὲν ἓν τὴν ἀνάγκην, ὕλην δὲ αὐτῆς τὰ τέσσαρα στοιχεῖα, εἴδη δὲ τὸ νεῖκος καὶ τὴν φιλίαν* etc., ante *καὶ τὸ μὲν ἓν* nomen Empedoclis excidisse videtur. Cf. in Zenone n. 108, not.

---

*) Coni. Brandis, *Geschichte der Philosophie* I, p. 403. Cod. *τὸ μέσον*. — **) Vulg. *εἴη*. — ***) Vulg. *χρή*.

Caput III.

ATOMICI.

A. Anaxagoras.

Diog. L. II, 6. *Ἀναξαγόρας — Κλαζομένιος. οὗτος ἤκου-* 117
σεν Ἀναξιμένους. Ibid. 7. *Φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι, τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ὀγδοηκοστῆς*) *ὀγδόης. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου, ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ· ἔνθα καί φασιν αὐτὸν ἔτη διατρῖψαι τριάκοντα.* Plut. Pericl. 32. *Καὶ ψήφισμα Διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας, ἀπερειδόμενος εἰς Περικλέα δι' Ἀναξαγόρου τὴν ὑπόνοιαν. — — Ἀναξαγόραν δὲ φοβηθεὶς* (sc. *ὁ Περικλῆς*) *ἐξέπεμψε καὶ προὔπεμψεν ἐκ τῆς πόλεως.* Diog. L. II, 14. *Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι κατέστρεψεν.*

De aetate cf. Clinton F. H. a. 500, 480, 450, 428; C. F. Hermann de philos. Ionic. aetat. p. 10. 18 sqq. Ab Anaximene eum disciplinam accepisse (Cic. Nat. D. I, 11) quo minus putemus obstat ratio temporum. Callias archon plerumque vocatur Calliades. Exploratum est Anaxagoram Pericle familiariter usum esse, v. Plat. Phaedr. p. 270 A. *ὃ καὶ Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο· προσπεσὼν γὰρ — Ἀναξαγόρᾳ μετεωρολογίας ἐμπλησθεὶς καὶ ἐπὶ φύσιν νοῦ τε καὶ ἀνοίας ἀφικόμενος, ὧν δὴ πέρι τὸν πολὺν λόγον ἐποιεῖτο Ἀναξαγόρας, ἐντεῦθεν εἵλκυσεν ἐπὶ τὴν τῶν λόγων τέχνην τὸ πρόσφορον αὐτῇ* scil. *τὸ ὑψηλόνουν τοῦτο καὶ πάντη τελεσιουργόν*, cf. Alcib. I, p. 118 C. De causis cur Athenis exul factus sit cf. Plutarch. V. Nic. 23. Diog. L. II, 12—14. Discipulum

*) Vulg. *ἑβδομηκοστῆς*.

habuit praeter Periclem et Archelaum Euripidem, quem notum est Anaxagorae placita per fabulas suas frequentare. Cf. Valcken. diatrib. de Eurip. perdit. dramat. reliqq. p. 25 sq.

118 Plut. V. Nic. 23. *Ὁ — πρῶτος σαφέστατόν τε πάντων καὶ θαρραλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας.* Diog. L. II, 8. *Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον.*

Plurimus erat in siderum observatione, verum tamen ut in solis natura, ita etiam in lunae defectionibus definiendis rudior; cf. Stob. Eclog. I, p. 560, Hippol. Ref. Haer. I, 8 et de luna Plato Cratyl. p. 409. Saxum casurum esse e sole praedixisse fertur Ol. 78, 2, idque factum interdiu in Thraciae parte ad Aegos flumen, Plin. H. N. II, 58, Io. Lydus d. ostentis 7, Clinton F. H. a. 468. Placita perscripserat libro *περὶ φύσεως*, ut fertur, inscripto, cuius exordium exstat ap. Diog. L. II, 6, qui eum librum *ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον* fuisse dicit. Ionice eum scripsisse cernitur ex fragmentis a Simplicio maximam partem servatis. Unum tantummodo librum edidisse narratur a Diog. L. I, 16. De titulo *περὶ κύκλου τετραγωνισμοῦ*, Plut. de Exil. 17, ambiguum est utrum librum significet an adumbrationem per Anaxagoram in carcere factum. Sed libro scripta fuisse videtur *ἡ ἀκτινογραφίη*, Vitruv. VII, praef., h. e. de scenarum architectura, quemadmodum ad aciem oculorum struendae sint. Anaxagoras in mathematicis nnmeratur a Platone Erast. p. 132 A, cf. Procul. ad Euclidem II, p. 19 ed. Basil. Primus ille Homerum allegorice interpretatus est, v. Georg. Syncell. Chron. p. 149 ed. Paris, in quo studio sodalem habuit Metrodorum Lampsacenum, Diog. L. II, 11. Cf. Lobeck. Aglaoph. p. 156 sq. — De Anaxagora scripserat inter antiquos Theophrastus, v. Simpl. in Arist. Phys. fol. 6 b, 35 b, Diog. L. V, 42, Suid. v, *Θεόφρ.* Fragmenta digesserunt Ed. Schaubach, Lips. 1827, W. Schorn, Bonnae 1829; cf. F. Panzerbieter, scriptio de fragmentorum Anaxagorae ordine, Meiningae 1836.

119 Anaxag. ap. Simplic. in Arist. Phys. 34 b. *Τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.* Id. ibid. fol. 33 b. *Τουτέων δὲ οὕτω διακεκριμένων γινώσκειν χρὴ ὅτι πάντα οὐδὲν ἐλάσσω ἐστὶν οὐδὲ πλέω· οὐ γὰρ ἀνυστὸν πάντων πλέω εἶναι, ἀλλὰ πάντα ἴσα αἰεί.*

Cf. Arist. Met. *A*, 3. *Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου* (sc. *Ἐμπεδοκλέους*), *τοῖς δ' ἔργοις* (i. e. doctrina)

ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ' οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια h. e. prope omnes illas res, numero infinitas, quae partes habent ipsi rei similes eundem in modum atque aqua et ignis, principia esse voluit neque aliam nisi miscendi et discernendi mutationem subire. Cf. de Coelo III, 3. *Ἀναξαγόρας δ' Ἐμπεδοκλεῖ ἐναντίως λέγει περὶ τῶν στοιχείων. ὁ μὲν γὰρ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις στοιχεῖά φησιν εἶναι τῶν σωμάτων καὶ συγκεῖσθαι πάντ' ἐκ τούτων, Ἀναξαγόρας δὲ τοὐναντίον· τὰ γὰρ ὁμοιομερῆ στοιχεῖα (λέγω δ' οἷον σάρκα καὶ ὀστοῦν καὶ τῶν τοιούτων ἕκαστον), ἀέρα δὲ καὶ πῦρ μίγμα τούτων καὶ τῶν ἄλλων σπερμάτων πάντων· εἶναι γὰρ ἑκάτερον αὐτῶν ἐξ ἀοράτων ὁμοιομερῶν πάντων ἠθροισμένον.* De Gener. et Corrupt. I, 1 (n. 125). — Etenim quae Anaxagoras vocaverat *σπέρματα* vel *χρήματα* vel *σπέρματα τῶν χρημάτων* (n. 119. 120), ea Aristoteles suo loquendi genere usus appellavit *ὁμοιομερῆ*, quo complecti solet omnes res, quae e partibus constant similibus, cf. de Gen. et Corr. l. c.: *ὁ μὲν γὰρ τὰ ὁμοιομερῆ στοιχεῖα τίθησιν, οἷον ὀστοῦν καὶ σάρκα καὶ μυελὸν καὶ τῶν ἄλλων ὧν ἑκάστου συνώνυμον τὸ μέρος ἐστίν.* Quod nomen ad posteriores propagatum ita deinde inflexum est, ut alii loquantur de homoeomeria Anaxagorae, quam principium esse rerum posuerit, velut Lucret. I, 830 sqq., alii de homoeomeriis, v. Sext. Emp. adv. Matth. III, 33, X, 251, alii. Cf. F. Breier, *die Philosophie des Anaxagoras von Klazomenae nach Aristoteles, Berlin 1840.*

Idem ib. fol. 33 b. *Ἀναξαγόρας λέγων ἀπ' ἀρχῆς· „Ὁμοῦ* 120
πάντα χρήματα) ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα· καὶ γὰρ τὸ σμικρὸν ἄπειρον ἦν[a]. καὶ πάντων ὁμοῦ ἐόντων οὐδὲν ἔνδηλον**) ἦν ὑπὸ σμικρότητος· πάντα γὰρ ἀὴρ τε καὶ αἰθὴρ κατεῖχεν, ἀμφότερα ἄπειρα ἐόντα[b]. ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖσι σύμπασι καὶ πλήθεϊ καὶ μεγάθεϊ.“ καὶ μετ' ὀλίγον· „Καὶ γὰρ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ ἀποκρίνεται ἀπὸ τοῦ περιέχοντος τοῦ πολλοῦ***). καὶ τό γε περιέχον ἄπειρόν ἐστι τὸ πλῆθος.“ καὶ μετ' ὀλίγα· „Τουτέων δὲ οὕτως ἐχόντων χρὴ δοκέειν ἐνεῖναι†) πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖσι συγκρινομένοισι,*

---

*) Ita Schorn, codd. mss. sequutus, et propter sententiae rationem. Vulgo *ὁμοῦ χρήματα πάντα.* Simpl. de Coel. fol. 150. *Λέγει δὲ Ἀναξαγ. ἀρχόμενος τοῦ συγγράμματος· ὁμοῦ χρήματα ἦν, ἄπειρα πάντα καὶ πλ.* — **) Ita Schorn ex collat. fol. 8 a, 33 b. cod. D, al. Vulgo *εὔδηλον.* Ita et in sequentibus. Panzerb. tuetur *εὔδηλον.* Simpl. de Coel. f. 150 *ἔνδηλον.* — ***) Schorn coni. *τοῦ τὰ πολλὰ περιέχοντος.* — †) Simpl. nostro loco *εἶναι.* Sed paullo infra *ἐνεῖναι,* cf. Simplic. de Coelo f. 150. Schorn *ἓν εἶναι* ex Phys. fol. 8 a.

καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς[c]*).*" — „*Πρὶν δὲ ἀποκριθῆναι*", *φησί,* „*ταῦτα**) *πάντων ὁμοῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμιή· ἀπεκώλυε γὰρ ἡ σύμμιξις πάντων χρημάτων, τοῦ τε διεροῦ καὶ τοῦ ξηροῦ, καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τοῦ λαμπροῦ καὶ τοῦ ζοφεροῦ, καὶ γῆς πολλῆς ἐνεούσης καὶ σπερμάτων ἀπείρων πλῆθος***) *οὐδὲν ἐοικότων ἀλλήλοισιν· οὐδὲ γὰρ τῶν ἄλλων οὐδὲν ἐοικε τῷ ἑτέρῳ τὸ ἕτερον.*"

a) Ab omni tempore erant infinita tanquam semina rerum eaque infinite parva, sed ita confusa et compacta ut essent *ὁμοῦ πάντα χρήματα* h. e. indiscreta et immota et quasi unum, cf. Arist. Met. *Λ*, 2, ubi infinitum Anaximandri et sphaerus Empedoclis comparatur cum uno Anaxagorae (*βέλτιον γὰρ ἢ ὁμοῦ πάντα*, v. n. 12, not. c), et Phys. III, 5, ubi idem appellatur *ἄπειρον* (n. 123, not. b). Adde Theophrastum ap. Simplic. Phys. fol. 6 b, qui locus laudatur n. 12, not. c. — **b)** Aether Anaxagorae ignem caelestem significat, nisi fallitur Aristoteles Meteor. I, 3, de Coelo I, 3, cf. infra n. 124. — **c)** *ἡδονὴ* videtur esse sapor, cf. in Diogene Apollon. n. 164. not. b.

121 Plut. de Plac. Phil. I, 29. *Ἀναξαγόρας καὶ οἱ Στωικοὶ* (sc. *τὴν τύχην*) *ἄδηλον αἰτίαν ἀνθρωπίνῳ λογισμῷ.* Alex. Aphrod. de Fato 2. *Ἀναξαγόρας — λέγει — μηδὲν τῶν γιγνομένων γίγνεσθαι καθ' εἱμαρμένην, ἀλλὰ εἶναι κενὸν τοῦτο τοὔνομα.*

Apparet haec Stoicorum vocabula maximam partem esse, non Anaxagorae. Ad sensum cf. Arist. Met. *Λ*, 3. *μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχὰς* (locutus erat de iis, qui omnem rerum naturam ex elementis sua sponte exstitisse existimaverant), *ὡς οὐχ ἱκανῶν οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, πάλιν ὑπ' αὐτῆς τῆς ἀληθείας — ἀναγκαζόμενοι τὴν ἐχομένην ἐζήτησαν ἀρχήν· τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ' ἄλλο τῶν τοιούτων οὐδὲν οὔτ' εἰκὸς αἴτιον εἶναι οὔτ' ἐκείνους οἰηθῆναι· οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς εἶχεν. νοῦν δή τις εἰπὼν εἶναι καθάπερ ἐν τοῖς ζῴοις καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης οἷον νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς πρότερον.*

122 Diog. L. II, 6. *Ἀναξαγόρας — ἀρξάμενος οὕτω τοῦ συγγράμματος· — „Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε.*"

---

*) *ταῦτα* add. ex fol. 8 a. — **) Vulgo *πλήθους*. Emend. Schorn. — Postrema verba *οὐδὲ γὰρ — ἕτερον* Panzerb. non Anaxagorae sed Simplicii esse censet.

Coartavit Diogenes quae plenius leguntur apud Simplicium l. l.; cf. Simpl. de Coel. f. 145. *λέγει γὰρ ὅτι ἦν ὁμοῦ πάντα χρήματα, νοῦς δὲ αὐτὰ διακρίνας διεκόσμησε.* Arist. Phys. VIII, 1. *φησὶ γὰρ ἐκεῖνος ὁμοῦ πάντων ὄντων καὶ ἠρεμούντων τὸν ἄπειρον χρόνον κίνησιν ἐμποιῆσαι τὸν νοῦν καὶ διακρῖναι.* Quid differret inter *νοῦν* et *ψυχὴν* parum curasse Anaxagoram queritur idem de An. I, 2, 5. *Ἀναξαγόρας δ' ἧττον διασαφεῖ περὶ αὐτῶν* (sc. *τῆς ψυχῆς καὶ τοῦ νοῦ*), *πολλαχοῦ μὲν γὰρ τὸ αἴτιον τοῦ καλῶς καὶ ὀρθῶς τὸν νοῦν λέγει, ἑτέρωθι δὲ τοὐτον εἶναι τὴν ψυχήν· ἐν ἅπασι γὰρ ὑπάρχειν αὐτὸν τοῖς ζῴοις, καὶ μεγάλοις καὶ μικροῖς, καὶ τιμίοις καὶ ἀτιμοτέροις.* Sed. cf. quae leguntur ib. 13. *πλὴν ἀρχήν γε τὸν νοῦν τίθεται μάλιστα πάντων· μόνον γοῦν φησὶν αὐτὸν τῶν ὄντων ἁπλοῦν εἶναι καὶ ἀμιγῆ τε καὶ καθαρόν. ἀποδίδωσι δ' ἄμφω τῇ αὐτῇ ἀρχῇ, τό τε γιγνώσκειν καὶ τὸ κινεῖν.* Adde de An. III, 4 et quae ad locum subsequentem disputat Breier l. c. p. 54 sqq.

Anaxag. ap. Simpl., fol. 33 b. 35 a. *Τὰ μὲν ἄλλα παντὸς* 123
μοῖραν[a] *μετέχει**), *νόος δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμικται οὐδενὶ χρήματι, ἀλλὰ μοῦνος αὐτὸς***) *ἐφ' ἑωυτοῦ ἐστιν· εἰ μὴ γὰρ ἐφ' ἑωυτοῦ ἦν, ἀλλά τεῳ ἐμέμικτο ἄλλῳ, μετεῖχεν ἂν ἁπάντων χρημάτων, εἰ ἐμέμικτό τεῳ· ἐν παντὶ γὰρ παντὸς μοῖρα ἔνεστιν, ὥσπερ ἐν τοῖσι πρόσθεν μοι λέλεκται· καὶ ἂν****) *ἐκώλυεν*[b] *αὐτὸν τὰ συμμεμιγμένα, ὥστε μηδενὸς χρήματος κρατέειν ὁμοίως, ὡς καὶ μοῦνον ἐόντα ἐφ' ἑωυτοῦ. ἔστι γὰρ λεπτότατόν*[c] *τε πάντων χρημάτων καὶ καθαρώτατον, καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον. Ὅσα γε*†) *ψυχὴν ἔχει καὶ μέζω καὶ ἐλάσσω*††), *πάντων νόος κρατέει· καὶ τῆς περιχωρήσιος τῆς συμπάσης νόος ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχήν*[d]. *καὶ πρῶτον ἀπὸ τοῦ σμικροῦ ἤρξατο περιχωρῆσαι, ἔπειτεν πλέον περιεχώρεε* †††), *καὶ περιχωρήσει ἐπὶ πλέον*[e] *καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα καὶ διακρινόμενα πάντα ἔγνω νόος· καὶ ὁκοῖα ἔμελλεν ἔσεσθαι καὶ ὁκοῖα ἦν καὶ ἅσσα*§) *νῦν ἔστι καὶ ὁκοῖα ἔσται, πάντα διεκόσμησε νόος, καὶ τὴν περιχώρησιν ταύτην, ἣν νῦν περιχωρέει τά τε ἄστρα καὶ ὁ ἠέλιος καὶ ἡ σελήνη καὶ ὁ ἀὴρ καὶ ὁ αἰθὴρ οἱ ἀποκρινόμενοι· ἡ δὲ περιχώρησις αὐτὴ*§§) *ἐποίησεν ἀποκρίνεσθαι, καὶ ἀποκρίνεται ἀπό τε τοῦ ἀραιοῦ τὸ πυκνὸν καὶ ἀπὸ τοῦ*

*) Restit. Schorn ex cod. D. Vulg. *ἔχει.* — **) Schorn *μοῦνον αὐτό.* — ***) Restit. Schorn ex cod. D. Vulg. *ἀνεκώλυεν.* — †) Schorn coni. *ὅσα τε.* — ††) *τὰ μέζω καὶ τὰ ἐλάσσω* add. Schorn ex fol. 38 a. cod. D. C. — †††) Vulgo *ἐπεὶ δὲ πλεῖον περιχωρεῖ.* — §) Sic fol. 38 a. Vulg. *ὅσα.* — §§) Vulgo *αὕτη*, v. fol, 37 b, 38 b.

ψυχροῦ τὸ θερμὸν καὶ ἀπὸ τοῦ ζοφεροῦ τὸ λαμπρὸν καὶ ἀπὸ τοῦ διεροῦ τὸ ξηρόν. μοῖραι δὲ πολλαὶ πολλῶν εἰσί. παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται τὸ*) ἕτερον ἀπὸ τοῦ ἑτέρου[e], πλὴν νόου. νόος δὲ πᾶς ὁμοιός ἐστι, καὶ ὁ μέζων καὶ ὁ ἐλάσσων. ἕτερον δὲ οὐδέν ἐστιν ὁμοῖον οὐδενὶ ἑτέρῳ**), ἀλλ᾽ ὅτεων***) πλεῖστα ἑνί, ταῦτα ἐνδηλότατα ἓν ἕκαστόν ἐστι καὶ ἦν.

a) Cf. Arist. Phys. I, 4; Plut. de Pl. Ph. I, 3; Lucret. de Rer. Nat. I, 876 sq.; Simplic. in Arist. Phys. fol. 6 b. *Πάντα γὰρ τὰ ὁμοιομερῆ, οἷον ὕδωρ ἢ πῦρ ἢ χρυσόν, ἀγένητα μὲν εἶναι καὶ ἄφθαρτα· φαίνεσθαι δὲ γιγνόμενα καὶ ἀπολλύμενα συγγκίσει καὶ διακρίσει μόνον, πάντων μὲν ἐν πᾶσιν ὄντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν ἐν αὐτῷ χαρακτηριζομένου· χρυσὸς γὰρ φαίνεται ἐκεῖνο ἐν ᾧ πολὺ τὸ χρυσίον, καίτοι πάντων ἐνόντων.* — **b)** Infinitam enim illam seminum commixtionem ab initio immotam constitisse et quasi rigore quodam adstrictam fuisse statuebat, v. Arist. Phys. III, 5. *Ἀναξαγόρας δ᾽ ἀτόπως λέγει περὶ τῆς τοῦ ἀπείρου μονῆς· στηρίζειν γὰρ αὐτὸ αὑτό φησι τὸ ἄπειρον· τοῦτο δέ, ὅτι ἐν αὑτῷ· ἄλλο γὰρ οὐδὲν περιέχει, ὡς ὅπου ἂν τι ᾖ πεφυκός, ἐνταῦθα εἶναι.* — **c)** Ambigua voce utitur, quae erat sermonis philosophici tum temporis inopia et angustia. Nempe mens nihil cum materia commune habet. — **d)** {*Τὴν ἀρχήν* cum subsequentibus jungo.} — **e)** Initium motus facit mens; sed moventur per eam non omnia, sed pauca tantum. Accedit deinde *ἡ περιχώρησις*, qua ipsae res sua sponte et agitantur et secernuntur, v. quae sequuntur *ἡ δὲ περιχώρησις αὐτὴ ἐποίησεν ἀποκρίνεσθαι κτλ.*, ubi *αὐτὴ* dicitur velut *αὐτὸς* (Ζεὺς) *δ᾽ ἐκ κεφαλῆς Τριτογένειαν ἔτικτε*, Hesiod. Theog. 924, similia; Simpl. Phys. fol. 67 a. *κινεομένων δὲ καὶ διακρινομένων ἡ περιχώρησις πολλῷ μᾶλλον ἐποίεε διακρίνεσθαι.* Hoc Anaxagorae Socrates ap. Plat. Phaed. p. 98 B criminatur, eum mente principio quidem tanquam deo ex machina usum esse dicens, deinde vero eam deseruisse subsidiumque sibi a causis naturalibus petiisse: *προϊὼν καὶ ἀναγιγνώσκων ὁρῶ ἄνδρα τῷ μὲν νῷ οὐδὲν χρώμενον οὐδέ τινας αἰτίας ἐπαιτιώμενον εἰς τὸ διακοσμεῖν τὰ πράγματα, ἀέρας δὲ καὶ αἰθέρας καὶ ὕδατα αἰτιώμενον καὶ ἄλλα πολλὰ καὶ ἄτοπα.* Cf. Arist. Met. *A*, 4. *Ἀναξαγόρας τε γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν, καὶ ὅταν ἀπορήσῃ διὰ τίν᾽ αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε παρέλκει αὐτόν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν.* Simpl. Phys. fol. 73 b, *Ἀναξαγόρας δὲ τὸν νοῦν ἐάσας, ὥς φησιν Εὔδημος, καὶ αὐτοματίζων τὰ πολλὰ συνίστησιν.* — **f)** Cf. Anax. ap. Simpl. Phys. fol. 38 a. *ὅτι οὐ κεχώρισται ἀλλήλων τὰ ἐν τῷ ἑνὶ κόσμῳ οὐδὲ ἀποκέκοπται πελέκει.*

---

*) *οὐδὲ διακρίνεται τὸ* acc. ex cod. D. fol. 33 b. cf. f. 38 a. — **) Fol. 35 a. *οὐδενὶ ἑτέρῳ, ἀπείρων ὄντων*, quod recepit Schorn. Verendum vero, ne *ἀπείρων ὄντων* addita sint a Simplicio. Vulgo *οὐδενὶ ἄλλῳ, ἀλλ᾽ ὅτ.* — ***) Vulgo *ὅτω*. Schorn. *ὅτεῳ*. Panzerb. *ὅτευ*.

Id. ibid. fol. 38 b. „Τὸ μὲν πυκνόν", φησί, „καὶ διερὸν 124
καὶ ψυχρὸν καὶ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν ἡ γῆ· τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν*) ἐξεχώρησεν ἐς τὸ πρόσω τοῦ αἰθέρος." καὶ τὰ μὲν ἀρχοειδῆ ταῦτα καὶ ἁπλοίστατα[a] ἀποκρίνεσθαι λέγει· ἄλλα δὲ τούτων συνθετώτερα ποτὲ μὲν συμπήγνυσθαι λέγει ὡς σύνθετα, ποτὲ δὲ ἀποκρίνεσθαι ὡς τὴν γῆν. οὕτω γάρ φησιν. „Ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελέων ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ οὗτοι δὲ ἐκχωρέουσι μᾶλλον τοῦ ὕδατος"**).

a) Ἁπλούστατα non sunt ea, quae ex simplicissimis composita sunt, sed ea, quae primo quoque et simplicissimo motu oriuntur. Primum enim aer et aether secernuntur, quibuscum coniunctissima sunt sidera atque sol et luna, cf. n. 120 et haec in n. 123. *τά τε ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ὁ ἀήρ καὶ ὁ αἰθὴρ οἱ ἀποκεκριμένοι.* Deinde ex nubibus h. e. ex aere discreta aqua consistit terra etc. Solem, lunam, reliqua sidera lapides esse ignitos atque pellucentes putabat. v. Diog. L. II, 12, Hippolyt. I, 8; Plut. Lysand. 12; Pl. Ph. II, 13, 3; cf. Plato Legg. XII, p. 967 C. *τὰ γὰρ πρὸ τῶν ὀμμάτων πάντα αὐτοῖς ἐφάνη τὰ κατ' οὐρανὸν φερόμενα μεστὰ εἶναι λίθων καὶ γῆς καὶ πολλῶν ἄλλων ἀψύχων σωμάτων.*

Arist. de Gen. et Corr. I, 1. Ἐναντίως δὲ φαίνονται 125
λέγοντες οἱ περὶ Ἀναξαγόραν τοῖς περὶ Ἐμπεδοκλέα. ὁ μὲν γάρ φησι πῦρ καὶ ὕδωρ καὶ ἀέρα καὶ γῆν στοιχεῖα τέσσαρα καὶ ἁπλᾶ εἶναι μᾶλλον ἢ σάρκα καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα τῶν ὁμοιομερῶν· οἱ δὲ ταῦτα μὲν ἁπλᾶ καὶ στοιχεῖα, γῆν δὲ καὶ πῦρ καὶ ὕδωρ καὶ ἀέρα σύνθετα· πανσπερμίαν γὰρ εἶναι τούτων.

Inde derivabantur quae pertinebant ad alimentorum rationem explicandam. Plut. de Plac. Phil. I, 3. *τροφὴν γοῦν προσφερόμεθα ἁπλῆν καὶ μονοειδῆ, οἷον τὸν δημήτριον ἄρτον, τὸ ὕδωρ πίνοντες· καὶ ἐκ ταύτης τῆς τροφῆς τρέφεται θρὶξ φλὲψ ἀρτηρία νεῦρα ὀστᾶ καὶ τὰ λοιπὰ μόρια. τούτων οὖν γιγνομένων ὁμολογητέον ἐστὶν ὅτι ἐν τῇ τροφῇ τῇ προσφερομένῃ πάντα ἐστὶ τὰ ὄντα κτλ.* Arist. de Gen. Anim. I, 18. *Ἀναξαγόρας μὲν γὰρ εὐλόγως φησὶ σάρκας ἐκ τῆς τροφῆς προσιέναι ταῖς σαρξίν.*

Arist. Phys. IV, 6. Οἱ μὲν οὖν δεικνύναι πειρώμενοι ὅτι 126
οὐκ ἔστιν (sc. τὸ κενόν) οὐχ ὃ βούλονται λέγειν οἱ ἄνθρωποι

*) Schorn. ex Hippol. I, 8. inseri vult *καὶ τὸ λαμπρόν.* — **) Cf. Simpl. fol. 33 b, ubi legitur *λίθος συμπήγνυται*, quod placuit Schornio.

κενόν, τοῦτ' ἐξελέγχουσιν ἀλλ' ἁμαρτάνοντες λέγουσιν, ὥσπερ Ἀναξαγόρας καὶ οἱ τοῦτον τὸν τρόπον ἐλέγχοντες. ἐπιδεικνύουσι γὰρ ὅτι ἔστι τι ὁ ἀήρ, στρεβλοῦντες τοὺς ἀσκοὺς καὶ δεικνύντες ὡς ἰσχυρὸς ὁ ἀὴρ καὶ ἐναπολαμβάνοντες ἐν ταῖς κλεψύδραις.[a]

a) {De hoc loco cf. *Stud. z. Gesch. d. Begr.*, p. 554 sqq.}

127 Theophr. Hist. Plant. III, 2. Ἀναξαγόρας μὲν τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά. Diog. L. II, 9. Ζῷα γενέσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων[a]. Plut. Qu. Nat. 1. Ζῷον γὰρ ἔγγειον τὸ φυτὸν εἶναι οἱ περὶ — Ἀναξαγόραν — οἴονται. Arist. de Plant. I, 1. Ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι (sc. τὰ φυτὰ) καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τε ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων. — — καὶ νοῦν καὶ γνῶσιν εἶπε ἔχειν τὰ φυτά[b].

a) De animalibus cf. Hippol. I, 8; Irenaeus adv. Haer. II, 14. *Anaxagoras autem — dogmatizavit facta animalia decidentibus e coelo in terram seminibus.* Cf. in Anaximandro n. 16. — **b)** Eo differunt res animatae ab inanimatis, quod in illis inest intellectus, qui iis et pro anima et pro ratione est, v. Anaxag. ap. Simpl. Phys. fol. 35 a. ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν νόου· ἔστιν οἷσι δὲ καὶ νόος ἔνι. Stob. Ecl. I, p. 790, ubi Anaxagoras cum aliis dicitur docuisse θύραθεν εἰσκρίνεσθαι τὸν νοῦν. Adde quae ex Aristotele laudantur n. 122, not. Hominem a ceteris animalibus nonnisi eo differre censebat, quod corpore aptiore uteretur, v. Arist. d. Part. Anim. IV, 10. Ἀναξαγόρας μὲν οὖν φησι διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζῴων ἄνθρωπον, cf. Plut. de Frat. Am. 2, de Fortun. 3. Neque in sola terra, sed etiam in sideribus animalia rationalia existere docebat, v. Simpl. Phys. fol. 8 a. 33 b; Diog. L. II, 8; Hippolyt. I, 8. Ipsam rationem parum distinxisse memoratur a sensibus, Arist. Met. Γ, 5. Ἀναξαγόρου δὲ καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν ὑπολάβωσιν. Cf. Cic. Ac. I, 12.

128 Sext. Empir. adv. Math. VII, 90. Ὁ μὲν φυσικώτατος Ἀναξαγόρας ὡς ἀσθενεῖς διαβάλλων τὰς αἰσθήσεις ὑπὸ ἀφαυρότητος αὐτῶν, φησίν, οὐ δυνατοί ἐσμεν κρίνειν τἀληθές. τίθησί τε πίστιν αὐτῶν τῆς ἀπιστίας τὴν παρὰ μικρὸν τῶν χρωμάτων ἐξαλλαγήν· εἰ γὰρ δύο λάβοιμεν χρώματα, μέλαν καὶ λευκόν, εἶτα ἐκ θατέρου εἰς θάτερον κατὰ σταγόνα παρεκχέοιμεν, οὐ δυνήσεται ἡ ὄψις διακρίνειν τὰς παρὰ μικρὸν μεταβολάς, καίπερ πρὸς τὴν φύσιν ὑποκειμένας.

Sequuntur haec ex eo quod omnia mixtione et discretione seminum primorum fieri, eaque semina tam parva esse docebat ut oculis cerni non possent, *διὰ μικρότητα τῶν ὄγκων ἐξ ἀναισθήτων ἡμῖν*, ut ait Arist. Phys. I, 4; de Coelo III, 3. Nihilominus sensibus nos ducibus uti posse statuebat ad ea, quae in mixtione aut vere inessent aut ante ceteras partes praepollerent, diiudicanda. V. Lucret. de Rer. Nat. I, 875 sqq. *Id quod Anaxagoras sibi sumit, ut omnibus omnis Res putet inmixtas rebus latitare, sed illud Apparere unum, cuius sint plurima mixta Et magis in promtu primaque in fronte locata.* Inde Sext. Empir. adv. Math. VII, 140. *τῆς τῶν ἀδήλων καταλήψεως τὰ φαινόμενα, ὥς φησιν Ἀναξαγόρας* (sc. *εἶναι κριτήρια*). Quamquam etiam sic falluntur sensus, v. Sext. Emp. Pyrrh. Hypot. I, 33. *νοούμενα δὲ* (sc. *ἀντιτίθεμεν*) *φαινομένοις, ὡς ὁ Ἀναξαγόρας τῷ λευκὴν εἶναι τὴν χιόνα ἀντετίθει ὅτι ἡ χιὼν ὕδωρ ἐστὶ πεπηγός, τὸ δὲ ὕδωρ ἐστὶ μέλαν, καὶ ἡ χιὼν ἄρα μέλαινά ἐστιν.* Cf. Cic. Acad. pr. II, 31 et quae de singulorum sensuum causis et condicionibus ex Anaxagora excerpsit Theophrastus de Sensu 6. 27 sqq., unde sufficiat laudasse haec: *Ἀναξαγόρας δὲ γίγνεσθαι μὲν (τὰς αἰσθήσεις) τοῖς ἐναντίοις· τὸ γὰρ ὅμοιον ἀπαθὲς ἀπὸ τοῦ ὁμοίου· καθ' ἑκάστην δὲ πειρᾶται διαριθμεῖν. — — ἅπασαν δ' αἴσθησιν μετὰ λύπης, ὅπερ ἂν δόξειεν ἀκόλουθον εἶναι τῇ ὑποθέσει· πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει.*

B. Empedocles.

Diog. L. VIII, 51. *Ἐμπεδοκλῆς — Ἀκραγαντῖνος — —* 129
λαμπρᾶς ἦν οἰκίας[a]. 74. *ἤκμαζε δὲ κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα*[b]. 55. *φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων. ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίωσεν αὐτά, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἑποποιῷ. — — τίνος μέντοι γ' αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς οὐκ εἶπε· τὴν γὰρ προφερομένην πρὸς Τηλαύγους ἐπιστολὴν ὅτι μετέσχεν Ἱππάσου καὶ Βροντίνου μὴ εἶναι ἀξιόπιστον. ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι*[c]. 58. *φησὶ δὲ Σάτυρος ἐν τοῖς βίοις ὅτι καὶ ἰατρὸς ἦν καὶ ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γενέσθαι μαθητήν.* 59. *τοῦτόν φησιν ὁ Σάτυρος λέγειν, ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι*[d]. 67. *περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστιν ὁ λόγος*[e]. 77. *τὰ*

μὲν οὖν Περὶ φύσεως αὐτῷ καὶ οἱ Καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια [f].

a) Cf. Sturz Empedocl. Agrig. p. 98, Karsten p. 5. Magna etiam ipsius apud cives erat auctoritas, qua ad libertatem patriae adversus tyrannos defendendam atque firmandam usus esse traditur, v. Aristot. et Timaeum Sic. ap. Diog. L. VIII, 63 sqq.; 66. Agrigentum tunc et numero civium et opibus cummaxime floruisse constat ex Diod. Sic. XIII, 84. — **b)** Cf. Apollod. ap. Diog. L. VIII, 52; Aristot. Met. *A*, 3. — **c)** Cf. supra n. 48 b. Aliorum testimoniis ad Eleaticos refertur, velut Theophrasti et quibus modo Xenophanis modo Parmenidis auditor fuisse perhibetur, Simplic. fol. 6 b; Diog. L. VIII, 56; Suid. v. *Παρμενίδης*, Olympiod. in Plat. Gorg. ap. Sturz p. 34. Ab Aristotele identidem cum Anaxagora coniungitur propter similitudinem, quae tamen speciosior est quam verior. Quid quod nonnulli Empedoclem Anaxagorae discipulum fuisse affirmabant, v. Diog. L. VIII, 56. — **d)** Medicae artis peritia summe apud aequales claruit. De magicis artibus cf. ipsius versus ap. Diog. L. VIII, 60, quibus non solum morborum et senectutis medicamenta pollicetur, verum etiam quibus ventus et imber et aestus vel placari vel incitari possint, animae ex inferis excitari, cf. Sturz p. 35 sq.; Karsten p. 19 sq. De rhetorica Diog. L. VIII, 57 citat Aristotelem: *Ἀριστοτέλης ἐν τῷ Σοφιστῇ φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν*, cf. Sext. Emp. adv. Math. VII, 6. Quintil. Instit. III, 1, 8. Gorgiam eius discipulum fuisse propter tempora parum probabile est, cf. n. 183, not. a. — **e)** Heraclides Ponticus ap. Diog. L. VIII, 67 sq. prodit Empedoclem sacrificio instituto et epulis inter amicos peractis, cum ceteri se somno dedissent, ipsum mane nusquam inventum esse, ut divinitus de terra sublatus esse videretur. Notior est illa fabula, omnium ore et scriptis pervulgata, Empedoclem in Ardentem Aetnam insiluisse, deus immortalis haberi dum cuperet, ut ait Horatius ad Pisones v. 464 sqq., cf. Karsten p. 54 sqq. A civibus mature summis post mortem honoribus affectus esse videtur, velut Pythagoras a Metapontinis, v. n. 48, not. c. — **f)** De scriptis praeter Sturzium et Karsten v. H. Stein Empedocl. Agrig. fragm. p. 1—25. Inprimis nobile erat carmen *περὶ φύσεως* h. e. de omni natura rerum, ad Pausaniam medicum, ut videtur, scriptum, a quod distinguendum illud, quod *Καθαρμοὶ* inscriptum erat, ad Agrigentinos de vita sancte et caste agenda compositum. Fragmentorum haud exiguus numerus extat, unde de ingenio eius et vi poetica iudicari potest, quam veteres summis laudibus celebraverunt, v. Aristot. ap. D. L. VIII, 57. *ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, μεταφορικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος*, et prae ceteris Lucret. I, 716 sqq., de iis loquutus, qui quatuor elementa rerum esse statuerint:

quorum Acragantinus cum primis Empedocles est,
insula quem triquetris terrarum gessit in oris:
— — —

quae cum magna modis multis miranda videtur
gentibus humanis regio visendaque fertur,
rebus opima bonis, multa munita virum vi,
nil tamen hoc habuisse viro praeclarius in se
nec sanctum magis et mirum carumque videtur.
carmina quin etiam divini pectoris eius
vociferantur et exponunt praeclare reperta,
ut vix humana videatur stirpe creatus.

Peculiarem librum de Empedocle scripserat Theophrastus, v. Diog. L. V. 53. Reliquias congesserunt, emendaverunt, commentariis illustraverunt Sturz Lips. 1805, Karsten Amstelod. 1838, H. Stein Bonnae 1852. Cf. Th. Bergk de prooemio Empedoclis, Berol. 1839; Panzerbieter *Beiträge zur Kritik u. Erkl. des Empedocl., Meining. 1844;* Schneidewin in Philologo VI (1851), p. 155—167; Mullach Quaestt. Empedocl. Berol. 1850. 1853.

Sext. Empir. adv. Math. VII, 123. *Λέγει δὲ (Ἐμπεδο-* 130
κλῆς ὁ Ἀκραγαντῖνος) περὶ μὲν τοῦ μὴ ἐν ταῖς αἰσθήσεσι τὴν κρίσιν τἀληθοῦς ὑπάρχειν οὕτως·

Στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γυῖα κέχυνται,
πολλὰ δὲ δεῖλ' ἔμπαια τά τ' ἀμβλύνουσι μερίμνας·
παῦρον δὲ ζωῆς ἀβίου μέρος ἀθρήσαντες,
ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,
αὐτὸ μόνον πεισθέντες ὅτῳ προσέκυρσεν ἕκαστος,
πάντοσ' ἐλαυνόμενοι, τὸ δ' ὅλον μὰψ εὔχεται εὑρεῖν·
οὕτως οὔτ' ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ
οὔτε νόῳ περιληπτά.

124. *περὶ δὲ τοῦ μὴ εἶναι εἰς τὸ παντελὲς ἄληπτον τὴν ἀλήθειαν, ἀλλ' ἐφ' ὅσον ἱκνεῖται ὁ ἀνθρώπινος λόγος ληπτὴν ὑπάρχειν, διασαφεῖ τοῖς προκειμένοις ἐπιφέρων·*

σὺ δ' οὖν, ἐπεὶ ὧδ' ἐλιάσθης,
πεύσεαι, οὐ πλεῖόν γε βροτείη μῆτις ὄρωρε.

καὶ διὰ τῶν ἑξῆς ἐπιπλήξας τοῖς πλέον ἐπαγγελλομένοις γιγνώσκειν παρίστησιν ὅτι τὸ δι' ἑκάστης αἰσθήσεως λαμβανόμενον

N. 130, vs. 1. Theophr. de Sens. 7. *στεινόποροι.* — 2. libb. *πολλὰ δὲ δειλεμπέα τά τ' ἀμβλ.* Proc. in Tim. p. 175. *ὃ καὶ Ἐμπ. ἡμῶν κατοδυρόμενος ἔφη· πολλὰ δὲ δειν' ἔπεα, τά τε ἀμβλ. μερίμνας· πολλὰ γὰρ ἐμπίπτοντα τοῖς ὄντως ἡμῖν δειλοῖς — ἀμβλύνει τὴν τῶν ὄντων θεωρίαν.* Corr. Bergk, Emperius, Karsten. — 3. libb. *ξωῆσι* vel *ζώοισι βίου.* Corr. Scaliger. — 6. libb. *τὸ δὲ ὅλον εὔχεται.* Corr. Stein. — 7. *οὕτως* Diog. L. IX, 73, Sext. Emp. *αὐτῷ* vel *αὐτός.* — 8. *δ'* add. Bergk.

πιστόν ἐστι, τοῦ λόγου τούτων ἐπιστατοῦντος, καίπερ πρότερον καταδραμιὼν τῆς ἀπ᾽ αὐτῶν πίστεως. φησὶ γάρ·

Ἀλλὰ θεοὶ τῶν μὲν μανίην ἀποτρέψατε γλώσσης,
ἐκ δ᾽ ὁσίων στομάτων καθαρὴν ὀχετεύσατε πηγήν,
καὶ σέ, πολυμνίστη λευκώλενε παρθένε Μοῦσα,
ἄντομαι ὧν θέμις ἐστὶν ἐφημερίοισιν ἀκούειν,
πέμπε παρ᾽ Εὐσεβίης ἐλάουσ᾽ εὐήνιον ἅρμα.

* * *

Μηδέ σέ γ᾽ εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς
πρὸς θνητῶν ἀνελέσθαι ἐφ᾽ ᾧ θ᾽ ὁσίης πλέον εἰπεῖν
θάρσεϊ καὶ τότε δὴ σοφίης ἐπ᾽ ἄκροισι θοάζειν.
ἀλλ᾽ ἄγ᾽ ἄθρει πάσῃ παλάμῃ πῇ δῆλον ἕκαστον,
μήτε τιν᾽ ὄψιν ἔχων πίστει πλέον ἢ κατ᾽ ἀκουὴν
ἠ ἀκοὴν ἐρίδουπον ὑπὲρ τρανώματα γλώσσης,
μήτε τι τῶν ἄλλων ὁπόσῃ πόρος ἐστὶ νοῆσαι·
γυίων πίστιν ἔρυκε, νόει δ᾽ ᾗ δῆλον ἕκαστον.

Est pars exordii carminis de natura rerum, querelas de vitae brevitate et miseria, de humanae cognitionis angustiis, de sensuum fallaciis continentis. Nihilominus se veritatem, quantum quidem humani ingenii acies valeat, explicaturum pollicetur, adiuvantibus Musa et Pietate. Sententia in universum conspirat cum Eleaticis, cf. Xenophanes n. 89, Parmenides n. 93. Adde Cic. Acad. pr. II, 23, 74. *Furere tibi Empedocles videtur, at mihi dignissimum rebus iis, de quibus loquitur, sonum fundere. Num ergo is excaecat nos aut orbat sensibus, si parum magnam vim censet in iis esse ad ea, quae sub eos subiecta sunt, iudicanda? Parmenides, Xenophanes minus bonis quamquam versibus, sed tamen illis versibus increpant eorum arrogantiam quasi irati, qui, quum sciri nihil possit, audeant se scire dicere.* Patet errare eos,

---

vs. 9. *οὐ πλέον ἦγε* idem, nisi malis *βροτοῖς ἦ*. Karsten: *πεύσεαι οὐ πλέον᾽ ἠὲ*, Stein: *οὐ πλέον ἠέ*. Sensus: Tu ergo, quandoquidem huc i. e. in hanc vitam delatus es, cognosces quantum humana ratio valet. — 13. Sensus: Concede mihi audire quantum fas est mortalibus, agilem ab adyto Pietatis currum prosequens. — Post vs. 14 lacunam indicavimus, nam in sequentibus loquitur Musa. Stein dedit *μηδὲ μέ γ᾽* etc., orationem continuans. Sensus: Neque te flores famosi honoris a mortalibus carpendi impellent ut plura quam fas sit audacter enunties, scilicet ut summam sapientiae gloriam adeptus esse videaris. — 16. libb. *ἐφωθοείης, ἐφ᾽ ᾧ θοείης, ἐφ᾽ ᾧ θώῃς*. Clem. Alex. Strom. V, p. 576 A. *ἐφ᾽ ᾧθ᾽ ὁσίης*. Deinde libb. *εἰπεῖν. θάρσει καὶ τότε δὴ — θοάζει* vel *θοάζῃ*. Praeeunte Hermanno corr. Bekker. — 18. Libb. *ἀλλὰ γὰρ ἄθρει πᾶς*. Corr. Karsten et Bergk. — 19. Bergk et Bekker *πιστήν*. — 21. Karsten *ὅππῃ*, Stein *ὁπόσων*. — 22. *δ᾽* Karsten pro vulgato *θ᾽*.

qui Empedoclem Scepticis adnumerandum putabant, v. Cic. Acad. post. I, 12; Diog. L. IX, 73.

Plut. de Plac. Ph. I, 30. *Ἐμπεδοκλῆς φύσιν μηδὲν εἶναι,* 131
μῖξιν δὲ τῶν στοιχείων καὶ διάστασιν· γράφει γὰρ οὕτως ἐν τῷ πρώτῳ φυσικῷ·

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε, φερέσβιος ἠδ' Ἀϊδωνεύς,
Νῆστίς θ' ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.[a]
Ἄλλο δέ τοι ἐρέω· φύσις οὐδενός ἐστιν ἁπάντων
θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτή,
ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων
ἐστί, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν.[b]

a) Primum quae sint quatuor omnium rerum radices audi. Iupiter candens et Iuno et fecundus Dis et Nestis, quae guttis suis tanquam lacrimis (cf. Lucret. I, 349) humectat fontem mortalem h. e. unde fluit omnis qui mortalibus apparet humor, velut imber, mare, fontes. Sunt quatuor elementa, quae primum Empedoclem hoc numero statuisse affirmat Aristoteles Met. *A.* 4, 7; de Gen. et Corr. II, 1, alii. Iupiter candens est Iupiter fulminans, ignitus, velut Heraclitus dicebat fulmen pro igne divino, v. supra n. 28. Iuno est aer, Pluto terra, denique *Νῆστις*, quo nomine, ducto illo a *νάω*, ut *ναρός*, *Νηρεύς*, apud Siculos colebatur quaedam Dea, v. Eustath. II. p. 1180, 14, est Lympha, aqua. Aliis locis aliis nominibus eadem elementa appellabat, cf. Karsten p. 334 sq.; Krische *Forschungen* p. 125. — **b)** Cf. hi versus ap. Plut. adv. Colot. 12:

νήπιοι, οὐ γάρ σφιν δολιχόφρονές εἰσι μέριμναι,
οἳ δὴ γίνεσθαι πάρος οὐκ ἐὸν ἐλπίζουσιν
ἤ τι καταθνήσκειν τε καὶ ἐξόλλυσθαι ἁπάντῃ

et Arist. de Xen. Z. G. 3, vs. 48—50 ed. Stein.

Quod res fieri negabat, in hoc sentiebat cum Eleaticis, v. supra n. 84. 94. 98; quo omnes rerum vicissitudines nihil nisi mixtionem et dissipationem esse docebat, id ad Anaxagorae magis doctrinam accedit, unde a nonnullis Anaxagorae discipulus fuisse putabatur, v. n. 129, not. c. Causae mixtionis et dissipationis sunt Amor et Discordia, de quibus v. n. 132. Ipsa elementa rerum h. e. ignem, aerem, terram, aquam ponebat esse aeterna, immutabilia (*ἀμετάβλητα*), paria inter se et simplicia: quare cavendum ne confundas ea cum his adspectabilibus, quae ex aeternis illis mixta atque concreta sunt et mutabilia, quum illa

---

N. 131, vs. 1—3 leguntur ap. Sext. Emp. adv. Math. IX, 362, X, 315; Plut. Pl. Ph. I, 3, 33; Hippol. Ref. Haer. VII, 29, alios. — 2. comma posui post *Ἥρη τε* praeeunte Schneidewino Philol. VI, p. 156. De locutione *τέγγει κρούνωμα* v. Lobeck ad Soph. Aiac. vs. 376. — 7. ita Plut. adv. Colot. 10, alii. Plut. de Pl. Ph. *φύσις δὲ βροτοῖς*.

semper sibi constent et divinae naturae non allegorice tantum, sed proprie dicantur. Praecipuas elementorum qualitates ad haec paria retulisse videtur, siccum humidum et calidum frigidum, unde nonnunquam duo in elementis opposita statuisse perhibetur, v. Simplic. Phys. f. 43 a, Stob. Ecl. phys. I, p. 288. Etiam Aristoteles Empedoclem, etsi quatuor statuat elementa, plerumque tamen iis uti tanquam duobus plus semel affirmat, de Gen. et Corr. II, 3. *ἔνιοι δ' εὐθὺς τέτταρα λέγουσιν, οἷον Ἐμπεδοκλῆς· συνάγει δὲ καὶ οὗτος εἰς τὰ δύο· τῷ γὰρ πυρὶ τἆλλα πάντα ἀντιτίθησιν*, cf. Met. *A*, 4, de Xenoph. Z. G. 2. Igni igitur terram et quae terrae cognata sunt, aquam et aerem, opposuisse videtur, praesertim in mundi generatione describenda, v. infra n. 135.

132 Empedocles ap. Simpl. Phys. fol. 34a.

Δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι.
δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ' ἀπόλειψις·
τὴν μὲν γὰρ πάντων σύνοδος τίκτει τ' ὀλέκει τε,
ἡ δὲ πάλιν διαφυομένων θρυφθεῖσα διέπτη[a].
καὶ ταῦτ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα Νείκεος ἔχθει.
οὕτως ᾗ μὲν ἓν ἐκ πλεόνων μεμάθηκε φύεσθαι
ἠδὲ πάλιν διαφύντος ἑνὸς πλέον' ἐκτελέθουσι,
τῇ μὲν γίνονταί τε καὶ οὔ σφισιν ἔμπεδος αἰών·
ᾗ δὲ τάδ' ἀλλάσσοντα διαμπερὲς οὐδαμὰ λήγει,
ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητον κατὰ κύκλον.

* * *

Ἀλλ' ἄγε μύθων κλῦθι· μάθη γάρ τοι φρένας αὔξει·
ὡς γὰρ καὶ πρὶν ἔειπα πιφαύσκων πείρατα μύθων,
δίπλ' ἐρέω· τοτὲ μὲν γὰρ ἓν ηὐξήθη μόνον εἶναι
ἐκ πλεόνων, τοτὲ δ' αὖ διέφυ πλέον' ἐξ ἑνὸς εἶναι,

N. 132, vs. 5. libb. *δρεπτή*. Corr. Scalig. Stein dedit *θρεφθεῖσα*. — 7—13 leguntur etiam ap. Simplic. de Coelo, vs. 8. 9 ap. Simpl. Phys. fol. 6 b; 8 a; 310 a; Diog. L. VIII, 76, al. — 7. Simpl. fol. 8 a. *εἰς ἕνα κόσμον*. — 8. Ita Simpl. fol. 310 a, fol. 8 a, alii. Fol. 34 a. *δίχα πάντα*. — 9—13. Arist. Phys. VIII, 1. ubi Bekk. dedit *ἠμὲν—ἠδέ*, voce *οὕτως* ad Aristotelem relata. — 12. Simpl. *ᾗ δὲ διαλλάσσοντα*. — 13. libb. *ἀκίνητοι* vel *ἀκίνητα*. Corr. Bergk. — 14. Simpl. *μέθη γάρ τοι*, Stob. Floril. Append. p. 34 Gaisf. *μάθησις γάρ*, cf. Clem. Al. Strom. V, p. 589 C. *μάθη* debetur Bergkio. — 17—20. Simpl. Phys. fol. 6 b. — 18—20. Sext. Emp. adv. Math. IX, 10; X, 317.

πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθέρος ἤπιον ὕψος[b],
Νεῖκός τ᾽ οὐλόμενον δίχα τῶν, ἀτάλαντον ἁπάντῃ,
καὶ Φιλότης ἐν τοῖσιν, ἴση μῆκός τε πλάτος τε[c]·
τὴν σὺ νόῳ δέρκευ, μηδ᾽ ὄμμασιν ἧσο τεθηπώς·
ἥτις καὶ θνητοῖσι ἐνίζεται ἔμφυτος ἄρθροις,
τῇ τε φίλα φρονέουσ᾽ ἰδ᾽ ὁμοῖα ἔργα τελοῦσι,
Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ᾽ Ἀφροδίτην·
τὴν οὔτις μετ᾽ ὄλοισιν ἐλισσομένην δεδάηκε
θνητὸς ἀνήρ· σὺ δ᾽ ἄκουε λόγων στόλον οὐκ ἀπατηλόν.

* * *

Ταῦτα γὰρ ἶσά τε πάντα καὶ ἡλικὰ γένναν ἔασι,
τιμῆς δ᾽ ἄλλης ἄλλο μέδει, πάρα δ᾽ ἦθος ἑκάστῳ.
καὶ πρὸς τοῖσιν ἄρ οὔτ᾽ ἐπιγίνεται οὐδ᾽ ἀπολήγει·
εἴτε γὰρ ἐφθείροντο, διαμπερὲς οὐκέτ᾽ ἂν ἦσαν[d].

* * *

Οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει οὐδὲ περισσόν·
τοῦτο δ᾽ ἐπαυξήσειε τὸ πᾶν τί κε καὶ πόθεν ἐλθόν;
πῇ δέ κε καὶ ἀπολοίατ᾽; ἐπεὶ τῶνδ᾽ οὐδὲν ἔρημον.
ἀλλ᾽ αὐτ᾽ ἔστιν ταῦτα, δι᾽ ἀλλήλων δὲ θέοντα
γίνεται ἄλλοτε ἄλλα διηνεκές, αἰὲν ὁμοῖα[e].

a) Sensus: Dupliciter res et gignuntur et intereunt. Gignuntur, cum elementa in unum coeunt, quo simul quae ex elementis res fuerant compositae evanescunt. Intereunt res, cum secernuntur elementa, quo simul ipse interitus conficitur et evanescit h. e. alia concretio rerum praeparatur. — **b)** Aetherem solet dicere pro aere, cf. vs. 146; 198; 204; 211 ed. Stein. — **c)** *Νεῖκος* vocatur *ἀτάλαντον ἁπάντῃ* i. e. undique aequalibus ponderibus libratum s. omni ex parte aequale, eodem significatu quo *Φιλία* dicitur *ἴση μῆκός τε πλάτος τε* et sphaera Parmenidis

---

vs. 18. Simpl. *ἀέρος* s. *ἠέρος ἄπλετον ὕψος*. — Clem. A. *αἰθέρος ἄπλετον ὕψος*, Plut. Discr. Adul. et Am. 32. *αἰθέρος ἤπιον ὕψος*. — 19. *ἁπάντῃ* Sext. utroque loco. Simpl. *ἕκαστον*. — 20. Sext. *ἶσον* et *μετὰ τοῖσιν*. Cf. Plut. Amator. 13. — 22. Vulg. *νομίζεται*. Corr. Bergk. et Karsten. — 23. Stein ex cod. D. Simplicii *φρονέουσι καὶ ἄρθμια*. — 25. Simpl. *οὔτις μετ᾽ ὄσοισιν*. Corr. Panzerb. — 27. Aliquid excidisse vidit Stein. Sermo est de elementis. cf. Arist. Gen. et Corr. II, 6. Propterea is versus, qui sequitur ap. Simplicium, *ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο χρόνοιο*, eiiciendus videbatur. — 29. Simpl. *καὶ πρὸς τοῖς οὔτ᾽ ἄρ*, cod. D. *ἄρ τι*. Sturz *καὶ πρὸς τοῖς ἄρα οὔτε τι γίνεται* — 30. Vulg. *ἐφθ. διαμπερές, οὐκέτ᾽*. — 31. exstat ap. Plut. Pl. Ph. I, 18, Stob. Ecl. I, p. 378, al. Adiecit Stein coll. Arist. Xen. Z. G. 2. — 33. Vulg. *ἀπόλοιτο*. Corr. Panzerb.

μεσσόθεν ἰσοπαλὴς πάντῃ supra n. 97. Proprie haec attributa pertinent ad globi figuram. Metaphorice usurpantur de omni, quod suo pondere nixum, sua vi contentum alterius ope non indiget. Amorem in sequentibus dicit non oculis, sed mente contemplandum esse, inesse vero etiam in ipsis mortalibus, qui eum Volupiam et Venerem appellent. Divinum autem illum Amorem, qui universis rebus subsit, a nemine dum mortali cognitum esse. — **d)** v. 27—30 sunt de quatuor elementis, cf. n. **131**, not. — **e)** Neque vacuum est in universo neque quidquam superest, verum semper eadem remanent, mixtione tantum et discretione diversa. Inane esse negabat Empedocles perinde atque Eleatici, cf. Theophr. d. Sensu **13**, Arist. d. Coelo IV, 2; Parmenides n. 96. Differebat in hoc, quod meatus quosdam s. *πόρους* et fluxus s. *ἀπορροὰς* esse statuebat, quibus corpora et corporum elementa mutuo inter se commearent, v. Plut. Qu. Nat. **19**, 3. *σκόπει δὴ κατ' Ἐμπεδοκλέα γνοὺς ὅτι „πάντων εἰσὶν ἀπορροαὶ ὅσσ' ἐγέροντο"· οὐ γὰρ ζῴων μόνον οὐδὲ φυτῶν, οὐδὲ γῆς καὶ θαλάττης, ἀλλὰ καὶ λίθων ἅπεισιν ἐνδελεχῶς πολλὰ ῥεύματα καὶ λίθων καὶ σιδήρου.* Plato Men. p. 76 C. *Σ. Οὐκοῦν λέγετε ἀπορροάς τινας τῶν ὄντων κατ' Ἐμπεδοκλέα; Μ. Σφόδρα γε. Σ. Καὶ πόρους, εἰς οὓς καὶ δι' ὧν αἱ ἀπορροαὶ πορεύονται; Μ. Πάνυ γε. Σ. Καὶ τῶν ἀπορροῶν τὰς μὲν ἁρμόττειν ἐνίοις τῶν πόρων, τὰς δὲ ἐλάττους ἢ μείζους εἶναι; Μ. Ἔστι ταῦτα.* Cf. Arist. de Gener. et Corr. I, 8; Karsten p. 397 sq. Eodem pertinet quod dicit vs. 34. 35. *δι' ἀλλήλων δὲ θέοντα γίνεται ἄλλοτε ἄλλα*, cf. ap. Simpl. Phys. f. 34 a. b. *αὐτὰ γὰρ ἔστιν ταῦτα, δι' ἀλλήλων δὲ θέοντα | γίνεται ἀλλοιωπά, διάπτυξις γὰρ ἀμείβει.*

Praeter quatuor elementa Amorem s. Amicitiam et Discordiam h. e. causas moventes oppositas in principiis ponebat, cf. Arist. Met. *A*, 3, de Gen. et Corr. I, 1. *Ἐμπεδοκλῆς τὰ μὲν σωματικὰ τέσσαρα, τὰ δὲ πάντα μετὰ τῶν κινούντων ἓξ τὸν ἀριθμόν.* Etiam haec divina sunt numina, aeque aeterna, ad mundi imperium aeque potentia, cf. hi versus ap. Hippolyt. Ref. Haer. VII, 29, emendati a Schneidewino l. c.:

ἦ γὰρ καὶ πάρος ἦν τε καὶ ἔσσεται, οὐδέ ποτ', οἴω,
τούτων ἀμφοτέρων κεινώσεται ἄσπετος αἰών,

et qui laudatur ap. Simplic. Phys. f. 8 a, 34 a:

ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο.

Amicitia, quam appellat *Φιλίαν, Φιλότητα, Ἁρμονίαν, Ἀφροδίτην, Στοργήν, Γηθοσύνην*, est causa mixtionis s. unionis, Discordia quam appellat *Νεῖκος, Κότον, Ἄτην, Ἄρην* etc., est causa discretionis atque dissipationis: quapropter Aristoteles, si quis non verba, sed sensum sequatur, ad bonum et malum has causas revocari posse dicit Met. *A*, 4. *εἰ γάρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν Φιλίαν οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ Νεῖκος τῶν κακῶν· ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τἀγαθόν ἐστι καὶ τῶν κακῶν τὸ κακόν*: qua in interpretatione Aristotelem secuti sunt multi recentiores, velut Plut. de Is. et Os. 48. *Ἐμπ. δὲ τὴν ἀγαθουργὸν ἀρχὴν Φιλότητα*

καὶ Φιλίαν, πολλάκις δὲ Ἁρμονίαν καλεῖ Θεμερῶπιν, τὴν δὲ χείρονα Νεῖκος οὐλόμενον καὶ Δῆριν αἱματόεσσαν. Aliis tamen locis idem Aristoteles Empedoclem hisce principiis in mundo rebusque formandis neque sufficienter neque congruenter usum esse demonstrat, cum multa non ad illas causas, sed ad naturalem elementorum vim et ad casum et necessitatem revocaverit et propriam etiam illarum causarum speciem et actionem parum accurate definierit, imo utriusque vim ita saepe confuderit ut Discordia, unum in partes discernens, singula simul elementa componat et formet, et vicissim Amicitia, elementa in unum constringens, proprias simul uniuscuiusque qualitates secernat: quo fieri ut utraque, tam Amicitia quam Discordia, et componat et dirimat, cf. Met. l. c.: καὶ Ἐμπ. ἐπὶ πλέον μὲν τούτου (τοῦ Ἀναξαγόρου, cf. n. 123, not. d) χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον. πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν Φιλία διακρίνει, τὸ δὲ Νεῖκος συγκρίνει. B, 4. καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὐτῷ, Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸν πέπονθε· τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς τὸ Νεῖκος, δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο γεννᾶν ἔξω τοῦ ἑνός· ἅπαντα γὰρ ἐκ τούτου τἆλλά ἐστι πλὴν ὁ θεός (cf. n. 133). λέγει γοῦν·

ἐξ ὧν*) πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' ὅσα τ' ἔσται ὀπίσσω,
δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες,
θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς,
καί τε θεοὶ δολιχαίωνες.

— — ἀλλ' ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ Νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον. ὁμοίως δ' οὐδ' ἡ Φιλότης τοῦ εἶναι· συνάγουσα γὰρ εἰς τὸ ἓν φθείρει τἆλλα. Ipse Empedocles pro utraque causa movente, Contentione et Amore, nonnunquam unum divina Necessitatis nomen posuerat, quippe qua omnes causarum atque rerum vices regerentur et temperarentur, cf. Arist. Phys. VIII, 1; Plut. Pl. Ph. I, 26; Simpl. Phys. fol. 43 a. καὶ Ἐμπεδοκλῆς δύο ἐν τοῖς στοιχείοις ἐναντιώσεις ὑποθέμενος, θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ (cf. n. 131, not.), εἰς μίαν τὰς δύο συνεκορύφωσε, τὴν τοῦ Νείκους καὶ τῆς Φιλίας, ὥσπερ καὶ ταύτην εἰς μονάδα τὴν τῆς Ἀνάγκης, Stob. Ecl. Phys. I, p. 60, ubi excidisse nomen Empedoclis videtur: καὶ τὸ μὲν ἓν τὴν Ἀνάγκην, ὕλην δὲ αὐτῆς τὰ τέσσαρα στοιχεῖα, εἴδη δὲ τὸ Νεῖκος καὶ τὴν Φιλίαν. Hippolyt. Ref. Haer. VII, 29. Ἀνάγκην καλῶν τὴν ἐξ ἑνὸς εἰς πολλὰ κατὰ τὸ Νεῖκος καὶ ἐκ πολλῶν εἰς ἓν κατὰ τὴν Φιλίαν μεταβολήν.

Simpl. Phys. fol. 272 b. Εὔδημος δὲ τὴν ἀκινησίαν ἐν τῇ τῆς Φιλίας ἐπικρατείᾳ κατὰ τὸν Σφαῖρον ἐκδέχεται. ἐπειδὰν ἅπαντα συγκριθῇ, 133

ἔνθ' οὔτ' ἠελίοιο διείδεται ὠκέα αὐγή,
ἀλλ', ὡς φησιν οὗτος,

*) Scil. ex Amore et Discordia.

N. 133, vs. 1. Libb. ὠκέα γυῖα, Bergk ὠκέα αἴγλη, Karst. ὄξέα

Ἁρμονίης πυκινῷ κρύφῳ ἐστήρικται
Σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων.[a]

ὀρχαμένου δὲ πάλιν τοῦ Νείκους ἐπικρατεῖ, τότε πάλιν κίνησις ἐν τῷ Σφαίρῳ γίγνεται·

πάντα γὰρ ἐξείης πελεμίζετο γυῖα θεοῦ.

— — λέγει δὲ καὶ ταῦτα Ἐμπεδοκλῆς ἐπὶ τῆς τοῦ Νείκους ἐπικρατείας·

ὁ αὐτὰρ ἐπεὶ μέγα Νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη
ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο,
ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλαται ὅρκου.

Plut. d. Fac. in orb. lunae 12. *Ὅρα καὶ σκόπει —, μὴ διάλυσίν τινα κόσμου φιλοσοφῇς καὶ τὸ Νεῖκος ἐπάγῃς τὸ Ἐμπεδοκλέους τοῖς πράγμασι. μᾶλλον δὲ τοὺς παλαιοὺς κινῇς Τιτᾶνας ἐπὶ τὴν φύσιν καὶ Γίγαντας καὶ τὴν μυθικὴν ἐκείνην καὶ φορερὰν ἀκοσμίαν καὶ πλημμέλειαν ἐπιδεῖν ποθῇς· „χωρὶς τὸ βαρὺ πᾶν καὶ χωρὶς τὸ κοῦφον“,*

ἔνθ' οὔτ' ἠελίοιο δεδίσκεται ἀγλαὸν εἶδος,
οὐδὲ μὲν οὐδ' αἴης λάσιον μένος οὐδὲ θάλασσα,

ὡς φησιν Ἐμπεδοκλῆς· οὐ γῆ θερμότητος μετεῖχεν, οὐχ ὕδωρ πνεύματος, οὐκ ἄνω τι τῶν βαρέων, οὐ κάτω τι τῶν κούφων, ἀλλ' ἄκρατοι καὶ ἄστοργοι καὶ μονάδες αἱ τῶν ὅλων ἀρχαί, μὴ προσιέμεναι σύγκρισιν ἑτέρου πρὸς ἕτερον μηδὲ κοινωνίαν, ἀλλὰ φεύγουσαι καὶ ἀποστρεφόμεναι —, ἄχρις οὗ τὸ ἱμερτὸν ἧκεν ἐπὶ τὴν φύσιν ἐκ προνοίας, Φιλότητος ἐγγενομένης καὶ Ἀφροδίτης καὶ Ἔρωτος, ὡς Ἐμπεδοκλῆς λέγει καὶ Παρμενίδης καὶ Ἡσίοδος[b].

a) Cum omnia (ab Amore scilicet) consociata essent, tum neque ignis comparebat neque aqua (nam sequebantur alii versus, ut apparet ex Plutarcho), sed Harmoniae occulta compage constrictus erat Sphaerus orbiculatus, omni ex parte quiete gaudens. Deinde, invalescente Discordia, moveri coepit Sphaerus, „nam omnia deinceps quassabantur membra dei“ i. e. Sphaeri. *πυκινὸς κρύφος* proprie est densus recessus, ut significetur effectus Amoris et latenter et assidue operantis. Sphaerus est orbiculatus veluti Sphaera Parmenidis *ἰσοπαλὴς πάντῃ*, cf. n. 132 c. *μονίη περιηγὴς*

αὐγή. — 2. Libb. *κρυφῷ* vel *κρύγα*. Stein ex coni. *πυκινῷ κίτει*. — 3. Cf. Simpl. ap. Coelo ap. Peyron Empedoclis et Parm. fragm. 50 sq. A multis citatur hic versus. Alii *περιγηθέϊ*, quod propter appositum verbum *γαίων* minus placet. — 5—7 exstant etiam ap. Arist. Met. *B*, 4. — 8. Libb. *δεδίσσεται*. Corr. Emperius et Karsten. *δεδίσκεται* i. q. *δείκνυται*. — 9. Libb. *γένος*. Corr. Bergk. Cf. Parmen. v. 143 Brand. *ἄστρων θερμὸν μένος*.

utrumvis significare potest, et perpetuam circumactionem et quietem per totum orbem patentem, nam *μονίη* et quietem et perpetuitatem significat, *περιηγὴς* et quod circumagitur et rotundum, v. Karsten p. 184. Sed apparet Sphaerum per se quiescere, cum invalescente demum Discordia moveri coeperit: quapropter etiam Eudemus *τὴν ἀκινησίαν ἐν τῇ τῆς Φιλίας ἐπικρατείᾳ κατὰ τὸν Σφαῖρον* ponebat, teste Simplicio l. c. — **b)** Post dominationem Amoris, a quo efficitur Sphaerus, sequitur dominatio Discordiae, per quam omnia turbantur atque disiiciuntur, ut in populari theogonia per Gigantes, quos cum Discordia Empedoclis comparat etiam Procl. in Plat. Parm. p. 659 ed. Stallb.: *ἐνταῦθα γὰρ τὸ Ἐμπεδόκλειον Νεῖκος καὶ ὁ γιγαντικὸς πόλεμος, ἐκεῖ δὲ ἡ Φιλία καὶ ἡ ἕνωσις καὶ ἡ ἑνοποιὸς τῶν ὅλων θεός.* — Versus 8 videtur esse idem atque ille quem citat Simplicius, ut alter his versibus ad effectum Discordiae, alter ad Sphaerum describendum usus sit, rectius sine dubio Simplicius, cum Solis nomine ut aliis locis significetur ignis: quod fraudi fuisse videtur Plutarcho. Reliqua revera ad Discordiae effectum describendum pertinuerint, veluti *χωρὶς τὸ βαρύ* etc., unde effinxerunt hunc versum:

χωρὶς πᾶν τὸ βαρὺ χωρίς τε τὸ κοῦφον,

et quae sequuntur, partim ex Empedocle excerpta, veluti *ἄκρατοι καὶ ἄστοργοι.*

Habes quae exstant paucula de Sphaero Empedoclis fragmenta. Apparet eum esse Amoris effectum quasi absolutum, *τὴν Φιλίας ἐπικράτειαν* ut ait Eudemus, h. e. consummatam elementorum unitatem, cum omnia in sphaerae formam essent conglobata, una totius naturae facies, nihil discretum, nihil distinctum. Cf. Io. Philop. ad Arist. de Gen. et Corr. I, fol. 5 a. *Ἐμπ. φησι τῆς Φιλίας κρατούσης τὰ πάντα ἓν γίγνεσθαι καὶ τὸν Σφαῖρον ἀποτελεῖν ἄποιον ὑπάρχοντα, ὡς μηκέτι μήτε τὴν τοῦ πυρὸς μήτε τῶν ἄλλων τινὸς σώζεσθαι ἐν αὐτῷ ἰδιότητα.* Restant multae dubitationes, quas prae ceteris movit Aristoteles, qui Sphaerum Empedoclis plerumque appellat *τὸ ἕν*, nonnunquam *τὸν θεόν*, praeeunte ipso Empedocle vs. 4, quamquam alio loco neutro genere dixerat *τὸ σφαῖρον*, teste Simplicio fol. 258 a. *καὶ θεὸν ἐπονομάζει καὶ οὐδετέρως ποτὲ καλεῖ· Σφαῖρον ἔην.* Cf. Aristot. Met. *B*, 1, ubi inter Pythagoreorum et Empedoclis sententiam ita distinguit: *ἔτι δὲ τὸ πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον, πότερον τὸ ἓν καὶ τὸ ὄν, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων ἔλεγεν, οὐχ ἕτερόν τί ἐστιν ἀλλ' οὐσία τῶν ὄντων ἢ οὔ, ἀλλ' ἕτερόν τι τὸ ὑποκείμενον, ὥσπερ Ἐμπεδοκλῆς φησι Φιλίαν, ἄλλος δέ τις πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ ἀέρα.* Ib. 4. *οἱ δὲ περὶ φύσεως, οἷον Ἐμπεδοκλῆς, ὡς εἰς γνωριμώτερον ἀνάγων, λέγει ὅτι τὸ ἓν ὄν ἐστιν**)· *δόξειε γὰρ ἂν λέγειν τοῦτο τὴν Φιλίαν εἶναι· αἰτία γοῦν ἐστιν αὕτη τοῦ ἓν εἶναι πᾶσιν*: quibus locis *ἡ Φιλία* dicitur eodem sensu quo ab Eudemo *ἡ τῆς Φιλίας ἐπικράτεια.* Aliis locis Aristoteles Sphaerum appellat *Ἐμπεδοκλέους τὸ μῖγμα*, comparata plerumque doctrina Anaxagorae, nam

*) Bonitz omittendum esse censet *ὄν*.

Sphaerus Empedocli erat non solum prima elementorum unitas, verum etiam communis elementorum materies, ex qua variae rerum formae et qualitates oriuntur, adhibita discretione et mixtione (v. n. 131) h. e. alternante dominatione Amoris atque Discordiae (v. n. 134). Met. *Λ*, 2. *καὶ τοῦτο (τὸ δυνάμει ὄν, μὴ ὂν δὲ ἐνεργείᾳ) ἐστὶ τὸ Ἀναξαγόρου ἓν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου.* ib. 10. *αὕτη (ἡ Φιλία) δ' ἀρχὴ καὶ ὡς κινοῦσα, συνάγει γάρ, καὶ ὡς ὕλη, μόριον γὰρ τοῦ μίγματος*, cf. Phys. I, 4. *ὥσπερ Ἐμπεδοκλῆς καὶ Ἀναξαγόρας· ἐκ τοῦ μίγματος γὰρ καὶ οὗτοι ἐκκρίνουσι τἆλλα.* Adde quibus locis subtilius in omnem Empedoclis de generatione doctrinam inquirit, de Gen. et Corr. I, 1. *Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐναντία λέγειν καὶ πρὸς τὰ φαινόμενα καὶ πρὸς αὑτὸν αὐτός. ἅμα μὲν γὰρ οὔ φησιν ἕτερον ἐξ ἑτέρου γίγνεσθαι τῶν στοιχείων οὐδέν, ἀλλὰ τἆλλα πάντα ἐκ τούτων, ἅμα δ', ὅταν εἰς ἓν συναγάγῃ τὴν ἅπασαν φύσιν πλὴν τοῦ Νείκους* (cf. n. 134), *ἐκ τοῦ ἑνὸς γίγνεσθαι πάλιν ἕκαστον. — — ἄδηλον δὲ καὶ πότερον ἀρχὴν αὐτῶν θετέον τὸ ἓν ἢ τὰ πολλά, λέγω δὲ πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτων. ᾗ μὲν γὰρ ὡς ὕλη ὑπόκειται, ἐξ οὗ μεταβάλλοντα διὰ τὴν κίνησιν γίγνονται γῆ καὶ πῦρ, τὸ ἓν στοιχεῖον. ᾗ δὲ τοῦτο μὲν ἐκ συνθέσεως γίγνεται συνιόντων ἐκείνων, ἐκεῖνα δ' ἐκ διαλύσεως, στοιχειωδέστερα ἐκεῖνα καὶ πρότερα τὴν φύσιν.* Ib. II, 6. *ὁ δὲ τὴν μῖξιν μόνον ἐπαινεῖ. καίτοι τά γε στοιχεῖα διακρίνει οὐ τὸ Νεῖκος, ἀλλ' ἡ Φιλία· τὰ φύσει πρότερα τοῦ θεοῦ· θεοὶ δὲ καὶ ταῦτα*: ubi sermo est de elementis (*θεοὶ καὶ ταῦτα*), ex quibus Amoris effectu miscetur Sphaerus s. Unum, ut elementa sint *τὰ φύσει πρότερα*. Aequius rationem Empedoclis aliorumque philosophorum examinat Simplicius de Coelo p. 488 Schol. Brand. *οὗτοι οὖν γενητὸν καὶ ἄφθαρτον λέγοντες τὸν κόσμον τὴν γένεσιν οὐχ ὡς ἀπὸ χρόνου φασὶ δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην, διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετωτέρων.* Itaque, pergit, Empedocles ceterique physici *τὴν τῶν συνθέτων ἀπὸ τῶν ἁπλῶν γένεσιν κατὰ τὸν ἐξ ὑποθέσεως τοῦτον τρόπον φαίνονται παραδιδόντες, ἀπὸ τῶν νῦν ὁρωμένων τὴν ἀνάλυσιν ποιούμενοι τὴν ἐπὶ τὰ ἁπλᾶ, καὶ τὴν ἐκ τῶν ἁπλῶν σύνθεσιν ἐξιστοροῦντες ὡς εἰ καὶ προϋπῆρχε τῷ χρόνῳ τὰ ἐξ ὧν γίγνεται τὰ γιγνόμενα*: nequaquam vero putandum esse, quasi ex Empedoclis sententia principia ista quondam seorsim exstiterint. Ipse Aristoteles de Coelo III, 2 secundum Empedoclem mundum generatum esse dicit *ἐξ ἑνὸς καὶ συγκεκριμένου* h. e. ex Sphaero. Neque aliter doctrinam eius acceperunt interpretes Aristotelis, quorum alii Sphaerum dicunt *αἴτιον ποιητικόν*, alii monadem Pythagoreorum comparant, in eo tantum falsi, quod Sphaerum perhibent esse mundum intelligibilem (*κόσμον νοητόν*), oppositio mundo adspectabili (*κόσμῳ αἰσθητῷ*), Neoplatonicorum dogmatis ad veterem philosophum translatis, cf. Sturz p. 277 sqq., Karsten p. 369 sqq.

134 Empedocles ap. Simpl. Phys. fol. 7 b; de Coelo p. 507 a. Schol. Arist. Brand.

Αὐτὰρ ἐγὼ παλίνορσος ἐλεύσομαι ἐς πόρον ὕμνων,
τὸν πρότερον κατέλεξα, λόγῳ λόγον ἐποχετεύων
κεῖνον· Ἐπεὶ Νεῖκος μὲν ἐνέρτατον ἵκετο βένθος
δίνης, ἐν δὲ μέσῃ Φιλότης στροφάλιγγι γένηται,
ἔνθ᾽ ἤδη τάδε πάντα συνέρχεται ἓν μόνον εἶναι,
οὐκ ἄφαρ, ἀλλ᾽ ἐθελημὰ συνιστάμεν᾽ ἄλλοθεν ἄλλα.
πολλὰ δ᾽ ἄμιχθ᾽ ἔστηκε κεραιομένοισιν ἐναλλάξ,
ὅσσ᾽ ἔτι Νεῖκος ἔρυκε μετάρσιον· οὐ γὰρ ἀμεμφέως
πᾶν ἐξεστήκειν ἐπ᾽ ἔσχατα τέρματα κύκλου,
ἀλλὰ τὰ μέν τ᾽ ἐνέμιμνε μελέων τὰ δέ τ᾽ ἐξεβεβήκει.
ὅσσον δ᾽ αἰὲν ὑπεκροθέοι, τόσον αἰὲν ἐπήει
ἠπιόφρων Φιλότης τε καὶ ἵμπεσεν ἄμβροτος ὁρμή·
αἶψα δὲ θνήτ᾽ ἐφύοντο τὰ πρὶν μάθον ἀθάνατ᾽ εἶναι·
ζωρά τε τὰ πρὶν ἄκρητα, διαλλάξαντα κελεύθους·
τῶν δέ τε μισγομένων χεῖτ᾽ ἔθνεα μυρία θνητῶν,
παντοίῃς ἰδέῃσιν ἀρηρότα, θαῦμα ἰδέσθαι.

Si Discordia in profunda recessit vorticis, Amicitia in medium globum penetraverit, tum omnia in unum coeunt, non derepente, sed sponte tamen consistentia aliunde alia. Multa tamen immixta restant, quotquot Discordia retinet; non enim omnis illa recesserat ad extremas orbis oras, verum pars eius membrorum remansit, pars excessit. Quantum autem Discordia refugit, tantum semper insequitur Amicitia clemens. Statimque mortalia fiunt quae prius erant immortalia, mixta quae prius pura erant, in se invicem commeantia etc. — Describuntur alternantes vices Amicitiae et Discordiae, quibus conficitur omnis elementorum concretio et discretio h. e. perpetua rerum generatio et dissolutio. Cf. Plato Soph. p. 242 E, ubi Empedocles cum Heraclito componitur: *Ἰάδες δὲ καὶ Σικελαί τινες ὕστερον Μοῦσαι ξυννενοήκασιν ὅτι συμπλέκειν ἀσφαλέστατον ἀμφότερα καὶ λέγειν ὡς τὸ ὂν πολλά τε καὶ ἕν ἐστιν, ἔχθρᾳ δὲ καὶ φιλίᾳ συνέχεται. διαφερόμενον γὰρ ἀεὶ ξυμφέρεται, φασὶν αἱ συντονώτεραι τῶν*

N. 134. vs. 2. Alii codd. *ὑποχετεύων* vel *ἐξοχετεύων*. Hoc recepit Stein, qui edidit *λόγου λ. ἐξ. κείνου*. — 5. Libb. *ἐν τῇ δή*. Corr. Bergk. — 6. Simpl. Phys. *ἀλλὰ θέλιμνα*, Karsten *ἀλλ᾽ ἐθελυμνά*. — 7. Simpl. Phys. *κερασσαμένοισιν*. — 8. Alii codd. *ἀμφαφέως*, unde *ἀφαυρῶς* scribendum esse suspicatur Stein. — 9. Simpl. Phys. *πω πᾶν ἐξέστηκεν*. Stein *πάντως ἐξέστηκεν*. — 11. Ita Brandis. Alii codd. *ὑπεκπροθέοι*. Simpl. Phys. *ὑπεκπροσθέει*. — 12. Brandis *ἠπιόφρων Φιλότητος ἀμεμφέος ἄμβρ. ὁ.* Cod. Taur. *φιλότης ἀμφαμφῶσ᾽*, Simpl. Phys. *Φιλότης ἀμεμφέως*. Corr. Stein. — 13. Simpl. d. Coelo *δ᾽ ἔθνεά τ᾽ ἐφ.* Cf. Theophr. ap. Athen. X, p. 423; Arist. Poet. 25; Eustath. Il. p. 746, 57.

Μουσῶν (Heraclitus v. n. 27. 39)· *αἱ δὲ μαλακώτεραι* (Empedocles) *τὸ μὲν ἀεὶ ταὐτ' οὕτως ἔχειν ἐχάλασαν, ἐν μέρει δὲ τοτὲ μὲν ἓν εἶναί φασι τὸ πᾶν καὶ φίλον ὑπ' Ἀφροδίτης, τοτὲ δὲ πολλὰ καὶ πολέμιον αὐτὸ αὑτῷ διὰ Νεῖκός τι.* Arist. Phys. VIII, 1. *ἢ ὡς Ἐμπεδοκλῆς, ἐν μέρει κινεῖσθαι καὶ πάλιν ἠρεμεῖν· κινεῖσθαι μὲν ὅταν ἡ Φιλία ἐκ πολλῶν ποιῇ τὸ ἓν ἢ τὸ Νεῖκος πολλὰ ἐξ ἑνός, ἠρεμεῖν δ' ἐν τοῖς μεταξὺ χρόνοις, λέγων οὕτως· ἠμὲν ἓν ἐκ πλεόνων* etc., sequuntur versus in n. 132 citati 9—13. Ita etiam in prima elementorum commixtione, qua efficiebatur Sphaerus, Discordia, aeque ac in omnium disjunctione Amicitia, extra remansit; huc referendus videtur ille versus, qui exstat ap. Stob. Ecl. I, p. 286, ubi coniungitur cum vs. 1–3 n. 131:

τῶν δὲ συνερχομένων ἐξ ἔσχατον ἵστατο Νεῖκος,

cf. Arist. Met. *B*, 4, qui locus citatur n. 132, not.: *καὶ χωρὶς δὲ τούτων δῆλον· εἰ γὰρ μὴ ἦν τὸ Νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν ἦν ἅπαντα, ὥς φησιν· ὅταν γὰρ συνέλθῃ, τότε ἔσχατον ἵστατο Νεῖκος. διὸ καὶ συμβαίνει αὐτῷ τὸν εὐδαιμονέστατον θεὸν* (h. e. Sphaerum) *ἧττον φρόνιμον εἶναι τῶν ἄλλων· οὐ γὰρ γνωρίζει τὰ στοιχεῖα πάντα· τὸ γὰρ Νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ*, cf. infra n. 139. Deinde, postquam Discordia in Sphaerum ingruerat, inferior exstitit Amicitia donec suae vices redeant. Semper eo tendit, ut ex disiectis Unum efficiat et Sphaerum quantum potest restituat, semper impedita a Discordia, quae quamquam suis vicibus inferior sit, tamen semper in mundo remanet et multam mundi partem a consummata illa unitate cohibet, cf. vs. 7. *πολλὰ δ' ἀμιχθ' ἔστηκε* etc. et Plut. de Pl. Ph. I, 5, 2. *Ἐμπεδοκλῆς δὲ κόσμον μὲν ἕνα, οὐ μέντοι τὸ πᾶν εἶναι τὸν κόσμον, ἀλλ' ὀλίγον τι τοῦ παντὸς μέρος, τὸ δὲ λοιπὸν ἀργὴν ὕλην**): cui testimonio cave ne tantum tribuas, ut Empedoclem quasi duplicem mundum statuisse putes, quod affirmant recentiores, velut Simplic. de Coelo p. 489 Schol. Arist. Br.: *Ἐμπεδοκλῆς διάφορα τῶν παρ' αὐτῷ κόσμων ἔλεγε τὰ εἴδη, ὡς καὶ ὀνόμασι χρῆσθαι διαφόροις, τὸν μὲν σφαῖρον, τὸν δὲ κόσμον ἰδίως καλῶν*, cf. Karsten p. 417 sq.

135 Plut. de Pl. Ph. II, 6. *Ἐμπεδοκλῆς τὸν μὲν αἰθέρα*[a] *πρῶτον διακριθῆναι· δεύτερον δὲ τὸ πῦρ· ἐφ' ᾧ τὴν γῆν, ἐξ ἧς ἄγαν περισφιγγομένης τῇ ῥύμῃ τῆς περιφορᾶς ἀναβλύσαι τὸ ὕδωρ*[b]*, ἐξ οὗ θυμιαθῆναι τὸν ἀέρα· καὶ γενέσθαι τὸν μὲν οὐρανὸν ἐκ τοῦ αἰθέρος, τὸν δὲ ἥλιον ἐκ τοῦ πυρός· πιληθῆναι δὲ ἐκ τῶν ἄλλων τὰ περίγεια*[c]. Achill. Tat. ad. Arat. c. 4. p. 128. *Ὁ Ἐμπεδοκλῆς οὐ δίδωσι τοῖς στοιχείοις ὡρισμένους τόπους, ἀλλ' ἀντιπαραχωρεῖν ἀλλήλοις φησίν, ὥστε καὶ τὴν γῆν μετέωρον φέρεσθαι, καὶ τὸ πῦρ ταπεινότερον*[d].

---

*) Ita recte Beckius ex codd. mss. aliisque, qui eundem locum afferunt, auctoribus. Vulgo *ἀρχὴν εἶναι.*

a) Inter aetherem et aerem parum distinxit Empedocles, v. n. 132 not. b. Sed apparet hoc loco dici aerem subtiliorem coeli stellati, quo omnis mundus cingitur, cf. hi versus ap. Clem. Al. Strom. V, p. 570 B:

ἐξ ὧν δὴ ἐγένοντο τὰ νῦν ἐσορώμενα πάντα,
γαῖά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀήρ,
Τιτὰν ἠδ' αἰθὴρ σφίγγων περὶ κύκλον ἅπαντα,

ubi *Τιτὰν αἰθὴρ* videtur dici ad similitudinem Atlantis stelliferi. Ceterum cf. Plutarch. ap. Euseb. Praep. Ev. I, 8, p. 24 C. *Ἐμπεδοκλῆς — ἐκ πρώτης φησὶ τῆς τῶν στοιχείων κράσεως* (h. e. *τοῦ μίγματος* s. *Σφαίρου*) *ἀποκριθέντα τὸν ἀέρα* (qui supra dicitur aether) *περιχυθῆναι κύκλῳ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ ἐκδραμὸν καὶ οὐκ ἔχον ἑτέραν χώραν ἄνω ἐκτρέχειν ὑπὸ τοῦ περὶ τὸν ἀέρα πάγου. — τὴν δὲ ἀρχὴν τῆς κινήσεως συμβῆναι — κατὰ τὸν ἀθροισμὸν* (i. e. Sphaerum) *ἐπιβρίσαντος τοῦ πυρός*, de quo exstant verba Empedoclis ap. Eustath. Od. p. 1419, 30. *Ἐμπεδοκλέους εἰπόντος ἐπὶ πυρὸς τὸ „καρπαλίμως δ' ἀνόπαιον"*. — **b)** Aristot. de Coelo II, 13. *τὴν γῆν πάντες ὅσοι τὸν οὐρανὸν γεννῶσιν ἐπὶ τὸ μέσον συνελθεῖν φασιν· ὅτι δὲ μένει, ζητοῦσι τὴν αἰτίαν, καὶ λέγουσιν οἱ μὲν — ὥσπερ Ἐμπεδοκλῆς, τὴν τοῦ οὐρανοῦ φορὰν κύκλῳ περιθέουσαν καὶ θᾶττον φερομένην τὴν τῆς γῆς φορὰν κωλύειν, καθάπερ τὸ ἐν τοῖς κυάθοις ὕδωρ· καὶ γὰρ τοῦτο κύκλῳ τοῦ κυάθου φερομένου πολλάκις κάτω τοῦ χαλκοῦ γιγνόμενον ὅμως οὐ φέρεται κάτω πεφυκὸς φέρεσθαι διὰ τὴν αὐτὴν αἰτίαν.* Eadem etiam ratione totum mundum constringi atque contineri putabat, ut ait Aristot. d. Coelo II, 1. Ceterum terram principio humore permixtam fuisse, deinde vero cingentis coeli circumactu compressuque condensatam et solis ardore ustam humorem sudoris instar emisisse, unde mare exortum esse, quod vocabat *γῆς ἵδρωτα* et propterea salsum esse docebat, v. Plut. Pl. Ph. III, 16, Arist. Meteor. II, 2. — **c)** Plut. Pl. Ph. II, 11. *Ἐμπεδοκλῆς στερέμνιον εἶναι τὸν οὐρανὸν ἐξ ἀέρος συμπαγέντος ὑπὸ πυρὸς κρυσταλλοειδῶς, τὸ πυρῶδες καὶ ἀερῶδες ἐν ἑκατέρῳ τῶν ἡμισφαιρίων περιέχοντα.* Coelum igitur conflatum est ex aere s. aethere et ignis vi conglaciatum, nam igni tribuit vim congelandi, v. Aristot. Probl. XXIV, 11. Omne vero coelum inter extremum aetherem et terram interiectum divisum esse voluit in duas regiones (hemisphaeria), alteram candentem et lucidam, alteram (*τὰ περίγεια*) opacam et humidam, cf. Plut. ap. Euseb. Praep. Ev. I, p. 24 C. *εἶναι δὲ κύκλῳ περὶ τὴν γῆν φερόμενα δύο ἡμισφαίρια, τὸ μὲν καθόλου πυρός, τὸ δὲ μικτὸν ἐξ ἀέρος καὶ ὀλίγου πυρός.* Solem ex igne coelesti conflatum esse statuebat, neque tamen ipsum suo splendore fulgere, sed acceptam a coelo lucem speculi instar refundere, cf. in Philolao n. 69, not. a. Eodem spectat hic versus Empedoclis ap. Plut. de Pyth. Orac. 12:

ἀνταυγεῖ πρὸς Ὄλυμπον ἀταρβήτοισι προσώποις,

ubi Olympus dicitur coelum atherium, cuius lux purior ad nos transmittitur per solem. Ceterum cf. Karsten p. 423—437, quem fugit hic locus ap. Tzetz. Exeg. in Il. p. 42, 17: *κατὰ γὰρ Ἐμπεδοκλέα τὸν φυσικὸν καὶ μετὰ τὸ γῆν φανῆναι καὶ θάλασσαν ἀτάκτως ἔτι τὰ στοιχεῖα κεκίνητο, ποτὲ μὲν τοῦ πυρὸς ὑπερνικῶντος καὶ καταφλέγοντος, ὁτὲ δὲ τῆς ὑδα-*

τώδους ὑπερβλυζούσης καὶ κατακλυζούσης ἐπιρροῆς (cf. Tzetz. Prooem. in Il. v. 291 sqq. ap. Matrangam Anecd. Gr. I, p. 10). καὶ τὸν ἥλιον δὲ ὁ αὐτὸς διὰ τὸ ἄτακτόν φησι τῆς φορᾶς καὶ ἀστήρικτον τοσοῦτόν τι τῇ ἡμερησίῳ βραδύνειν πορείᾳ, ὅσος νῦν καιρός ἐστιν ὁ ἑπτάμηνος. — **d)** Cf. Arist. Phys. II, 4. ὥσπερ Ἐμπεδοκλῆς οὐκ ἀεὶ τὸν ἀέρα ἀνωτάτω ἀποκρίνεσθαί φησιν, ἀλλ' ὅπως ἂν τύχῃ. λέγει γοῦν ἐν τῇ κοσμοποιίᾳ ὡς οὕτω συνέκυρσε θέων τότε, πολλάκι δ' ἄλλως. de Gen. et Corr. II, 7. ὁτὲ δέ φησι πεφυκέναι τὸ πῦρ ἄνω φέρεσθαι, ὁ δ' αἰθήρ, φησί, μακρῇσι κατὰ χθόνα δύετο ῥίζαις. Scilicet etiam in terrae visceribus et sub maris fundo aetherem et ignem latere censebat, cf. ap. Procl. Tim. III, p. 141. πολλὰ δ' ἔνερθ' ὕδεος πυρὰ καίεται, cum propter calidos fontes tum propterea quod igni omnem durandi atque congelandi vim tribuit, ut etiam saxa, scopulos, lapides ab igne repetenda esse putaret, v. Arist. Probl. XXIV, 11. In universum Veneri aquam, Discordiae ignem tribuit, ut illa res humore emolliret, haec calore exsiccaret, cf. Plutarch. de Pr. Frig. 16 et hi versus ap. Simplic. de Coelo p. 507 a ed. Brandis:

ὡς δὲ τότε χθόνα Κύπρις, ἔπειτ' ἐδίηνεν ἐν ὄμβρῳ,
ἡδέα ποιπνουσα*) θοῷ πυρὶ δῶκε κρατῦναι.

Animalia quoque gignuntur ἐν τῷ ξηρῷ etiam aquatilia, Arist. de respirat. 14.

136 Plut. de Pl. Ph. V, 26, 4. Ἐμπεδοκλῆς πρῶτα τὰ δένδρα τῶν ζῴων ἐκ γῆς ἀναδῦναί φησι, πρὶν τὸν ἥλιον περιαπλωθῆναι καὶ πρὶν ἡμέραν καὶ νύκτα διακριθῆναι, διὰ δὲ συμμετρίας τῆς κράσεως τὸν τοῦ ἄρρενος καὶ τοῦ θήλεος περιέχειν λόγον· αὔξεσθαι δ' ἀπὸ τοῦ ἐν τῇ γῇ θερμοῦ διαιρουμένου, ὥστε γῆς εἶναι μέρη, καθάπερ καὶ τὰ ἔμβρυα τὰ ἐν τῇ γαστρὶ τῆς μήτρας μέρη.

Similiter Lucret. V, 781—789. περιαπλωθῆναι i. e. antequam sol radios suos expanderat, scilicet circa terram. Plantas Empedocli animatas (ζῷα) fuisse testatur etiam Arist. de Plant. I, 1, Plut. Pl. Ph. V, 26.

137 Plut. de Pl. Ph. V, 19. Ἐμπεδοκλῆς τὰς πρώτας γενέσεις τῶν ζῴων καὶ φυτῶν μηδαμῶς ὁλοκλήρους γενέσθαι, ἀσυμφυέσι δὲ τοῖς μορίοις διεζευγμένας· τὰς δὲ δευτέρας συμφυομένων τῶν μερῶν εἰδωλοφανεῖς· τὰς δὲ τρίτας τῶν ὁλοφυῶν· τὰς δὲ τετάρτας**) οὐκέτι ἐκ τῶν ὁμοίων, οἷον ἐκ γῆς καὶ ὕδατος, ἀλλὰ δι' ἀλλήλων ἤδη.

---

*) Brandis ἡ δ' ἀποποιπνύουσα, var. lect. ἡδέ ἀποπνέουσα, εἰ δὲ ἀποπνοίουσα, al. Karsten εἴδεα ποιπνύουσα, Stein αἰθερ' ἐπιπνείουσα. — **) Vulg. ἀλληλοφυῶν et τέτταρας. Corr. Karsten.

Putabat videlicet terram non uno impetu tot ac tales animalium figuras edere potuisse, sed post rudiora primordia paulatim ad altiora et solidiora progressam esse, cf. Censorin. d. Die Nat. 4, Arist. d. Gen. Anim. I, 8, et simile placitum Parmenidis n. 102, not. a. Ad primam generationem pertinent hi versus apud Simplic. de Coelo p. 512 ed. Br.:

ᾗ πολλαὶ μὲν κόρσαι ἀναύχενες ἐβλάστησαν,
γυμνοὶ δ' ἐπλάζοντο βραχίονες εὐνιδες ὤμων,
ὄμματά τ' οἰ ἐπλανᾶτο πενητεύοντα μετώπων.

Ibidem deinde de secundo satu, *ὅτε τοῦ Νείκους ἐπεκράτει λοιπὸν ἡ Φιλότης·*

αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων,
ταῦτά τε συμπίπτεσκον ὅπῃ συνέκυρσεν ἕκαστα,
ἄλλα τε πρὸς τοῖς πολλὰ διηνεκῆ ἐξεγένοντο.

Cf. Arist. Phys. II, 8 et hos versus ap. Aelian. H. A. XVI, 29:

πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερν' ἐφύοντο,
βουγενῆ ἀνδρόπρωρα, τὰ δ' ἔμπαλιν ἐξανέτελλον
ἀνδροφυῆ βούκρανα, μεμιγμένα τῇ μὲν ἀπ' ἀνδρῶν
τῇ δὲ γυναικοφυῆ, διεροῖς ἠσκημένα γυίοις.

Cf. Lucret. V, 838. Vocabulo *εἰδολωφανεῖς*, quo utitur Plutarchus, apte exprimitur abortiva infirmitas horum simulacrorum, quae naturae fictrici veluti tentabundae exciderant imperfecta atque enormia. Tertio satu exortae sunt integrae formae, quae vocantur *τύποι οὐλοφυεῖς* h. e. hominum exempla integra h. e. utrumque genus velut plantae complexae, neque ceteroquin perfectae, v. ap. Simpl. Phys. f. 86 b:

οὐλοφυεῖς μὲν πρῶτα τύποι χθονὸς ἐξανέτελλον,
αμφοτέρων ὕδατός τε καὶ οὔδεος αἶσαν ἔχοντες·
τοὺς μὲν πῦρ ἀνέπεμπ' ἐθέλον πρὸς ὁμοῖον ἱκέσθαι,
οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ' ἐνοπὴν οὔτ' αὖ ἐπιχώριον ἀνδράσι γυῖον,

cf. Plut. Pl. Ph. V, 19, 5. Quarto denique satu non amplius elementorum mixtione, sed coitu et mutuis connubiis procreata sunt animalia, v. Karsten p. 463 sqq. Perfectiores quasque generationes Veneris, abortivos foetus Discordiae esse docent hi versus ap. Simpl. Phys. f. 258 a. b. *καὶ γὰρ καὶ ἐνταῦθα τὸ Νεῖκος καὶ τὴν Φιλίαν παρὰ μέρος ἐπικρατεῖν ἐπί τ' ἀνθρώπων καὶ ἰχθύων καὶ θηρίων καὶ ὀρνέων Ἐμπεδοκλῆς φησι τάδε γράφων·*

τοῦτον μὲν βροτέων μελέων ἀριδείκετον ὄγκον·
ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα
γυῖα, τὰ σῶμα λέλογχε, βίου θαλέθουσιν ἐν ἀκμῇ·
ἄλλοτε δ' αὖτε κακῇσι διατμηθέντ' Ἐρίδεσσι
πλάζεται ἄνδιχ' ἕκαστα περὶ ῥηγμῖνι βίοιο.
ὣς δ' αὖτως θάμνοισι καὶ ἰχθύσιν ὑδρομελάθροις
θηρσί τ' ὀρειλεχέεσσιν ἰδὲ πτεροβάμοσι κύμβαις.

N. 137. vs. 7. 8. Aelian. *φύεσθαι* et *ἐξανατέλλειν*. Corr. Karst. — 10. Vulg. *σκιεροῖς*. Corr. Panzerb. — 18. *θαλέθουσιν* Karsten pro *θαλέθοντος*. — 22. Vulg. *ὀρειμελέεσσιν*. Corr. Schneider.

138 Arist. de Part. An. I, 1. *Ἀρχὴ γὰρ ἡ φύσις μᾶλλον τῆς ὕλης. ἐνιαχοῦ δέ που αὐτῇ καὶ Ἐμπεδοκλῆς περιπίπτει ἀγόμενος ὑπ' αὐτῆς τῆς ἀληθείας, καὶ τὴν οὐσίαν καὶ τὴν φύσιν ἀναγκάζεται φάναι τὸν λόγον εἶναι, οἷον ὀστοῦν ἀποδιδοὺς τί ἐστιν· οὔτε γὰρ ἕν τι τῶν στοιχείων λέγει αὐτὸ οὔτε δύο ἢ τρία οὔτε πάντα, ἀλλὰ λόγον*[a] *τῆς μίξεως αὐτῶν.* De An. I, 5. *οὐ γὰρ ὁπωσοῦν ἐχοντα τὰ στοιχεῖα τούτων* (sc. *τῶν συνθέτων*) *ἕκαστον, ἀλλὰ λόγῳ τινὶ καὶ συνθέσει, καθάπερ φησὶ καὶ Ἐμπεδοκλῆς τὸ ὀστοῦν.*

ἡ δὲ χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισιν
τὰ δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο
(Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν).[b]

a) {Heinze *Lehre vom Logos*, p. 60 hunc verum *λόγον* neglexit.} — **b)** Vs. 4 add. a. commentatoribus. Simplicius ad. h. l. *χόανα παρὰ τῷ ποιητῇ* (cf. Iliad. 6, 470), *ἐν οἷς ἡ τῶν μιγνυμένων γίγνεται κρᾶσις —, ἃ καὶ εὔστερνα ὡς πλατέα διὰ τὸ χωρητικὸν καλεῖ. μίγνυσι δὲ πρὸς τὴν τῶν ὀστῶν γένεσιν τέσσαρα μὲν πυρὸς μέρη, διὰ τὸ ξηρὸν καὶ λευκὸν χρῶμα ἴσως πλείστου λέγων μετέχειν αὐτὰ πυρός, δύο δὲ γῆς καὶ ἓν μὲν ἀέρος, ἓν δὲ ὕδατος, ἃ δὴ ἄμφω Νῆστιν αἴγλην προσαγορεύει, Νῆστιν μὲν διὰ τὸ ὑγρόν, ἀπὸ τοῦ νάειν καὶ ῥεῖν* (v. n. 131, not. a), *αἴγλην δὲ ὡς διαφανῆ.* Similiter Philoponus. In versibus Empedoclis *ἡ χθὼν ἐπίηρος* est Tellus benigna. *τὰ δύο μέρη* opponuntur alteris duabus partibus tacite intelligendis, quippe ab ipsa terra suppeditatis.

Singulas igitur res non solum mixtione fieri docebat, sed certam etiam rationem elementorum mixtorum requirebat, certe in nonnullis animalium, hominum praesertim partibus, cf. Plut. Pl. Ph. V, 22. *Ἐμπεδοκλῆς τὰς μὲν σάρκας γεννᾶσθαι ἐκ τῶν ἴσων τῇ κράσει τεττάρων στοιχείων, τὰ δὲ νεῦρα πυρὸς καὶ γῆς, ὕδατος τὰ διπλασίονα μιχθέντος· τοὺς δ' ὄνυχας τοῖς ζῴοις γεννᾶσθαι τῶν νεύρων, καθὸ τῷ ἀέρι συνέτυχε, περιψυχθέντων· ὀστᾶ δὲ δυοῖν μὲν ὕδατος καὶ ἴσων γῆς, τεττάρων δὲ πυρός· τούτων συγκραθέντων μερῶν ἵδρωτα καὶ δάκρυον γίγνεσθαι τοῦ αἵματος τηκομένου**). Et constat Empedoclem plurimum fuisse in quaestionibus naturalibus, nominatim in iis quae ad artem medicam faciebant. Quamquam de singulis etiam sic accuratius inquirenti plurima desiderabuntur, cf. Arist. d. An. I, 4. *ὁμοίως δὲ ἄτοπον καὶ τὸν λόγον τῆς μίξεως εἶναι τὴν ψυχήν· οὐ γὰρ τὸν αὐτὸν ἔχει λόγον ἡ μῖξις τῶν στοιχείων, καθ' ἣν σὰρξ καὶ καθ' ἣν ὀστοῦν. συμβήσεται οὖν πολλάς τε ψυχὰς ἔχειν καὶ κατὰ πᾶν τὸ σῶμα, εἴπερ πάντα μὲν ἐκ τῶν στοιχείων μεμιγμένων, ὁ δὲ τῆς μίξεως λόγος ἁρμονία καὶ ψυχή. ἀπαιτήσειε δ' ἄν τις*

*) Cf. Sturz p. 412 sq. Karsten p. 451.

τοῦτό γε καὶ παρ᾽ Ἐμπεδοκλέους· ἕκαστον γὰρ αὐτῶν λόγῳ τινί φησιν εἶναι. πότερον οὖν λόγος ἐστὶν ἡ ψυχή· ἢ μᾶλλον ἕτερόν τι οὖσα ἐγγίγνεται τοῖς μέλεσιν; ἔτι δὲ πότερον ἡ Φιλία τῆς τυχούσης αἰτία μίξεως ἢ τῆς κατὰ τὸν λόγον; καὶ αὕτη πότερον ὁ λόγος ἐστὶν ἢ παρὰ τὸν λόγον ἕτερόν τι; ubi *αὕτη* ad *Φιλίαν* referendum esse docuit Trendelenburg ad h. l.

Arist. de An. I, 2, 6. *Ὅσοι μὲν οὖν ἐπὶ τὸ κινεῖσθαι τὸ* 139
ἔμψυχον ἀπέβλεψαν, οὗτοι τὸ κινητικώτατον ὑπέλαβον τὴν ψυχήν, ὅσοι δ᾽ ἐπὶ τὸ γιγνώσκειν καὶ τὸ αἰσθάνεσθαι τῶν ὄντων, οὗτοι δὲ λέγουσι τὴν ψυχὴν τὰς ἀρχάς, οἱ μὲν πλείους ποιοῦντες, οἱ δὲ μίαν ταύτην, ὥσπερ Ἐμπεδοκλῆς μὲν ἐκ τῶν στοιχείων πάντων, εἶναι δὲ καὶ ἕκαστον ψυχὴν τούτων, λέγων οὕτω·

γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ᾽ ὕδωρ,
αἰθέρι δ᾽ αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,
στοργῇ δὲ Στοργήν, Νεῖκος δέ τε νείκεϊ λυγρῷ.[a]

Ib. III. 3. *Οἵ γε ἀρχαῖοι τὸ φρονεῖν καὶ τὸ αἰσθάνεσθαι ταὐτὸν εἶναί φασιν, ὥσπερ καὶ Ἐμπεδοκλῆς εἴρηκε·*

πρὸς παρεὸν γὰρ μῆτις ἀέξεται ἀνθρώποισιν[b],

καὶ ἐν ἄλλοις·

ὅθεν σφίσιν αἰεὶ
καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται.

τὸ δ᾽ αὐτὸ τούτοις βούλεται καὶ τὸ Ὁμήρου „τοῖος γὰρ νόος ἐστίν“. πάντες γὰρ οὗτοι τὸ νοεῖν σωματικὸν ὥσπερ τὸ αἰσθάνεσθαι ὑπολαμβάνουσιν, καὶ αἰσθάνεσθαί τε καὶ φρονεῖν τῷ ὁμοίῳ τὸ ὅμοιον, ὥσπερ καὶ ἐν τοῖς κατ᾽ ἀρχὰς λόγοις διωρίσαμεν[c]. Theophr. d. Sens. 10. *Ὡσαύτως δὲ λέγει (Ἐμπεδοκλῆς) καὶ περὶ φρονήσεως καὶ ἀγνοίας· τὸ μὲν γὰρ φρονεῖν εἶναι τοῖς ὁμοίοις, τὸ δ᾽ ἀγνοεῖν τοῖς ἀνομοίοις, ὡς ἢ ταὐτὸν ἢ παραπλήσιον ὂν τῇ αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γὰρ ὡς ἕκαστον ἑκάστῳ γνωρίζομεν ἐπὶ τέλει προσέθηκεν·*

6 *ἐκ τούτων γὰρ πάντα πεπήγασιν ἁρμοσθέντα*
καὶ τούτοις φρονέουσι καὶ ἄδοντ᾽ ἠδ᾽ ἀνιῶνται·

διὸ καὶ τῷ αἵματι μάλιστα φρονεῖν· ἐν τούτῳ γὰρ μάλιστα τῶν

N. 139. vs. 6. 7. Theophr. *ὡς ἐκ τούτων πάντα — καὶ ἥδονται καὶ ἀνιῶνται*, unde illos versus fecerunt editores vss. 1—3 subiungendos. In seqq. edebatur *μάλιστα κεκρᾶσθαί ἐστι τὰ στοιχεῖα τῶν μερῶν*. Corr. Karsten.

μερῶν κεκρᾶσθαι τὰ στοιχεῖα[d]. 11. ὅσοις μὲν οὖν ἴσα καὶ παραπλήσια μέμικται καὶ μὴ διὰ πολλοῦ, μηδ' αὖ μικρὰ μηδ' ὑπερβάλλοντα τῷ μεγέθει, τούτους φρονιμωτάτους εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δὲ καὶ τοὺς ἐγγυτάτω τούτων· ὅσοις δὲ ἐναντίως, ἀφρονεστάτους· καὶ ὧν μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα, νωθροὺς καὶ ἐπιπόνους, ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθρανσμένα, τοὺς δὲ τοιούτους ὀξεῖς καὶ [ταχέως] φερομένους καὶ πολλὰ ἐπιβαλλομένους ὀλίγα ἐπιτελεῖν, διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μόριον ἡ μέση κρᾶσίς ἐστι, ταύτῃ σοφοὺς ἑκάστους εἶναι· διὸ τοὺς μὲν ῥήτορας ἀγαθοὺς τοὺς δὲ τεχνίτας, ὡς τοῖς μὲν ἐν ταῖς χερσὶ τοῖς δ' ἐν τῇ γλώττῃ τὴν κρᾶσιν οὖσαν, ὁμοίως δ' ἔχειν καὶ τὰς ἄλλας δυνάμεις.

a) Anima igitur ex iisdem ex quibus universum constat principiis eaque communione ad universum cognoscendum idonea est, cf. in Parmenide n. 102. Addit Aristoteles *εἶναι δὲ [καὶ ἕκαστον τούτων ψυχήν*, quod unumquodque sui similia cognoscat. Eodem spectans Sext. Emp. adv. Math. VII, 115, eosdem versus allegans, Empedoclem quot rerum principia, tot veritatis criteria statuisse dicit. — **b)** Pro re praesenti consilium succrescit hominibus h. e. ab externis rebus pendet. Qui deinde citatur versus, is apud alios plenius exstat sic:

ὅσσον τ' ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ
καὶ φρονέειν ἀλλοῖα παρίστατο,

h. e. ut quisque variato corpore mutatur, ita cuique semper varie sapere suppetit. Aristoteles comparat Homerum Od. σ, 136:

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε,

quod imitatur Archilochus ap. Diog. L. IX, 71. — **c)** Respicit locum supra citatum. Eodem referendum quod etiam bestiis et plantis quendam intellectum tribuebat, v. Sext. Emp. adv. Math. VIII, 286. *ὁ δὲ Ἐμπεδοκλῆς ἔτι παραδοξότερον πάντα ἠξίου λογικὰ τυγχάνειν, καὶ οὐ ζῷα μόνον ἀλλὰ καὶ φυτά, ῥητῶς γράφων·*

πάντα γὰρ ἴσθι φρόνησιν ἔχειν καὶ νώματος αἶσαν.

De sensibus quid statuerit breviter sic enuntiat Theophr. d. Sens. 7. *Ἐμπεδοκλῆς φησι τῷ ἐναρμόττειν (τὰς ἀπορροὰς) εἰς τοὺς πόρους τοὺς ἑκάστης (αἰσθήσεως) αἰσθάνεσθαι* i. e. percipi et sentiri eo quod rerum effluxiones singulae singulis sensibus congruae in poros intrent, cf. Plut. Pl. Ph. III, 9, 3 et Arist. de Gen. et Corr. I, 8. *τοῖς μὲν οὖν δοκεῖ πάσχειν ἕκαστον διά τινων πόρων εἰσιόντος τοῦ ποιοῦντος ἐσχάτου καὶ κυριωτάτου, καὶ τοῦτον τὸν τρόπον καὶ ὁρᾶν καὶ ἀκούειν ἡμᾶς φασι καὶ τὰς ἄλλας αἰσθήσεις αἰσθάνεσθαι πάσας· ἔτι δὲ ὁρᾶσθαι διά τε ἀέρος καὶ ὕδατος καὶ τῶν διαφανῶν, διὰ τὸ πόρους ἔχειν ἀοράτους μὲν διὰ*

σμικρότητα πυκνοὺς δὲ καὶ κατὰ στοῖχον, καὶ μᾶλλον ἔχειν τὰ διαφανῆ μᾶλλον. Similiter de odoratu statuebat, ut intrante aere cum pulmonum respiratione simul odorem hauriri putaret, odores autem esse rerum effluxiones per aerem diffusas, cf. Karsten p. 481 sq. et de poris et effluxionibus supra n. 132, not. e. — **d)** Respicit hos versus, qui exstant ap. Stob. Ecl. Phys. I, p. 1026

αἵματος ἐν πελάγεσσι τεθραμμένη ἀντιθροῶντος,
τῇ τε νόημα μάλιστα κυκλίσκεται ἀνθρώποισιν·
αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα,

ubi ad v. τεθραμμένη intelligendum est cor, καρδίη, v. Censorin. d. Die Nat. 6. Cf. Cic. Tusc. I, 9, Arist. d. An. III, 3, Met. Γ, 5.

Empedocles ap. Hippolyt. Ref. VII, 31. 140

Εἰ γὰρ ἐφημερίων ἕνεκέν τί σοι, ἄμβροτε Μοῦσα,
ἡμετέρης ἔμελεν μελέτας διὰ φροντίδος ἐλθεῖν,
εὐχομένῳ νῦν αὖτε παρίστασο, Καλλιόπεια,
ἀμφὶ θεῶν μακάρων ἀγαθὸν λόγον ἐμφαίνοντι.[a]

Ap. Clem. Al. Strom. V, p. 615 A.

ὄλβιος ὃς θείων πραπίδων ἐκτήσατο πλοῦτον,
δειλὸς δ' ᾧ σκοτόεσσα θεῶν πέρι δόξα μέμηλεν.

Ib. V, p. 587 B.

οὐκ ἔστιν πελάσασθ' οὐδ' ὀφθαλμοῖσιν ἐφικτὸν[b]
ἡμετέροις ἢ χερσὶ λαβεῖν, ἥπερ τε μεγίστη
πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα πίπτει.

Ap. Ammon. Herm. in Arist. d. Interpret. G. fol. 7 a ed. Ald. Cf. Tzetz. Chil. XIII, 79 sqq., Hippol. l. c. VII, 29.

οὔτε γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται,
οὐ μὲν ἀπαὶ νώτοιο δύο κλάδοι ἀΐσσονται,
οὐ πόδες, οὐ θοὰ γοῦν', οὐ μήδεα λαχνήεντα,
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον,
φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.[c]

a) Patet esse exordium eius partis, quae erat de natura deorum. Tertium librum carminis περὶ φύσεως fuisse colligitur ex Tzetz. Chil. VII, 522 sqq. — **b)** Cf. supra n. 132 vs. 21 τὴν σὺ νόῳ δέρκευ μηδ' ὄμμασιν ἧσο τεθηπώς. — **c)** Ammonius praemittit haec: ὁ Ἀκραγαντῖνος σοφὸς ἐπιρραπίζων τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν ὄντων παρὰ τοῖς ποιηταῖς λεγομένους μύθους ἐπήγαγε προηγουμένως μὲν περὶ Ἀπόλλωνος (hunc deum maxime venerabantur, sicut Pythagorei, cf. n. 78, not. b),

---

N. 140. vs. 1—4 v. Schneidewin Philol. VI, p. 167. — 10. Tzetz. οὐ μὲν γὰρ βροτέῃ κεφ.

περὶ οὗ ἦν αὐτῷ προσεχῶς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος. Quem dixerit deum supremum parum constat. Nonnulli cogitaverunt de Sphaero, velut Arist. Met. *B*, 4 (cf. n. 132 not. 133. 134 not.) et Hyppolyt. l. c., ubi versibus 11. 12 subiungitur haec versus species: *ἀλλὰ Σφαῖρος ἔην καὶ ἶσος ἐστὶν αὐτῷ**), cf. in sqq. haec: *θεὸν καλῶν τὸ ἓν καὶ τὴν ἐκείνου ἑνότητα, ἐν ᾧ ἦν πρὶν ὑπὸ τοῦ Νείκους ἀποσπασθῆναι καὶ γενέσθαι ἐν τοῖς πολλοῖς τούτοις τοῖς κατὰ τὴν τοῦ Νείκους διακόσμησιν.* Alii illos versus acceperunt de summa ratione divina, qua omnia elementa et principia rerum temperarentur, v. Sext. Emp. adv. Math. VII, 122. *ἄλλοι δὲ ἦσαν οἱ λέγοντες κατὰ τὸν Ἐμπεδοκλέα κριτήριον εἶναι τῆς ἀληθείας οὐ τὰς αἰσθήσεις, ἀλλὰ τὸν ὀρθὸν λόγον, τοῦ δὲ ὀρθοῦ λόγου τὸν μέν τινα θεῖον ὑπάρχειν τὸν δὲ ἀνθρώπινον, ὧν τὸν μὲν θεῖον ἀνέξοιστον εἶναι τὸν δὲ ἀνθρώπινον ἐξοιστόν.* Hippolyt. l. c. VII, 31. *μέσον δὲ εἶναι τῶν διαφόρων ἀρχῶν δίκαιον λόγον, καθ' ὃν συγκρίνεται τὰ διῃρημένα ὑπὸ τοῦ Νείκους καὶ προσαρμόζεται κατὰ τὴν Φιλίαν τῷ ἑνί*: quod numen supremum aliis locis appellasse videtur Necessitatem, v. supra n. 132, not. extr. Ipse Venerem tanquam aurei seculi et consummatae unitatis deam celebrat, v. n. 142, vs. 3—5.

141 Empedocles ap. Plut. d. Exilio 17. Hippol. VII, 29**), Plut. de Is. et Osir. 26:

Ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν,
ἄϊδιον, πλατέεσσι κατεσφρηγισμένον ὅρκοις·
εὖτε τις ἀμπλακίῃσι φρενῶν φίλα γυῖα μιήνῃ
[αἵμασιν ἢ] ἐπίορκον ἁμαρτήσας ἐπομόσσῃ
δαίμων, οἵ τε μακραίωνος λελάχασι βίοιο,
τρὶς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι,
φυόμενον παντοῖα διὰ χρόνου εἴδεα θνητῶν,
ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους.
αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες·

---

*) Schneidewinus: *ἀλλὰ Σφαῖρος ἔεις καὶ πάντοθεν ἶσος ἑαυτῷ.* — **) Cf. Schneidewin l. c. p. 161 sq.

N. 141. vs. 3. Vulgo *φόνῳ*. Corr. Panzerb., probante Schneidewino, qui deinde supplevit *αἵμασιν ἢ*. — 5. Plut. *δαίμονες οἵ τε μακραίωνες λελόγχασι*, Hippol. *δαιμόνιοί τε μακραίωνος λελάχασι*. Nos cum Schneidewino. — 7. Hippol. *φυομένους*. Corr. Stein. — 9—12. ex Plutarcho de Is. et Osir. 26 et Hippolyto l. c. adiecit Stein. — Variabant

τῶν καὶ ἐγὼ νῦν εἰμι, φυγὰς θεόθεν καὶ ἀλήτης,
Νείκεϊ μαινομένῳ πίσυνος.

Ap. Diog. L. VIII, 77, alios:

ἤδη γάρ ποτ᾽ ἐγὼ γενόμην κοῦρος τε κόρη τε
θάμνος τ᾽ οἰωνός τε καὶ εἰν ἁλὶ ἔλλοπος ἰχθύς.

Ap. Clem. Al. Strom. III, p. 432 B, alios:

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον,
ἔνθα Φόνος τε Κότος τε καὶ ἄλλων ἔθνεα Κηρῶν,
αὐχμηραί τε νόσοι καὶ σήψιες ἔργα τε ῥευστά.

Videntur haec ex carmine, quod *Καθαρμοὶ* inscriptum erat, depromta esse: quo placita sua de animarum lapsu et migratione per corpora exposuerat et quo pacto lustrationibus et vita sancte et caste agenda pristina beatitudo recuperari posset vs. 1 *Ἀνάγκης χρῆμα* et fatum s. decretum Necessitatis, velut ap. Plat. Phaedr. p. 248 C. dicitur *θεσμὸς Ἀδραστείας*. — vs. 6. *ὥραι* videntur significare annos. — vs. 16. *ἔλλοπος ἰχθὺς* est mutus piscis, cf. Lucret. II, 343; Horat. Od. IV, 3, 19. 20 c. intpp. — Animus igitur putabat coelestis originis esse (*δαίμονας*), sed propter scelera commissa ex divinis sedibus detrusas tam diu in terra vagari et per omnium corporum formas mutari, donec scelerum poenas luerint et reditum ad superos meruerint: qua in migratione obtemperant Discordiae (*Νείκεϊ μαινομένῳ πίσυνος*), nam haec etiam in his animarum fatis causa est, ut a beatorum unione secernantur atque per omnes elementorum species atque vicissitudines dissipentur, *αἰθέριον μὲν γάρ σφε μένος* etc. Subeunt autem non solum avium et piscium et omnium animalium formas, verum etiam plantarum et arborum, cum etiam hae sint animatae, v. n. 136, not. Ouarum mutationum alia praestantior est alia deterior, velut in feras migrantibus summa dignitas est in formam leonis transformari, in arbores lauri, cf. Aelian. Hist. An. XII, 7. Postquam autem per constitutum temporis spatium circumacti fatales poenas luerunt et scelera expiaverunt, postremo in praestantiores abeunt naturas, velut in vates, medicos, reges, unde tandem ad coeleste evehuntur domicilium ibique beati cum diis aevum degunt: quo pertinent hi versus ap. Clem. Al. Strom. IV, p. 534 D; V, p. 607 B:

εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται,
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῇσι φέριστοι,
ἀθανάτοις ἄλλοισιν ὁμέστιοι, αὐτοτράπεζοι,
εὔνιες ἀνδρείων ἀχέων, ἀπόκηροι, ἀτειρεῖς.

Cf. Stob. Ecl. Phys. I, p. 60 *καὶ θείας μὲν οἴεται τὰς ψυχάς, θείους δὲ*

---

libb. in *ὡς, τήν, τώς*. Hippol. *τῶν*. — 16. Lectio fluctuat inter *ἔλλοπος, ἔμπνους, ἔμπυρος, ἔμπορος, ἄμφορος, νήχυτος, φαίδιμος*.— 17. Hierocl. in Carm. Aur. p. 254 *ἀτερπέα χῶρον*. De seqq. versibus v. Stein p. 80.

καὶ τοὺς μετέχοντας αὐτῶν καθαροὺς καθαρῶς. — Ad extrema vs. 17—19 cf. vs. 393 sqq. Stein, quibus mundus ille oppositis obnoxius et ex bono et malo mixtus copiosius describitur:

ἔνθ' ἦσαν Χθονίη τε καὶ Ἠλιόπη ταναῶπις,
Δῆρίς θ' αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις,
Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε Δηναίη τε,
Νημερτής τ' ἐρόεσσα μελάγκουρός τ' Ἀσάφεια,
Φυσώ τε Φθιμένη τε καὶ Εὐναίη καὶ Ἔγερσις

etc., quibus in versibus facile intelligitur opponi tenebras et lucem, discordiam et concordiam, pulchritudinem et turpitudinem, celeritatem et tarditatem cet. Ante hanc vitam se summae beatitatis participem fuisse significat v. 390

ἐξ οἵης τιμῆς τε καὶ ὄσσου μήκεος ὄλβου
ὧδε πεσὼν κατὰ γαῖαν ἀναστρέφομαι μετὰ θνητοῖς,

omne mortalium genus miserum et discordiis et aerumnis obnoxium esse questus vs. 400

ὤ πόποι, ὤ δειλὸν θνητῶν γένος, ὤ δυσάνολβον,
τοίων ἔκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

Cf. Porphyr. d. Antr. Nymph. 8, Hippol. Ref. Haer. I, 4, ubi Empedocles malum extra sublunarem mundum inveniri negasse traditur.

142 Aristot. Rhet. I, 13. Ὡς Ἐμπεδοκλῆς λέγει περὶ τοῦ μὴ κτείνειν τὸ ἔμψυχον· τοῦτο γὰρ οὐ τισὶ μὲν δίκαιον τισὶ δ' οὐ δίκαιον,

ἀλλὰ τὸ μὲν πάντων νόμιμον διά τ' εὐρυμέδοντος
αἰθέρος ἠνεκέως τέταται διά τ' ἀπλέτου αὐγῆς.[a]

Empedocles ap. Porphyr. de Abstin. II, 21. 27, Athen. XII, 510 D.

Οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς
οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Κρόνος οὐδὲ Ποσειδῶν,
ἀλλὰ Κύπρις βασίλεια.
τὴν οἵ γ' εὐσεβέεσσιν ἀγάλμασιν ἱλάσκοντο
γραπτοῖς τε ζῳοῖσι μύροισί τε δαιδαλεόδμοις
σμύρνης τ' ἀκρήτου θυσίαις λιβάνου τε θυώδους,
ξουθῶν τε σπονδὰς μελιτῶν ῥιπτοῦντες ἐς οὐδας·
ταύρων δ' ἀκρήτοισι φόνοις οὐ δεύετο βωμός,
ἀλλὰ μύσος τοῦτ' ἔσκεν ἐν ἀνθρώποισι μέγιστον,
θυμὸν ἀπορραίσαντας ἐέδμεναι ἠέα γυῖα.[b]

N. 142a. vs. 4. Libb. οἱ δὲ πορεῦνται λισσόμενοι. Hermann οἱ δὲ πονεῦνται. Nos cum Scaligero et Karsteno. — 5. Libb. ὃ δ' ἀνήκουστος. Corr. Stein. — 8. Libb. ἀπορραίσαντα. Corr. Karst.

a) *Αἰθέρι* et *αὐγῇ* complexus est duo mundi haemisphaeria, v. supra n. 135, not. c, ut hanc legem divinam esse et per omnem mundum patere significet; cf. Sext. Emp. adv. Math. IX, 127. *οἱ μὲν οὖν περὶ τὸν Πυθαγόραν καὶ τὸν Ἐμπεδοκλέα καὶ τῶν Ἰταλῶν πλῆθός φασι μὴ μόνον ἡμῖν πρὸς ἀλλήλους καὶ πρὸς τοὺς θεοὺς εἶναί τινα κοινωνίαν, ἀλλὰ καὶ πρὸς τὰ ἄλογα τῶν ζῴων. ἓν γὰρ ὑπάρχειν πνεῦμα τὸ διὰ παντὸς τοῦ κόσμου διῆκον ψυχῆς τρόπον, τὸ καὶ ἑνοῦν ἡμᾶς πρὸς ἐκεῖνα, διόπερ καὶ κτείνοντες αὐτὰ καὶ ταῖς σαρξὶν αὐτῶν τρεφόμενοι ἀδικήσομέν τε καὶ ἀσεβήσομεν ὡς συγγενεῖς ἀναιροῦντες.— καὶ Ἐμπεδοκλῆς πού φησιν·*

οὐ παύσεσθε φόνοιο δυσηχέος; οὐκ ἐσορᾶτε
ἀλλήλοις δάπτοντες ἀκηδείῃσι νόοιο;

καὶ

μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας
σφάζει ἐπευχόμενος μέγα νήπιος· οἳ δὲ πορεῦται
λισσόμενος θύοντος, ὁ δ' ἂρ νήκουστος ὁμοκλέων
σφάξας ἐν μεγάροισι κακὴν ἀλεγύνατο δαῖτα,
ὡς δ' αὖτως πατέρ' υἱὸς ἑλὼν καὶ μητέρα παῖδες
θυμὸν ἀπορραίσαντε φίλας κατὰ σάρκας ἔδουσιν.

Cf. Plut. de Esu Carn. II, 3. — **b)** Describitur aureum seculum eorum, qui soli Amori obnoxii exant, eum solum i. e. consummatam Unitatem solam noverunt, ceterorum deorum ignari, velut Martis i. e. Discordiae, Iovis i. e. coeli vel ignis discreti, Saturni i. e. temporis, Neptuni i. e. maris vel aquae. Illam ei puris donis ac sacrificiis incruentis venerabantur, quae sacrificia etiam a Pythagoreis et Orphicis maxime commendabantur, v. Elato Legg. VI, p. 782 C. Ceterum non solum hanc vitae innocentiam et castitatem, quae doctrinae de animarum migratione congrua est, sed aliam quoque sanctimoniam adinstar Pythagoreorum praecipiebat, omninoque non solum corpore et manibus, sed animo etiam et moribus a flagitiis abstinendum esse docuit, v. Plut. de Cohib. Ira 16. *ἐπὶ πᾶσι τοίνυν τὸ μὲν τοῦ Ἐμπεδοκλέους μέγα καὶ θεῖον ἡγούμην, τὸ Νηστεῦσαι κακότητος.*

C. Leucippus et Democritus.

Diog. L. IX, 30. *Λεύκιππος Ἐλεάτης, ὡς δέ τινες Ἀβδηρίτης κατ' ἐνίους δὲ Μήλιος*[a]*. οὗτος ἤκουσε Ζήνωνος*[b]*.* 143

a) Pro *Μήλιος* legendum videtur *Μιλήσιος*, certe Milesius dicitur tam ap. Clem. Alex. Protrept. p. 43 D quam ap. Simpl. Phys. fol. 7 a. — **b)** Dicit Zenonem Eleaticum. Cum Eleaticis coniungitur Leucippus etiam apud Arist. de Gener. et Corr. I, 8, cum Parmenide et Xenophane apud Simplicium Phys. fol. 7 a. *Λεύκιππος — — κοινωνήσας Παρμενίδῃ τῆς φιλοσοφίας οὐ τὴν αὐτὴν ἐβάδισε Παρμενίδῃ καὶ Ξενοφάνει περὶ τῶν*

ὄντων ὁδόν, ἀλλ' ὡς δοκεῖ τὴν ἐναντίαν. Aristoteles hunc primum atomos excogitasse censet. An exstiterint libri ab eo scripti haud liquet, cf. Aristot. de Xenoph. Zen. et Gorg. 6. *ἐν τοῖς Λευκίππου καλουμένοις λόγοις.* Theophrastus *τὸν Μέγαν Διάκοσμον*, quem vulgo Democrito tribuebant, Leucippi esse tradebat. V. Diog. L. IX, 46. Liber *περὶ νοῦ* citatur ap. Stob. Ecl. I, p. 160. Placitorum vix est quidquam, quin inter Democritea quoque invenias; et diserte Aristot. de Gen. et Corr. I, 8. *περὶ πάντων ἑνὶ λόγῳ διωρίκασι* (sc. *Λεύκιππος καὶ Δημόκριτος.*)

144 Diog. L. IX, 34. *Δημόκριτος — Ἀβδηρίτης ἢ ὡς ἔνιοι Μιλήσιος*[a]. Ib. 41. *Γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ Μικρῷ Διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν αὐτοῦ νεώτερος ἐτετταράκοντα. συντετάχθαι δέ φησι τὸν Μικρὸν Διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως τριάκοντα καὶ ἑπτακοσίοις*[b]. *γεγόνοι δ' ἄν, ὡς μὲν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα· ὡς δὲ Θρασύλος ἐν τῷ ἐπιγραφομένῳ Τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων, κατὰ τὸ τρίτον ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἐνιαυτῷ, φησί, πρεσβύτερος ὢν Σωκράτους*[c].

a) Non Milesium, quod solus Diogenes narrat, sed Abderitam fuisse Democritum certis Stagiritae testimoniis constat, de Coelo III, 4; de Gener. Animal. II, 6. Adde quod Abderitarum idiotismus in libris Democriteis deprehendisse sibi videbantur grammatici, v. Menag. in Diog. L. IX, 47. — **b)** De aetate quantumvis definite locutus sit ipse Democritus, tamen cum neque de aera Troiana neque de Anaxagorae temporibus exploratum sit, nihil certi constitui potest, cf. Clinton F. H. ad. a. 460 et 357 (illo enim anno natus, hoc vita functus esse videtur), Io. Frei Quaestt. Protag. p. 24—38, C. F. Hermann de philos. Ionicor. aetat. p. 11 sqq. — **c)** Democritum post Anaxagoram, ante Socratem philosophatum esse cernitur ex Aristotele Met. *M*, 4, de Part. An. I, 1 extr., Meteorol. II, 7. Floruit circa tempora belli Peloponnesiaci. De Thrasylo v. n. 146.

145 Clem. Alex. Strom. I, p. 304 A. *Τάδε λέγει Δημόκριτος — —, ἢ σεμνυνόμενός φησί που ἐπὶ τῇ πολυμαθίᾳ· „Ἐγὼ δὲ τῶν κατ' ἐμεωυτὸν ἀνθρώπων γῆν πλείστην ἐπεπλανησάμην ἱστορέων τὰ μήκιστα, καὶ ἀέρας τε καὶ γέας**) *πλείστας εἶδον, καὶ λογίων***) *ἀνθρώπων πλείστων ἐσήκουσα, καὶ γραμμέων*

---

*) Eadem forma Herodoto restituta est IV, 198. cf. Herodian. *π. μονηρ. λεξ.* p. 7, 14. — **) Cf. Herod. I, 1; II, 3. 77; IV, 46; Clem, Alex. Protrept. p. 45 C, infra n. 158, not.

*συνθέσιος μετὰ ἀποδέξιος**) οὐδείς κώ με παρήλλαξεν, οὐδ' οἱ Αἰγυπτίων καλεόμενοι Ἁρπεδονάπται**), σὺν τοῖς δ' ἐπὶ πᾶσιν ἐπ' ἔτε' ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην."***) ἐπῆλθε γὰρ Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε Μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων.* — Diog. L. IX, 34. *Οὗτος Μάγων τινῶν διήκουσε καὶ Χαλδαίων, Ξέρξου τοῦ βασιλέως ἐπιστάτας τῷ πατρὶ αὐτοῦ καταλιπόντος ἡνίκ' ἐξενίσθη παρ' αὐτῷ, καθά φησι καὶ Ἡρόδοτος· παρ' ὧν τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν ἔτι παῖς ὤν. ὕστερον δὲ Λευκίππῳ παρέβαλε καὶ Ἀναξαγόρᾳ κατά τινας, ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. Φαβωρῖνος δέ φησιν ἐν παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον περὶ Ἀναξαγόρου ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε περὶ ἡλίου καὶ σελήνης ἀλλ' ἀρχαῖαι, τὸν δ' ὑφῃρῆσθαι· 35. διασύρειν τ' αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτὸν, ὅτι δὴ μὴ προσήκατο αὐτόν.*

Cum Leucippo et philosophiae, quam uterque profitebatur, consequentia et per Aristotelem consociatur, qui eum Leucippi sodalem (*ἑταῖρον*) nominat, Met. *A*, 4; cf. ad n. 143. Anaxagoram ab eo auditum esse quominus putemus obstat ipsius Democriti testimonium a Phavorino allegatum. Athenis eum degisse alii tradebant incognitum, alii omnino negabant, v. Diog. L. XI, 36. 37. De Magis atque Chaldaeis a Xerxe apud patrem Democriti relictis quae narrantur ficta sunt ex falsa Herodoti (VIII, 120) interpretatione. De Chaldaeis v. Lobeck Aglaoph. p. 426. Indorum etiam Gymnosophistas adiisse perhibetur ap. Diog. L. IX, 35. Aelian. Var. Hist. IV, 20, quo loco Theophrastus eum laudavisse narratur, *ὅτι περιῄει κρείττονα ἀγερμὸν ἀγείρων Μενελάου καὶ Ὀδυσσέως.*

---

*) Vulgo *ἀποδείξιος*. Ionismum restituimus ut ante in *ἐμεωυτόν*. De significatione cf. Herod. I, 1. 207 extr.; II, 101. — **) Euseb. Praep. Ev. X, 4 *Ἀρσεπεδονάπται*. Cf. Reines. Epp. ad Nesteros p. 25, Sturz de dial. Maced. p. 98. — ***) Haec aperte corrupta sunt; cf. Diod. I, 98, unde numerum *ὀγδώκοντα* ex *πέντε* per compendium scripto ortum esse recte existimat Papencordt de Atomicorum doctrina. Spec. I, p. 10. Verum plura mutanda videntur, si Democritum sibi restituere velimus. En monstrum illud *ἐπὶ πᾶσιν ἐπ' ἔτεα ἐπὶ ξείνης*. Scribendum videtur: *Ἁρπεδονάπται, σὺν τοῖσι ἐπ' ἔτεα πέντε ἐγενόμην*. Nam *ἐγενήθην* forma inferiorem aetatem redolet v. Lob. ad Phryn. p. 108 sq., et verba *ἐπὶ πᾶσιν* et *ἐπὶ ξείνης* addita videntur ab eo, qui *πέντε* numerum in *ὀγδώκοντα* mutaverat, ut ne infinitum illud tempus apud solos Aegyptios Democritus moratus esse videretur. Cf. Clinton. F. H. ad a. 381.

146 Diog. L. IX, 45. *Τὰ δὲ βιβλία αὐτοῦ καὶ Θρασύλος ἀναγέγραφε κατὰ τάξιν οὕτως ὥσπερεὶ καὶ τὰ Πλάτωνος, κατὰ τετραλογίαν.*[a] Cic. Orat. 20. Itaque video visum esse nonnullis Platonis et Democriti locutionem, etsi absit a versu, tamen quod incitatius feratur et clarissimis verborum luminibus utatur, potius poema putandum quam comicorum poetarum.[b]

a) Sequitur catalogus librorum Democriti, de quo v. Mullach p. 100—159. Plurima eum scripsisse refert idem Diog. L. I, 16. Versabantur haec opera cum in ethicis tum in physicis et mathematicis, cf. n. 145, Vitruv. de Archit. praef., Agathem. Comp. Georg. I, 1, qui eum inter eos nominat, a quibus geographia plurimum profecerit. Plurimus etiam in meteorologia fuisse videtur; certe nomen Democriti creberrime legitur in parapegmatis Gemini et Ptolemaei. Sed colebatur ab eo etiam musica et grammatica, denique technica, cf. Seneca Ep. 90, 32 sq. Nimiam censuram sapiunt quae leguntur ap. Suidam v. *Δημόκριτος· γνήσια δὲ αὐτοῦ βιβλία εἰσὶ δύο, ὅ τε Μέγας Διάκοσμος καὶ τὸ Περὶ φύσεως κόσμου*: quae opera ad philosophiam maxime pertinuisse videntur. De diacosmo maiore h. e. magno opere de ordinata mundi compositione v. ad n. 143, de aliis titulis infra n. 157. 158. Magnam doctrinam in placitis philosophorum priorum aequaliumve iudicandis prae se tulisse videtur, v. Diog. L. IX, 34; 38; 41; 42. De Thrasylo grammatico et mathematico, qui etiam *τὰ πρὸ τῆς ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων* composuerat (n. 144) et vixit temporibus Tiberii imperatoris, v. C. F. Hermann Ind. lectt. Gotting. $18^{52}/_{58}$. — **b)** Cf. Cic. de Orat. I, 11; Dionys. Hal. de Comp. Verb. 24, p. 187, 13 Reisk. Varia ornatissimae qua Democritus utebatur orationis exempla congessit Papencordt de Atom. doctr. I, p. 19 sq. Democriti Abderitae operum fragmenta collegit, explicuit ac de philosophi vita, scriptis et placitis commentatus est F. W. A. Mullach, Berol. 1843.

147 Aristot. Met. *A*, 4. *Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, λέγοντες οἷον τὸ μὲν ὄν*[a]*, τὸ δὲ μὴ ὄν, τούτων δὲ μὲν πλῆρες καὶ στερεὸν τὸ ὄν, τὸ δὲ κενόν γε καὶ μανόν*[b] *τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος), αἰτια δὲ τῶν ὄντων ταῦτα ὡς ὕλην. καὶ καθάπερ οἱ ἓν ποιοῦντες τὴν ὑποκειμένην οὐσίαν τἆλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τῶν παθημάτων, τὸν αὐτὸν τρ′πον καὶ οὗτοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι. σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γάρ φασι τὸ ὂν ῥυ-*

σμῷ*) καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει τὸ μὲν *A* τοῦ *N* σχήματι, τὸ δὲ *AN* τοῦ *NA* τάξει, τὸ δὲ *Z* τοῦ *N* θέσει.

a) Illud δέν, hoc μηδὲν appellabant, v. Plut. adv. Colot. 4. — **b)** Vox μανὸν Aristoteli tribuenda est, qui parum caute ea utitur in Democriti placitis proferendis, doctrina de atomis cum aliorum physicorum dogmatis confusa.

Differentiae igitur substantiarum ad quantitatem tantummodo pertinent, non ad qualitatem; quapropter substantiae dicuntur ἄποιοι, ap. Plut. adv. Colot. c. 8. Argumentum, quo in hisce utebatur Democritus, aperit Aristoteles de Gen. et Corr. I, 7. *Δημόκριτός — φησι — τὸ αὐτὸ καὶ ὅμοιον εἶναι τό τε ποιοῦν καὶ τὸ πάσχον· οὐ γὰρ ἐγχωρεῖν τὰ ἕτερα καὶ διαφέροντα πάσχειν ὑπ' ἀλλήλων.* v. Ritter *Gesch. d. Philos.* I, p. 598 sq. edit. 2.

Aristot. de Gen. et Corr. I, 8. *Λεύκιππος δ' ἔχειν ᾠήθη* 148
*λόγους· οἵτινες πρὸς τὴν αἴσθησιν ὁμολογούμενα λέγοντες οὐκ ἀναιρήσουσιν οὔτε γένεσιν οὔτε φθορὰν οὔτε κίνησιν καὶ τὸ πλῆθος τῶν ὄντων. ὁμολογήσας δὲ ταῦτα μὲν τοῖς φαινομένοις, τοῖς δὲ τὸ ἓν κατασκευάζουσιν **) ὡς οὔτε ἂν κίνησιν οὖσαν ἄνευ κενοῦ τό τε κενὸν μὴ ὄν, καὶ τοῦ ὄντος οὐθὲν μὴ ὄν φησιν εἶναι. τὸ γὰρ κυρίως ὂν παμπλῆρες***) ὄν· ἀλλ' εἶναι τὸ τοιοῦτον οὐχ ἕν, ἀλλ' ἄπειρα τὸ πλῆθος*[a] καὶ ἀόρατα διὰ σμικρότητα τῶν ὄγκων. ταῦτα δ' ἐν τῷ κενῷ φέρεσθαι (κενὸν*[b] γὰρ εἶναι), καὶ συνιστάμενα μὲν γένεσιν ποιεῖν, διαλυόμενα δὲ φθοράν. ποιεῖν δὲ καὶ πάσχειν ᾗ τυγχάνουσιν ἁπτόμενα· ταύτῃ γὰρ οὐχ ἓν εἶναι. καὶ συντιθέμενα δὲ καὶ περιπλεκόμενα γεννᾶν· ἐκ δὲ τοῦ κατ' ἀλήθειαν ἑνὸς οὐκ ἂν γενέσθαι πλῆθος, οὐδ' ἐκ τῶν ἀληθῶς πολλῶν ἕν, ἀλλ' εἶναι τοῦτ' ἀδύνατον· ἀλλ' ὥσπερ Ἐμπεδοκλῆς καὶ τῶν ἄλλων τινές φασι πάσχειν διὰ πόρων, οὕτω πᾶσαν ἀλλοίωσιν καὶ πᾶν τὸ πάσχειν τοῦτον γίγνεσθαι τὸν τρόπον, διὰ τοῦ κενοῦ γιγνομένης τῆς διαλύσεως καὶ τῆς φθορᾶς, ὁμοίως δὲ καὶ τῆς αὐξήσεως ὑπεισδυομένων στερεῶν*[c]. σχεδὸν δὲ καὶ Ἐμπεδοκλεῖ ἀναγκαῖον λέγειν, ὥσπερ καὶ Λεύκιππός φησιν· εἶναι γὰρ ἄττα στερεά, ἀδιαίρετα δέ, εἰ μὴ πάντῃ πόροι συνεχεῖς εἰσιν.*[d]

---

*) Cf. Menag. ad Diog. L. IX, 47. Mullach l. c. p. 132. — **) Eleatis. — ***) Ita Io. Philop. in h. l. Editt. παμπληθές.

a) Varia argumenta cur ita statuerit enumerantur, cf. Aristot. de Coelo III, 4, *ἐπεὶ διαφέρει τὰ σώματα σχήμασιν, ἄπειρα δὲ τὰ σχῆματα, ἄπειρα καὶ τὰ ἁπλᾶ σώματά φασιν εἶναι.* Simplic. Phys. fol. 7 a. *διὸ καί φασι μόνοις τοῖς ἄπειρα ποιοῦσι τὰ στοιχεῖα πάντα συμβαίνειν κατὰ λόγον. καὶ τῶν ἐν ταῖς ἀτόμοις σχημάτων ἄπειρον τὸ πλῆθός φασι διὰ τὸ μηδὲν μᾶλλον τοιοῦτον ἢ τοιοῦτον εἶναι· ταύτην γὰρ αὐτοὶ τῆς ἀπειρίας τὴν αἰτίαν ἀποδιδόασιν.* — **b)** Inane esse et ita demonstrabat, ut res, nisi esset inane, moveri posse negaret, veluti nostro loco et ubi iis argumentis utitur, quae explicantur ab Aristotele Phys. IV, 6. Ex quibus id gravissimum est, quod dicebat, nisi corpora intervallis disiungerentur, omnia in unum compactum iri necesse esse, ut ait Lucretius de Rer. Nat. I, 520. *Si nil esset quod inane vacaret, omne foret solidum.* De quo argumento ita Aristoteles l. l.: *Οὔκουν τοῦτο δεῖ δεικνύναι* (sc. *τοὺς πειρωμένους δεικνύναι ὅτι οὐκ ἔστι κενόν*), *ὅτι ἔστι τι ὁ ἀήρ, ἀλλ' ὅτι οὐκ ἔστι διάστημα ἕτερον τῶν σωμάτων, οὔτε χωριστὸν οὔτε ἐνεργείᾳ ὄν, ὃ διαλαμβάνει τὸ πᾶν σῶμα ὥστ' εἶναι μὴ συνεχές, καθάπερ λέγουσι Δημόκριτος καὶ Λεύκιππος.* — **c)** Est igitur non alia mutatio rerum quam quae fit motu. Ipsae atomi sunt *ἀπαθεῖς*, Plut. adv. Colot. c. 8, cf. Arist. de Gen. et Corr. I, 8; de Coelo III, 7. — **d)** Ea ratione movebatur ut corpuscula individua esse sumeret, v. Arist. de Gen. et Corr. I, 8. *εἰ μὲν γὰρ πάντῃ διαιρετόν, οὐδὲν εἶναι ἕν, ὥστε οὐδὲ πολλά, ἀλλὰ κενὸν τὸ ὅλον.* Atomi Democrito et *ἰδέαι* vocabantur h. e. figurae, formae, v. Plut. adv. Colot. 8.

149 Arist. Met. *A*, 4. *Περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς οὖσι, καὶ οὗτοι παραλησίως τοῖς ἄλλοις ῥᾳθύμως ἀφεῖσαν.* De Coelo III. 2. *διὸ καὶ Λευκίππῳ καὶ Δημοκρίτῳ, τοῖς λέγουσιν ἀεὶ κινεῖσθαι τὰ πρῶτα σώματα ἐν τῷ κενῷ καὶ τῷ ἀπείρῳ, λεκτέον τίνα κίνησιν καὶ τίς ἡ κατὰ φύσιν αὐτῶν κίνησις. εἰ γὰρ ἄλλο ὑπ' ἄλλου κινεῖται βίᾳ τῶν στοιχείων, ἀλλὰ καὶ κατὰ φύσιν ἀνάγκη τινὰ εἶναι κίνησιν ἑκάστου, παρ' ἣν ἡ βίαιός ἐστιν.*

Primam causam motus non aperiebat, sed motum sempiternum esse (*δίνην* appellabat) et a necessitate s. fato (*ἀνάγκη*, *εἱμαρμένη*) repetendum censebat, cf. Stob. Ecl. Phys. p. 160, Sext. Emp. adv. Math. IX, 113, Diog. L. IX, 45. Arist. Phys. II, 4. *εἰσὶ δέ τινες οἳ καὶ τοὐρανοῦ τοῦδε καὶ τῶν κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον· ἀπὸ ταὐτομάτου γὰρ γίγνεσθαι τὴν δίνην καὶ τὴν κίνησιν τὴν διακρίνασαν καὶ καταστήσασαν εἰς ταύτην τὴν τάξιν τὸ πᾶν.* Simpl. Phys. fol. 73 b. *ἀλλὰ καὶ Δημόκριτος ἐν οἷς φησι δίνῃ* (vulg. *δεῖν*) *ἀπὸ παντὸς ἀποκρίνεσθαι παντοίων ἰδεῶν* (*πῶς δὲ καὶ ὑπό τίνος αἰτίας μὴ λέγει*) *ἔοικεν ἀπὸ ταὐτομάτου καὶ τύχης γεννᾶν αὐτά.* Propterea Aristoteles Phys. VIII, 1. *τοῦ δὲ ἀεί*, inquit, *οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν*, cf. de Gen. Animal. II, 6, Cic. de Fin. I, 6. Explicatius disseruerat de diversis motuum generibus, qui-

bus atomi natura sua immotae in aeternum agitarentur, copularentur, secernerentur, veluti *πληγῇ* i. e. pulsu (Simplic. Phys. fol. 9 b) et *ἀντιτυπίᾳ* et *ἀλληλοτυπίᾳ*, i. e. mutua impulsione, v. Stob. Ecl. Phys. p. 348; 394; Cic. de Fato 20.

Aristot. de Gen. et Corr. I, 2. *Δημόκριτος δὲ καὶ Λεύκιππος ποιήσαντες τὰ σχήματα τὴν ἀλλοίωσιν καὶ τὴν γένεσιν ἐκ τούτων ποιοῦσι, διακρίσει μὲν καὶ συγκρίσει γένεσιν καὶ φθοράν, τάξει δὲ καὶ θέσει ἀλλοίωσιν. ἐπεὶ δ' ᾠόντο τἀληθὲς ἐν τῷ φαίνεσθαι, ἐναντία δὲ καὶ ἄπειρα τὰ φαινόμενα, τὰ σχήματα ἄπειρα ἐποίησαν, ὥστε ταῖς μεταβολαῖς τοῦ συγκειμένου τὸ αὐτὸ ἐναντίον δοκεῖν ἄλλῳ καὶ ἄλλῳ, καὶ μετακινεῖσθαι μικροῦ ἐμμιγνυμένου, καὶ ὅλως ἕτερον φαίνεσθαι ἑνὸς μετακινηθέντος· ἐκ τῶν αὐτῶν γὰρ τραγῳδία καὶ κωμῳδία γίγνεται γραμμάτων.* 150

Nihil ex nihilo oriri, verum etiam nihil ad nihilum redigi docebat, Diog. L. IX, 44, atomos autem omnium rerum semina esse s. *πανσπερμίαν*, Simplic. Phys. fol. 6. *πανσπερμίαν αὐτὰ προσαγορεύει ὡς πάντων σπέρματα.* Similia semper ad similia ferri: quod placitum multis exemplis de natura animalium et inanimorum petitis explicabat, v. ap. Sext. Emp. adv. Math. VII, 117. *καὶ γὰρ ζῷα, φησίν, ὁμογενέσι ζῴοις συναγελάζεται, ὡς περιστερὰ περιστεραῖς καὶ γέρανοι γεράνοις, καὶ ἐπὶ τῶν ἄλλων ἀλόγων· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἀψύχων, καθάπερ ὁρᾶν πάρεστιν ἐπί τε τῶν κοσκινευομένων σπερμάτων καὶ ἐπὶ τῶν παρὰ ταῖς κυματωγαῖς ψηφίδων· ὅπου μὲν γὰρ κατὰ τὸν τοῦ κυσκίνου δῖνον διακριτικῶς φακοὶ μετὰ φακῶν τάσσονται καὶ κριθαὶ μετὰ κριθῶν καὶ πυροὶ μετὰ πυρῶν, ὅπου δὲ κατὰ τὴν τοῦ κύματος κίνησιν αἱ μὲν ἐπιμήκεις ψηφῖδες εἰς τὸν αὐτὸν τόπον ταῖς ἐπιμήκεσιν ὠθοῦνται, αἱ δὲ περιφερεῖς ταῖς περιφερέσιν, ὡς ἂν συναγωγόν τι ἐχούσης τῶν πραγμάτων τῆς ἐν τούτοις ὁμοιότητος.* Cf. Plut. Pl. Ph. IV, 3; Simplic. Phys. fol. 7. *πεφυκέναι γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου κινεῖσθαι καὶ φέρεσθαι τὰ συγγενῆ πρὸς ἄλληλα.*

Diog. L. IX. 31. *Γίγνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενὸν ὥσπερ διαττόμενα, τὰ δὲ λοιπὰ συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές.* 32. *τοῦτο δ' οἷον ὑμένα ὑφίστασθαι περιέχοντ' ἐν ἑαυτῷ παντοῖα σώματα*[a]. Hippolyt. de Ref. Haer. 151

I, 13. *Ἔλεγε δὲ ὡς ἀεὶ κινουμένων τῶν ὄντων ἐν τῷ κενῷ· ἀπείρους δὲ εἶναι κόσμους καὶ μεγέθει διαφέροντας, ἔν τισι δὲ μὴ εἶναι ἥλιον μηδὲ σελήνην, ἔν τισι δὲ μείζω τῶν παρ᾽ ἡμῖν καὶ ἔν τισι πλείω. εἶναι δὲ τῶν κόσμων ἄνισα τὰ διαστήματα, καὶ τῇ μὲν πλείους τῇ δὲ ἐλάττους. καὶ τοὺς μὲν αὔξεσθαι τοὺς δὲ ἀκμάζειν τοὺς δὲ φθίνειν, καὶ τῇ μὲν γίγνεσθαι τῇ δὲ λείπειν· φθείρεσθαι δὲ αὐτοὺς ὑπ᾽ ἀλλήλων προσπίπτοντας. εἶναι δ᾽ ἐνίους κόσμους ἐρήμους ζῴων καὶ φυτῶν καὶ παντὸς ὑγροῦ.*[b]

a) Cf. Stob. Ecl. I. p. 490; Plut. Pl. Ph. II, 7. In sequentibus terrae, solis et lunae generatio et natura enarratur, v. Mullach p. 389 sqq. Terra primum substitit, vertiginis motu in medium delata. Sidera pariter atque sol et luna, eodem modo quo terra atomorum concursu conflata, initio humida fuerunt, donec exsiccata inflammataque talia qualia nunc sunt evaserunt. Sidera ob motus celeritatem ignescunt, sol a sideribus inflammatur, luna, ut quae terrae proxima sit, exiguam ignis partem sibi vindicat. Ut quodque sidus a terra remotissimum est, ita maxime citato cursu fertur, ut proxime ad terram accedit, ita lentissime movetur, v. Lucret. V, 620—635. — **b)** Cf. Cic. Acad. pr. II, 17; 40; Arist. Phys. VIII, 1. *ἀλλ᾽ ὁπόσοι μὲν ἀπείρους κόσμους τε εἶναί φασι καὶ τοὺς μὲν γίγνεσθαι τοὺς δὲ φθείρεσθαι τῶν κόσμων, ἀεί φασιν εἶναι κίνησιν.*

152 Theophr. de Sensu 61. *Βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθείη ἕνθεν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, σταθμὸν ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν*)· οὐ μὴν ἀλλ᾽ ἔν γε τοῖς μικτοῖς κουφότερον ἂν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ τὸ ἔλαττον. 62. ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν, ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ· σκληρὸν μὲν γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ μᾶλλόν τε καὶ ἧττον καὶ μάλιστα**) κατὰ λόγον. διαφέρειν δ᾽ ἔτι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν***) τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ, καὶ τοῦ†) βαρέος καὶ κούφου. διὸ σκληρότερον μὲν εἶναι

---

*) Vulgo *εἰ γὰρ διακριθῇ ἕνθεν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, διαφέρει σταθμὸν ἄν.* etc. Sensus: Si res singulas secundum atomos secreveris, etiamsi figura diversae fuerint (atomi), tamen pondus ex magnitudine pependerit. Alii aliter, cf. Mullach p. 346 sq. Illustratur locus hisce ap. Arist. de Gen. et Corr. I, 8. *βαρύτερόν γε κατὰ τὴν ὑπεροχήν φησιν εἶναι Δημόκριτος ἕκαστον τῶν ἀδιαιρέτων.* — **) Addendum videtur *τε καὶ ἥκιστα.* Papencordt p. 54. — ***) Vulgo *ἐναπόλειψιν.* Correxit Papenc. l. l. cf. §. 74. *ἐναπόληψιν τοῦ ἀέρος.* — †) *τοῦ* inseruit Philips.

σίδηρον, βαρύτερον δὲ μόλυβδον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι καὶ τὸ κενὸν ἔχειν πολλαχῇ καὶ κατὰ μεγάλα πεπυκνῶσθαι καὶ κατὰ ἔνια ἁπλῶς πλέον ἔχειν κενόν, τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι, κατὰ πᾶν ὁμοίως μανόν*)· διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου. 63. περὶ μὲν οὖν βαρέος καὶ κούφου καὶ σκληροῦ καὶ μαλακοῦ ἐν τούτοις ἀφορίζει. τῶν δ' ἄλλων αἰσθητῶν οὐδενὸς εἶναι φύσιν, ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως ἀλλοιουμένης, ἐξ ἧς γίγνεσθαι τὴν φαντασίαν. οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα μεταπῖπτον ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν· ὅ τι γὰρ ἂν ἄθρουν ᾖ, τοῦτ' ἐνισχύειν ἑκάστῳ· τὸ δ' εἰς μικρὰ διανενεμημένον ἀναίσθητον εἶναι[a]. σημεῖον δὲ ὡς οὐκ εἰσὶ φύσει τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζῴοις, ἀλλ' ὃ ἡμῖν γλυκύ, τοῦτ' ἄλλοις πικρὸν καὶ ἑτέροις ὀξὺ καὶ ἄλλοις δριμύ, τοῖς δὲ στρυφνόν· καὶ τὰ ἄλλα δὲ ὡσαύτως· 64. — — — ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθητῶν οὕτως δεῖν ὑπολαμβάνειν. οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα, καὶ ταῦτα ἀνατίθησι τοῖς σχήμασι. — — 65. τὸν μὲν οὖν ὀξὺν (sc. χυλὸν) εἶναι τῷ σχήματι**) γωνιοειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν καὶ λεπτόν, διὰ γὰρ τὴν δριμύτητα ταχὺ καὶ πάντῃ διαδύνεσθαι· τραχὺν δ' ὄντα καὶ γωνιοειδῆ συνάγειν καὶ συσπᾶν, διὸ καὶ θερμαίνειν τὸ σῶμα κενότητας ἐμποιοῦντα· μάλιστα γὰρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. τὸν δὲ γλυκὺν ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων οὐκ ἄγαν μικρῶν· διὸ καὶ διαχεῖν ὅλως τὸ σῶμα καὶ οὐ βιαίως καὶ οὐ ταχὺ πάντα περαίνειν κτλ.[b]

a) Nulla enim res sensilis ex uno atomorum genere constat, verum omnia sunt in omnibus, v. Anaxag. n. 123; Theophr. de Sensu 67, ubi pro σχημάτων leg. χρημάτων; Simpl. Phys. fol. 73 b. — **b)** Cf. Theophr. de Caus. Plant. VI, 6. fragm. ed. Mullach p. 217 sqq.

Negat igitur sensibilia per se existere, praeter grave et quae eadem ferme natura sint, densum et tenue, durum et molle; contenditque omnem sensibilium differentiam in eo consistere, quod ex iisdem elementis diverse conflata sint, diverseque iis nostri sensus afficiantur. Ita nigrum colorem nil nisi superficiem asperam, rubrum colorem et calorem et ignem rotundarum atomorum congeriem esse statuebat, v. Theophr. de Sensu 74; 75; Aristot. de Coelo III, 4. Pari modo eadem, qnae calida esse viderentur, item frigida videri posse affirmabat, quae nigra item alba, videlicet si

*) μανόν adi. Papenc. — **) Vulgo ὄμματι. Corr. Schneider.

aliter iis ferirentur nostri sensus. Eodem spectat id dictum, quod in n. 150 appositum est, iisdem litteris componi sive tragoediam sive comoediam.

153 Aristot. de Anima I, 2. *Δημόκριτος — πῦρ τι καὶ θερμόν φησιν αὐτὴν* (sc. *τὴν ψυχὴν*) *εἶναι· ἀπείρων γὰρ ὄντων σχημάτων καὶ ἀτόμων τὰ σφαιροειδῆ πῦρ καὶ ψυχὴν λέγει, οἷον ἐν τῷ ἀέρι τὰ καλούμενα ξύσματα, ἃ φαίνεται ἐν ταῖς διὰ τῶν θυρίδων ἀκτῖσιν, ὧν τὴν πανσπερμίαν στοιχεῖα λέγει τῆς ὅλης φύσεως. ὁμοίως δὲ καὶ Λεύκιππος. τούτων δὲ τὰ σφαιροειδῆ ψυχήν, διὰ τὸ μάλιστα διὰ παντὸς δύνασθαι διαδύνειν τοὺς τοιούτους ῥυσμούς, καὶ κινεῖν τὰ λοιπὰ*[a] *κινούμενα καὶ αὐτά, ὑπολαμβάνοντες τὴν ψυχὴν εἶναι τὸ παρέχον τοῖς ζῴοις τὴν κίνησιν. διὸ καὶ τοῦ ζῆν ὅρον εἶναι τὴν ἀναπνοήν· συνάγοντος γὰρ τοῦ περιέχοντος τὰ σώματα καὶ ἐκθλίβοντος τῶν σχημάτων τὰ παρέχοντα τοῖς ζῴοις τὴν κίνησιν διὰ τὸ μηδ' αὐτὸ ἠρεμεῖν μηδέποτε, βοήθειαν γίγνεσθαι θύραθεν ἐπεισιόντων ἄλλων τοιούτων ἐν τῷ ἀναπνεῖν· κωλύειν γὰρ αὐτὰ καὶ τὰ ἐνυπάρχοντα ἐν τοῖς ζῴοις ἐκκρίνεσθαι συνανείργοντα τὸ συνάγον καὶ πηγνύον· καὶ ζῆν δὲ ἕως ἂν δύνωνται τοῦτο ποιεῖν. — — ἐκεῖνος* (sc. *ὁ Δημόκριτος*) *— ἁπλῶς ταὐτὸν ψυχὴν καὶ νοῦν. τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον· διὸ καλῶς ποιῆσαι τὸν Ὅμηρον ὡς Ἕκτωρ κεῖτ' ἀλλοφρονέων.*

a) Scilicet corpus. Arist. ibid. 3. *κινουμένας γάρ φησι τὰς ἀδιαιρέτους σφαίρας διὰ τὸ πεφυκέναι μηδέποτε μένειν συνεφέλκειν καὶ κινεῖν τὸ σῶμα πᾶν.*

154 Plut. de Pl. Phil. IV, 4. *Ὁ δὲ Δημόκριτος πάντα μετέχειν φησὶ ψυχῆς ποιᾶς, καὶ τὰ νεκρὰ τῶν σωμάτων, διότι ἀεί διαφανῶς τινὸς θερμοῦ καὶ αἰσθητικοῦ μετέχει τοῦ πλείονος διαπνεομένου.*

Eadem de plantis speciatim notantur. Arist. de Plant. I, 1; Plut. Qu. Natur. 1 init.

155 Plut. de Pl. Phil. IV, 8. *Λεύκιππος καὶ Δημόκριτος τὴν αἴσθησιν καὶ τὴν νόησιν γίγνεσθαι εἰδώλων ἐξωθεν προσιόντων· μηδενὶ γὰρ ἐπιβάλλειν μηδετέραν χωρὶς τοῦ προσπίπτοντος εἰδώλου.*

Etiam per somnum talia simulacra extrinsecus in animos nostros per corpus delabi et irrumpere statuebat, v. Arist. de Divin. per Somn. 2. *ὥσπερ γὰρ ὅταν κινήσῃ τι τὸ ὕδωρ ἢ τὸν ἀέρα, τοῦθ' ἕτερον ἐκίνησε, καὶ παυσαμένου ἐκείνου συμβαίνει τὴν τοιαύτην κίνησιν προϊέναι μέχρι τινός, τοῦ κινήσαντος οὐ παρόντος, οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αὖ-*

σθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας, ἀφ' ὧν ἐκεῖνος (sc. Δημόκριτος) τὰ εἴδωλα ποιεῖ καὶ τὰς ἀπορροίας. Ab iisdem simulacris omnis fere animae condicio et voluntas etiam pendet. Plut. Symp. Qu. V, 7, 6. ἅ (sc. εἴδωλα) φησιν ἐκεῖνος ἐξιέναι τοὺς φθονοῦντας οὔτ' αἰσθήσεως ἄμοιρα παντάπασιν οὔτε ὁρμῆς, ἀνάπλεά τε τῆς ἀπὸ τῶν προϊεμένων μοχθηρίας καὶ βασκανίας· μεθ' ἧς ἐμπλασσόμενα καὶ παραμένοντα καὶ συνοικοῦντα τοῖς βασκαινομένοις ἐπιταράττειν καὶ κακοῦν αὐτῶν τό τε σῶμα καὶ τὴν διάνοιαν. — Ex iisdem principiis fluxerunt quae de deorum natura ab eo disputabantur, v. n. sq.

Sext. Empir. adv. Math. IX, 19. Δημόκριτος δὲ εἰδώλά 156
τινά φησιν ἐμπελάζειν τοῖς ἀνθρώποις, καὶ τούτων τὰ μὲν εἶναι ἀγαθοποιὰ τὰ δὲ κακοποιά (ἔνθεν καὶ εὔχεται εὐλόγχων*) τυγχάνειν εἰδώλων), εἶναι δὲ ταῦτα μεγάλα τε καὶ ὑπερφυῆ**) καὶ δύσφθαρτα μέν, οὐκ ἄφθαρτα δέ, προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώποις θεωρούμενα καὶ φωνὰς ἀφιέντα. ὅθεν τούτων αὐτῶν φαντασίαν λαβόντες οἱ παλαιοὶ ὑπενόησαν εἶναι θεόν, μηδενὸς ἄλλου παρὰ ταῦτα ὄντος θεοῦ τοῦ ἄφθαρτον φύσιν ἔχοντος.

Cf. Cic. d. Nat. D. I, 12; 43; Krische *Forschungen* p. 147—163. Alia profert Sext. Empir. l. l. 24. ὁρῶντες γάρ, φησίν, τὰ ἐν τοῖς μετεώροις παθήματα οἱ παλαιοὶ τῶν ἀνθρώπων καθάπερ βροντὰς καὶ ἀστραπὰς κεραυνούς τε καὶ ἄστρων συνόδους ἡλίου τε καὶ σελήνης ἐκλείψεις, ἐδειματοῦντο, θεοὺς οἰόμενοι τούτων αἰτίους εἶναι. Ipse velut animam igneam esse et intelligentem statuebat, ita deum νοῦν esse ἐν πυρὶ σφαιροειδεῖ et mundi animam putasse dicitur, v. Krische p. 157. Vulgares de diis opiniones sequebatur si quid de moribus populariter praecipiebat, velut ap. Clem. Protrept. p. 45 C. ὅθεν οὐκ ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλίγους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνταῦθα, ὃν νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, πάντα Δία μυθεῖσθαι· καὶ πάντα οὗτος οἶδε καὶ δίδοι καὶ ἀφαιρέεται καὶ βασιλεὺς οὗτος τῶν πάντων. Cf. Stob. Ecl. II, p. 408. Homerum allegorice interpretabatur, cf. Schol. Venet. Il. VIII, 39; Eust. p. 696, 34; 1713, 16.

Sext. Emp. adv. Math. VII, 135. Δημόκριτος δὲ — — 157
„Νόμῳ —", φησί, „γλυκὺ καὶ νόμῳ πικρόν, νόμῳ θερμόν, νόμῳ ψυχρόν, νόμῳ χροιή· ἐτεῇ δὲ ἄτομα καὶ κενόν"[a]. ὅπερ ἔστι, νομίζεται μὲν εἶναι καὶ δοξάζεται τὰ αἰσθητά, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ταῦτα, ἀλλὰ τὰ ἄτομα μόνον καὶ τὸ κενόν.

---

*) Ita est apud Plut. Def. Orac. 17; Vit. Aemil. Paulli c. 1. Apud Sextum vulgo εὐλόγων. — **) Ita codex Monac. cf. Sext. Empir. adv. Math. IX, 42. Vulgo ὑπερμεγέθη.

136. ἐν δὲ τοῖς Κρατυντηρίοις[b] καίπερ ὑπεσχημένος ταῖς αἰσθήσεσι τὸ κράτος τῆς πίστεως ἀναθεῖναι, οὐδὲν ἧττον εὑρίσκεται τούτων καταδικάζων· φησὶ γάρ· „Ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σώματος διαθιγὴν*) καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων.“ καὶ πάλιν φησίν· „Ἑτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ἢ οὐκ ἔστιν οὐ συνίεμεν πολλαχῇ δεδήλωται.“ 137. ἐν δὲ τῷ Περὶ ἰδεῶν[c] „γινώσκειν τε χρή“, φησίν, „ἄνθρωπον τῷδε τῷ κανόνι ὅτι ἐτεῆς ἀπήλλακται“. καὶ πάλιν· „Δηλοῖ μὲν δὴ καὶ οὗτος ὁ λόγος ὅτι ἑτεῇ οὐδὲν ἴδμεν[d] περὶ οὐδενός, ἀλλ᾽ ἐπιρρυσμίη**) ἑκάστοισιν ἡ δόξις“, καὶ ἔτι· „καίτοι δῆλον ἔσται ὅτι ἑτεῇ οἷον ἕκαστον γινώσκειν ἐν ἀπόρῳ ἐστί.“ καὶ δὴ ἐν μὲν τούτοις πᾶσαν σχεδὸν κινεῖ κατάληψιν, εἰ καὶ μόνων ἐξαιρέτως καθάπτεται τῶν αἰσθήσεων· 138. ἐν δὲ τοῖς Κανόσι[e] δύο φησὶν εἶναι γνώσεις, τὴν μὲν διὰ τῶν αἰσθήσεων τὴν δὲ διὰ τῆς διανοίας, ὧν τὴν μὲν διὰ τῆς διανοίας γνησίην καλεῖ, προσμαρτυρῶν αὐτῇ τὸ πιστὸν εἰς ἀληθείας κρίσιν, τὴν δὲ διὰ τῶν αἰσθήσεων σκοτίην ὀνομάζει, ἀφαιρούμενος αὐτῆς τὸ πρὸς διάγνωσιν τοῦ ἀληθοῦς ἁπλανές. 139. λέγει δὲ κατὰ λέξιν· „Γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις ἀκοὴ ὀδμὴ γεῦσις ψαῦσις, ἡ δὲ γνησίη, ἀποκεκριμένη δὲ ταύτης.“ εἶτα προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων· „Ὅταν ἡ σκοτίη μηκέτι δύνηται***) μήτε ὁρῆν ἐπ᾽ ἔλαττον μήτε ἀκούειν μήτε ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ᾽ ἐπὶ λεπτότερον.“ οὐκοῦν καὶ κατὰ τοῦτον ὁ λόγος ἐστὶ κριτήριον, ὃν γνησίην γνώμην καλεῖ.

a) Eadem paucis mutatis leguntur apud Galen. de Elem. sec. Hip. pocr. I, 2, p. 417 Kuehn; cf. Diog. L. IX, 72, ubi perperam *αἰτίῃ*. Cf. Fabric. ad Sext. Emp. Hyp. Pyrrh. I, 214. — **b)** Cf. Diog. L. IX, 47, ubi idem liber memoratur; Suid. v. *Κρατυντήρια — ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων αὐτῷ βιβλίων.* — **c)** Eius libri nulla mentio ap. Diog. L.; *ἰδέαι* sunt atomi, v. ad n. 148. — **d)** Diog. L. IX, 72. *ἑτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.* Cicero Acad. pr. II, 10. *naturam accusa, quae in profundo veritatem, ut ait Democritus, penitus abstruserit;* Acad. post. I, 12. — **e)** De hoc libro v. Diog. L. IX, 47 c. not. crit. Huebneri.

---

*) Mullach pro vulg. *διαθήκην*, cf. n. 147. — **) Hesych. *ἐπιρρύσμιον, ἐπιρρέον.* — ***) Vulgo *δύναται.*

Cf. Arist. Met. Γ, 5. ἔτι δὲ πολλοῖς τῶν ἄλλων ζῴων τἀναντία περὶ τῶν αὐτῶν φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὑτὸν οὐ ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν, ποῖα οὖν τούτων ἀληθῆ ἢ ψευδῆ, ἄδηλον οὐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ, ἀλλ' ὁμοίως, διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι ἀληθὲς ἢ ἡμῖν γ' ἄδηλον. Ideo, τῷ ἐόντι, inquit, οὐδὲν ἀτρεκὲς συνίεμεν, quandoquidem quaecunque ab Atomicis affirmative statuuntur e. g. de vera coloris rubri, caloris, animae etc. natura, ea per coniecturam tantummodo ab iis proponebantur. De ceteris fragmentis a Sexto hoc loco propositis dolendum vehementer quod oratio ibi interrumpitur, ubi copiosius de cognitione sincera (γνησίη γνώμη) disputatum fuisse expectaveris. Verum tamen intelligitur ex iis quae leguntur §. 139 initio, illam ad abditorum, ex iis quae sequuntur ὅταν ἡ σκοτίη κτλ., eandem ad subtiliorum, quae tenebricoso sensu cognosci nequeant, perspicientiam h. e. ad atomos pertinere; quod confirmatur Aristotelis testimonio in n. 153 laudato, τὸ γὰρ ἀληθὲς εἶναι τὸ φαινόμενον. Ipsa enim sincera cognitio (γνησίη γνώμη) ἐν φαινομένῳ versatur, verum est id, quod per illam percipitur, subtilius et a sensibus remotius. Quae repugnantia notatur iam a Theophrasto de Sensu 69. ὅλως δὲ μέγιστον ἐναντίωμα καὶ κοινὸν ἐπὶ πάντων ἅμα μὲν πάθη ποιεῖν τῆς αἰσθήσεως (sc. τὰ αἰσθητά), ἅμα δὲ τοῖς σχήμασι διορίζειν, nisi quod hoc loco non tam sensuum ratio habetur, quorum ope cognoscimus, quam rerum, quas cognoscimus. — Videtur denique ipsa illa sincera cognitio nil aliud esse nisi subtilior sensuum et corporis constitutio, et prorsus idem quod a Theophrasto dicitur τὸ φρονεῖν, de Sensu 58. περὶ δὲ τοῦ φρονεῖν ἐπὶ τοσοῦτον εἴρηκεν (sc. ὁ Δημόκριτος), ὅτι γίγνεται συμμέτρως ἐχούσης τῆς ψυχῆς κατὰ τὴν κρᾶσιν*). ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος γένηται, μεταλλάττειν φησί· διότι καὶ τοὺς παλαιοὺς (Hom. Il. XXIII, 698(καλῶς τοῦθ' ὑπολαβεῖν, ὅτι ἔστιν ἀλλοφρονεῖν, ὥστε φανερὸν ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν· ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστὶ σῶμα ποιοῦντι τὴν ψυχήν.

Diog. L. IX, 45. Τέλος δὲ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν 158
αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι.

Εὐθυμίαν Seneca d. Tranq. 2, 3. interpretatur *stabilem animi sedem, de qua Democriti volumen egregium est: ego tranquillitatem voco.* De nomine εὐεστώ, quo item librum inscripserat, Diog. L. IX, 46, v. Menag. ad h. l. Alia eiusdem significationis nomina sunt ἀθαμβία Cic. de Fin. V, 29 *(id est animus terrore liber)*, ἁρμονία, συμμετρία, ἀταραξία Stob. Ecl. II, p. 76. — Pauca neque ea ipsa enucleate a Democrito de

*) Vulgo μετὰ τὴν κίνησιν. Corr. Schneider.

virtute disputata esse ait Cic. d. Fin. V, 29. Nihilominus plurimae sub eius nomine feruntur sententiae et loci communes, quorum farraginem ex bonis et futilibus mixtam reperies apud Orellium Opusc. Gr. Vett. Sentent. I, p. 92—127, cf. Mullach p. 164—204. Eorum aliquot, qui maxime Democriti esse viderentur, excerpere placuit, ut de ethicis etiam eius praeceptis gustus detur: Stob. Serm. I, 40. *Ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δὲ λείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιέειν τῇ ψυχῇ.* Ib. III, 34. *Σοφίη ἄθαμβος ἀξίη πάντων, τιμιωτάτη οὖσα.* Ib. 35. *Ὅρος γὰρ συμφορέων καὶ ἀσυμφορέων τέρψις καὶ ἀτερπίη.* Ib. V. 24. *Ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι. τοῦτο δ' ἂν εἴη εἴ τις μὴ ἐπὶ τοῖσι θνητοῖσι τὰς ἡδονὰς ποιοῖτο.* Clem. Alex. Strom. II, p. 417 A. *Τέρψις γὰρ καὶ ἀτερπίη οὖρος τῶν περιηκμακότων.* Stob. Ecl. II, p. 76. *Εὐδαιμονίη οὐκ ἐν βοσκήμασιν οἰκέει οὐδ' ἐν χρυσῷ, ψυχὴ δ' οἰκητήριον δαίμονος.* Stob. Flor. VII, 32. *Δίκης κῦδος γνώμης θάρσος καὶ ἀθαμβίη, ἀδικίης δὲ δεῖμα ξυμφορῆς τέρμα.* Ib. XVI, 21. *βίος ἀνεόρταστος μακρὴ ὁδὸς ἀπανδόκευτος.* Plutarch. de Sanitate 24. *πρὸς τούτους* (nimium morosos) *γὰρ οἶμαι μάλιστα τὸν Δημόκριτον εἰπεῖν ὡς, εἰ τὸ σῶμα δικάσαιτο τῇ ψυχῇ κακώσεως, οὐκ ἂν αὐτὴν ἀποφυγέειν.* Scripserat inter alia librum *Τριτογένεια* inscriptum i. e. Minerva s. Prudentia, *ὅτι τρία γίγνεται ἐξ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα συνέχει,* Diog. L. IX, 46, h. e. *εὖ λογίζεσθαι, λέγειν καλῶς, πράττειν ἃ δεῖ,* Schol. Il. VIII, 39.

Caput IV.

REFORMATORES ET SOPHISTAE.

A. Reformatores.

1. Diogenes Apolloniates.

Diog. L. IX, 57. *Διογένης — Ἀπολλωνιάτης, ἀνὴρ φυ-* 159
σικὸς καὶ ἄγαν ἐλλόγιμος. ἤκουσε δὲ Ἀναξιμένους· ἦν δὲ ἐν τοῖς χρόνοις κατ᾽ Ἀναξαγόραν.

Apollonia, quam Diogenes patriam habuit, erat Cretae insulae oppidum, v. Steph. B. v. *Ἀπολλωνία*. De aetate v. Clint. F. H. s. ann. 468 et app. XXI, p. 449 ed. 3. Physicorum ferme novissimum fuisse affirmat Simplicius in Arist. Phys. fol. 6 a. *καὶ Διογένης δὲ ὁ Ἀπολλωνιάτης σχεδὸν νεώτατος γεγονὼς τῶν περὶ ταῦτα* (sc. *τὰ φυσικὰ*) *σχολασάντων τὰ μὲν πλεῖστα συμπεφορημένως γέγραφε, τὰ μὲν κατὰ Ἀναξαγόραν τὰ δὲ κατὰ Λεύκιππον λέγων.* Ex fragmentis quantum iudicare licet, videtur principia Anaximenis secutus esse, sed ita ut post Anaxagoram scripserit et antiquiorem doctrinam adversum eum munire studuerit.

Diog. L. IX, 57. *Ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος ἥδε·* 160
„Λόγου παντὸς ἀρχόμενον δοκέει μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνήϊην ἁπλῆν καὶ σεμνήν.“

Cf. Diog. L. VI, 81. In libris mss. erat *δοκεῖ* et *ἑρμηνείαν*, verum Ionica dialecto scripsisse Diogenem cernitur ex fragmentis a Simplicio servatis, in quibus castigandis et interpretandis elaboraverunt Panzerbieter, Diogenes Apolloniates, Lips. 1830, et W. Schorn, Anaxagorae et Diogenis fragmenta, Bonnae 1829. Plura olim Diogenis scripta exstitisse, sed solum opus *περὶ φύσεως* ad se pervenisse testatur Simpl. l. l. fol. 32 b. *ἰστέον ὡς γέγραπται πλείονα τῷ Διογένει τούτῳ συγγράμματα, ὡς αὐτὸς ἐν τῷ περὶ φύσεως ἐμνήσθη, καὶ πρὸς φυσιολόγους ἀντειρηκέναι λέγων, οὓς καλεῖ καὶ αὐτὸς σοφιστάς, καὶ μετεωρολογίας γεγραφέναι, ἐν ᾗ καὶ*

λέγει περὶ τῆς ἀρχῆς εἰρηκέναι, καὶ μέντοι καὶ περὶ ἀνθρώπου φύσεως, cf. 6 a. Secundi libri *περὶ φύσεως* meminit Rufus ap. Galen. sec. c. in Epid. Hippocr. VI, 49, p. 1006 Kuehn.

161 Simpl. Phys. fol. 32 b. *Γράφει δὲ εὐθὺς μετὰ τὸ προοίμιον τάδε· „Ἐμοὶ δὲ δοκέει, τὸ μὲν ξύμπαν εἰπεῖν, πάντα τὰ ἐόντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι. καὶ τοῦτο εὖδηλον· εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ ἐόντα νῦν, γῆ καὶ ὕδωρ*) καὶ τἆλλα ὅσα φαίνεται ἐν τῷδε τῷ κόσμῳ ἐόντα, εἰ τουτέων τι ἦν τὸ ἕτερον τοῦ ἑτέρου ἕτερον ἐὸν τῇ ἰδίῃ φύσεϊ, καὶ μὴ τὸ αὐτὸ ἐὸν μετέπιπτε πολλαχῶς καὶ ἑτεροιοῦτο, οὐδ' ἂν**) οὔτε μίσγεσθαι ἀλλήλοισιν ἠδύνατο, οὔτε ὠφέλησις τῷ ἑτέρῳ οὔτε βλάβη . . . οὐδ' ἂν οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον οὔτε ἄλλο γενέσθαι οὐδέν, εἰ μὴ οὕτω συνίστατο ὥστε τωὐτὸ εἶναι. ἀλλὰ πάντα ταῦτα ἐκ τοῦ αὐτοῦ ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ ἐς τὸ αὐτὸ ἀναχωρέει.“*[a]

a) His significari videtur omnes res ex uno eodemque fundamento ortas esse inque idem fundamentum absumtum iri. Certe Diogenes inter eos refertur, qui res definito temporum cyclo confecto interire et regenerari docuerunt, v. Simpl. Phys. fol. 257 b; Stob. Ecl. I, p. 496.

Eundem haud dubie locum respexit Arist. de Gen. et Corr. I, 6. *καὶ τοῦτ' ὀρθῶς λέγει Διογένης, ὅτι εἰ μὴ ἐξ ἑνὸς ἦν ἅπαντα, οὐκ ἂν ἦν τὸ ποιεῖν καὶ τὸ πάσχειν ὑπ' ἀλλήλων κτλ.* Theophr. de Sensu 39. *Διογένης δ', — — οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν, εἰ μὴ πάντα ἦν ἐξ ἑνός.* Quod ad verba Diogenis attinet, patet ea in initio operis collocata fuisse. Continetur igitur iis *ἡ ἀρχὴ ἀναμφισβήτητος*, v. n. 160.

162 Id. ibid. fol. 33 a. *Θαυμαστὸν δὲ ὅτι κατὰ ἑτεροίωσιν τὴν ἀπ' αὐτοῦ* (sc. *τοῦ ἀέρος*) *λέγων τὰ ἄλλα γίγνεσθαι ἀΐδιον ὅμως αὐτό φησι λέγων· „καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀΐδιον καὶ ἀθάνατον σῶμα· τῶν δὲ τὰ μὲν γίνεται τὰ δὲ ἀπολείπει“. καὶ ἐν ἄλλοις· „ἀλλὰ τοῦτό μοι δῆλον δοκέει εἶναι, ὅτι καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀΐδιόν τε καὶ ἀθάνατον καὶ πολλὰ εἰδός ἐστι“.*

163 Id. ibid. fol. 32 b. *Ἐφεξῆς δὲ δείξας ὅτι ἐστὶν ἐν τῇ ἀρχῇ ταύτῃ νόησις πολλή, „οἰ γὰρ ἄν“, φησίν, „οὕτω δεδάσθαι*

---

*) Cod. D addit *καὶ ἀὴρ καὶ πῦρ.* — **) Ed. *οὐδαμῆ*. Corr. Schorn, qui post *βλάβη* excidisse putat *ἀπὸ τοῦ ἑτέρου γενέσθαι.*

οἷόν τε ἦν ἄνευ νοήσιος, ὥστε πάντων μέτρα ἔχειν, χειμῶνός τε καὶ θέρεος, καὶ νυκτὸς καὶ ἡμέρης, καὶ ὑετῶν καὶ ἀνέμων καὶ εὐδιέων· καὶ τὰ ἄλλα εἴ τις βούλεται ἐννοέεσθαι, εὑρίσκοι ἂν οὕτω διακείμενα, ὡς ἀνυστὸν κάλλιστα". ἐπάγει ὅτι καὶ ἄνθρωπος καὶ τὰ ἄλλα ζῷα ἐκ τῆς ἀρχῆς ταύτης, ἥτις ἐστὶν ὁ ἀήρ, καὶ ζῇ καὶ ψυχὴν ἔχει καὶ νόησιν, λέγων οὕτως· „ἔτι δὲ πρὸς τούτοισι καὶ τάδε μεγάλα σημήϊα· ἄνθρωπος γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι, καὶ τοῦτο αὐτοῖσι καὶ ψυχή ἐστι καὶ νόησις, ὡς δεδήλωται ἐν τῇδε τῇ συγγραφῇ ἐμφανέως· καὶ ἐὰν τοῦτο ἀπαλλαχθῇ, ἀποθνήσκει καὶ ἡ νόησις ἐπιλείπει".

Id ibid. fol. 33a. Εἶτα μετ' ὀλίγον σαφῶς ἐπήγαγε· „καί 164
μοι δοκέει τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλεόμενος ὑπὸ τῶν ἀνθρώπων, καὶ ὑπὸ τούτου πάντα*) καὶ κυβερνᾶσθαι καὶ πάντων κρατέειν· ἀπὸ γάρ μοι τούτου δοκέει ἔθος**) εἶναι καὶ ἐπὶ πᾶν ἀφῖχθαι καὶ πάντα διατιθέναι καὶ ἐν παντὶ ἐνεῖναι· καὶ οὐκ ἔστιν οὐδὲ ἕν, ὅ τι***) μὴ μετέχοι τούτου. μετέχει δὲ οὐδὲ ἓν ὁμοίως τὸ ἕτερον τῷ ἑτέρῳ, ἀλλὰ πολλοὶ τρόποι καὶ αὐτοῦ τοῦ ἀέρος καὶ τῆς νοήσιός εἰσιν· ἔστι γὰρ πολύτροπος, καὶ θερμότερος καὶ ψυχρότερος, καὶ ξηρότερος καὶ ὑγρότερος, καὶ στασιμώτερος καὶ ὀξυτέρην κίνησιν ἔχων, καὶ ἄλλαι πολλαὶ ἑτεροιώσιες ἔνεισι καὶ ἡδονῆς[a] καὶ χροιῆς ἄπειροι. καὶ πάντων τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστιν, ἀὴρ θερμότερος μὲν τοῦ ἔξω, ἐν ᾧ εἰμέν, τοῦ μέντοι παρὰ τῷ ἡελίῳ πολλὸν ψυχρότερος. ὅμοιον δὲ τοῦτο τὸ θερμὸν οὐδενὸς τῶν ζῴων ἐστίν, ἐπεὶ οὐδὲ τῶν ἀνθρώπων ἀλλήλοισιν, ἀλλὰ διαφέρει μέγα μὲν οὐ, ἀλλ' ὥστε παραπλήσια εἶναι, οὐ μέντοι ἀτρεκέως γε ὅμοιον ἐόν. οὐδὲν δ' οἷόν τε γενέσθαι τῶν ἑτεροιουμένων ἕτερον ἑτέρου, πρὶν τὸ αὐτὸ γένηται. ἅτε οὖν πολυτρόπου ἐούσης†) τῆς ἑτεροιώσιος πολύτροπα καὶ τὰ ζῷα καὶ πολλά, καὶ οὔτε ἰδέην ἀλλήλοισιν ἐοικότα οὔτε δίαιταν οὔτε νόησιν ὑπὸ τοῦ πλήθεος τῶν ἑτεροιωσίων, ὅμως δὲ πάντα τῷ αὐτῷ καὶ ζῇ καὶ ὁρᾷ καὶ ἀκούει καὶ τὴν ἄλλην νόησιν[b] ἔχει ὑπὸ τοῦ αὐτοῦ πάντα."

a) De sensu huius vocis dubitatur, v. Philipson Ὕλη ἀνθρωπίνη

*) Ed. *πάντας*. Corr. Schorn. — **) *ἔθος* corruptum. Videtur legendum *ἕκαστον* vel *ἓν ἕκαστον*. — ***) Ed. *καὶ ἐστὶ μηδὲ ἓν ὅ τι* et deinde *μετέχει*. Corr. Schorn ex codd. C. D. — †) Sic codd. C. D. Vulg. *ἐνούσης*.

p. 205; Brandis *Handb.* I, p. 282; Zeller *d. Philos. d. Gr.* I, p. 195. Persimili significatione usurpatur ab Anaxagora, v. supra n. 120. — **b)** Hinc intelligitur *νόησιν* etiam ad sensus referri.

Intellectum calido tantum aeri tribuit; quocirca eum aerem, qui esset in animalibus, densum et udum esse, eamque densitatem atque udorem quominus clare cogitarent obstare statuebat, v. Plut. de Plac. Phil. V. 20. *Διογένης μετέχειν μὲν αὐτὰ* (sc. *τὰ ζῷα*) *τοῦ νοητοῦ καὶ ἀέρος, διὰ δὲ τὸ τὰ μὲν πυκνότητι τὰ δὲ πλεονασμῷ τῆς ὑγρασίας . . . . μήτε διανοεῖσθαι μήτ' αἰσθάνεσθαι, προσφερῶς δ' αὐτὰ διακεῖσθαι τοῖς μεμηνόσι, παρεπταικότος τοῦ ἡγεμονικοῦ.* Cui loco variis coniecturis mederi studuerunt viri docti, v. editionem Beckii p. 276 et Brandis *Gesch. d. Philosophie* I, p. 284, not. r. Eodem referendum quod Aristoteles primum aerem subtilissimum a Diogene vocatum esse refert, de Anima I. 2, 15. *Διογένης δ' ὥσπερ καὶ ἕτεροί τινες ἀέρα* (*ὑπέλαβε τὴν ψυχήν*), *τοῦτον οἰηθεὶς πάντων λεπτομερέστατον εἶναι καὶ ἀρχήν, καὶ διὰ τοῦτο γιγνώσκειν τε καὶ κινεῖν τὴν ψυχήν, ᾗ μὲν πρῶτόν ἐστι, καὶ ἐκ τούτου τὰ λοιπὰ γιγνώσκειν, ᾗ δὲ λεπτότατον κινητικὸν εἶναι.* Adde quod traditur a Nicolao Damasceno et Porphyrio ap. Simpl. Phys. fol. 6 b primam materiam Diogenis fuisse aliquod inter aerem et ignem medium.

165 Simpl. ibid. fol. 33 a. *Καὶ ἐφεξῆς δείκνυσιν ὅτι καὶ τὸ σπέρμα τῶν ζῴων πνευματῶδές ἐστι, καὶ νοήσεις γίγνονται τοῦ ἀέρος σὺν τῷ αἵματι τὸ ὅλον σῶμα καταλαμβάνοντος διὰ τῶν φλεβῶν· ἐν οἷς καὶ ἀνατομὴν ἀκριβῆ τῶν φλεβῶν παραδίδωσιν.*

Cf. Clem. Alex. Paedog. I, p. 105 D. Descriptio illa venarum, quam dicit Simplicius, hodie etiam legitur apud Arist. Hist. Anim. III, 2, cf. Panzerbieter p. 75 sqq. In qua id potissimum spectabat, ut ostenderet quo modo harum per totum corpus distributarum ope calidior ille et rationalis aer, in omnes animalium partes derivatus, omnium et sensuum et cogitationum causa existeret.

166 Theophr. de Sensu 39. *Διογένης δ' ὥσπερ τὸ ζῆν καὶ τὸ φρονεῖν τῷ ἀέρι καὶ τὰς αἰσθήσεις ἀνάπτει· — — τὴν μὲν ὄσφρησιν τῷ περὶ τὸν ἐγκέφαλον ἀέρι· τοῦτον γὰρ ἄθρουν εἶναι καὶ σύμμετρον τῇ ὀσμῇ· τὸν γὰρ ἐγκέφαλον αὐτὸν μόνον λεπτότατον καὶ ἀσύμμετρον καὶ οὐ μίγνυσθαι ταῖς ὀσμαῖς· ὡς εἴ τις εἴη τῇ κράσει σύμμετρος, δῆλον ὡς αἰσθανόμενον ἄν.*

Sequitur reliquorum sensum ex aere derivatio et expositio ad eandem rationem procedens. Cum Theophrasto cf. Plut. de Plac. Phil. IV, 16. 18.

167 Id. ibid. 42. *Ὅτι δὲ ἐντὸς ἀὴρ αἰσθάνεται μικρὸν ὢν*

μόριον τοῦ θεοῦ*), σημεῖον εἶναι ὅτι πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχοντες οὔθ' ὁρῶμεν οὔτ' ἀκούομεν. ἡδονὴν δὲ καὶ λύπην γίγνεσθαι τόνδε τὸν τρόπον· ὅταν μὲν πολὺς ὁ ἀὴρ μίσγηται τῷ αἵματι καὶ κουφίζῃ κατὰ φύσιν ὢν καὶ κατὰ πᾶν τὸ σῶμα διεξιών, ἡδονήν· ὅταν δὲ παρὰ φύσιν καὶ μὴ μίσγηται συνιζάνοντος**) τοῦ αἵματος καὶ ἀσθενεστέρου καὶ πυκνοτέρου γιγνομένου, λύπην. — — Ib. 44. Φρονεῖν δέ, ὥσπερ ἐλέχθη, τῷ ἀέρι καθαρῷ καὶ ξηρῷ· κωλύειν γὰρ τὴν ἰκμάδα τὸν νοῦν· διὸ καὶ ἐν τοῖς ὕπνοις καὶ ἐν ταῖς μέθαις καὶ ἐν ταῖς πλησμοναῖς ἧττον φρονεῖν. ἔτι δὲ ἡ ὑγρότης ἀφαιρεῖται τὸν νοῦν. σημεῖον δ' ὅτι***) τὰ ἄλλα ζῷα χείρω τὴν διάνοιαν· ἀναπνεῖν†) τε γὰρ τὸν ἀπὸ τῆς γῆς ἀέρα καὶ τροφὴν ὑγροτέραν προσφέρεσθαι. — — τὰ δὲ φυτὰ διὰ τὸ μὴ εἶναι κοῖλα μηδὲ ἀναδέχεσθαι τὸν ἀέρα παντελῶς ἀφῃρῆσθαι††) τὸ φρονεῖν.

Plut. ap. Euseb. Praep. Evang. I, 8. Διογένης ὁ Ἀπολλω- 168
νιάτης — — κοσμοποιεῖ — οὕτως, ὅτι τοῦ παντὸς κινουμένου καὶ ᾗ μὲν ἀραιοῦ ᾗ δὲ πυκνοῦ γιγνομένου, ὅπου συνεκύρησε τὸ πυκνόν, συστροφὴν ποιῆσαι, καὶ οὕτω τὰ λοιπά· κατὰ τὸν αὐτὸν λόγον τὰ κουφότατα τὴν ἄνω τάξιν λαβόντα τὸν ἥλιον ἀποτελέσαι.

Ex hisce et aliis quae spectant ad Diogenis de conformatione mundi et compositione doctrinam, quamvis sint obscura et exigua, tamen hoc luculenter cernitur, eum maxime in animantium natura ex aeris principio repetenda elaborasse. Minorem curam posuisse videtur in cognitione τῶν μετεώρων.

2. Archelaus.

Diog. L. II, 16. Ἀρχέλαος Ἀθηναῖος ἢ Μιλήσιος[a] — 169
μαθητὴς Ἀναξαγόρου, διδάσκαλος[b] Σωκράτους οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε καὶ ἐκλήθη φυσικός, παρὸ καὶ ἐλῆξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικε δὲ καὶ οὗτος ἅψασθαι

*) μόριον τοῦ θυ . . . σημεῖον εἶναι vulgabatur. θυμοῦ Schneider. θεοῦ edit. a Philips. e cod. Paris. et ed. Camot. — **) Vulg. συνισαζοντος. Schneid. coni. συνιζάνοντος. — ***) Ita in edd. Camot. et Steph. Schneid. et Philips. ex coni. ὅτι δὲ — νοῦν, σημεῖον, ὅτι. — †) Priores διαπνεῖν. Corr. Schneider. — ††) Vulgo ἀναιρεῖσθαι. Correxit Schneider.

τῆς ἠθικῆς[c]· καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων. παρ' οὗ λαβὼν Σωκράτης τῷ αὐξῆσαι αὐτὸς εὑρεῖν ἐπελήφθη.

a) Diogenes solus Milesium dicit Archelaum, reliqui omnes Atheniensem. Primus ille exstitit Atheniensis, qui philosophiam Athenis profiteretur et physicus appellaretur; haec enim sententia illorum esse videtur, οὗτος πρῶτος κτλ. — **b)** De Socrate Archelai discipulo admodum dubium est, quum neque Plato neque Xenophon neque Aristoteles Archelai meminerint. — **c)** De moribus disputasse refertur etiam apud Sext. Empir. adv. Math. VII, 14. Theophrasti librum περὶ τῶν Ἀρχελάου singularem recenset Diog. L. V, 42.

170 Simpl. in Arist. Phys. fol. 6 b. Ἀρχέλαος — ἐν μὲν τῇ γενέσει τοῦ κόσμου καὶ τοῖς ἄλλοις πειρᾶταί τι φέρειν ἴδιον, τὰς ἀρχὰς δὲ τὰς αὐτὰς δίδωσιν ἅσπερ Ἀναξαγόρας.

Cf. Clem. Alex. Protrept. p. 43 D; Augustin. de Civ. Dei VIII, 2. At aliquantum dissenserit ab Anaxagora, si audiamus Hippol. I, 9. οὗτος ἔφη τὴν μῖξιν τῆς ὕλης ὁμοίως Ἀναξαγόρᾳ τάς τε ἀρχὰς ὡσαύτως, οὗτος δὲ τῷ νῷ ἐνυπάρχειν τι εὐθέως μῖγμα. Quid quod Stob. Ecl. I, p. 56. Ἀρχέλαος, inquit, ἀέρα καὶ νοῦν τὸν θεόν, οὐ μέντοι κοσμοποιὸν τὸν νοῦν. Eodem facit quod dicunt Archelaum aere pro principio usum esse: Sext. Empir. adv. Math. IX, 360; Plut. de Pl. Ph. I, 3; Stob. Ecl. I, p. 298. Mentem ei non idem fuisse quod Anaxagorae collegeris etiam ex hisce ap. Diog. L. II, 16. ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν.

171 Hippol. Ref. Haer. I, 9. Περὶ δὲ ζῴων φησὶν ὅτι θερμαινομένης τῆς γῆς τὸ πρῶτον ἐν τῷ κάτω μέρει*), ὅπου τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐμίσγετο, ἀνεφαίνετο τά τε ἄλλα ζῷα πολλὰ καὶ ἀνόμοια, πάντα τὴν αὐτὴν δίαιταν ἔχοντα, ἐκ τῆς ἰλύος τρεφόμενα· ἦν δὲ ὀλιγοχρόνια. ὕστερον δὲ αὐτοῖς καὶ ἐξ ἀλλήλων γένεσις ἀνέστη, καὶ διεκρίθησαν ἄνθρωποι ἀπὸ τῶν ἄλλων, καὶ ἡγεμόνας καὶ νόμους καὶ τέχνας καὶ πόλεις καὶ τὰ ἄλλα συνέστησαν. νοῦν δὲ λέγει πᾶσιν ἐμφύεσθαι ζῴοις ὁμοίως· χρήσασθαι γὰρ ἕκαστον καὶ τῷ σώματι ἀναλόγως**), τὸ μὲν βραδυτέρως τὸ δὲ ταχυτέρως.

Cf. Diog. L. II, 16. 17 et supra n. 127, not. b.

---

*) Vulg. κατὰ μέρος. Corr. H. Ritter. — **) Vulg. τῶν σωμάτων ὅσῳ. H. Ritter τῷ σώματι ὁμοίως.

Diog. L, II, 16. *Ἔλεγε — — τὸ δίκαιον εἶναι καὶ τὸ* 172
αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ.

At ista sophistas redolent, cf. Platon. Georg. p. 482 sqq.

3. Hippo.

Alex. Aphrod. in Arist. Met. *A*, 3. Scholl. Arist. p. 534 a. 173
Ἵππωνα ἱστοροῦσιν ἀρχὴν ἁπλῶς τὸ ὑγρὸν ἀδιορίστως ὑποθέσθαι, οὐ διασαφήσαντα πότερον ὕδωρ — ἢ ἀήρ.

De patria et aetate parum constat. Sed cum numeretur inter atheos et Hippo philosophus a Cratino comico exagitatus sit, probabile est eum Archelai aequalem fuisse et Athenis vixisse, v. Th. Bergk de reliquiis Com. Att. Antiq. p. 165 sqq., 176 sq.; Bakhuizen van den Brink Var. Lectt. ex Hist. Philos. Antiq. L. B. 1842, p. 36 sqq. Inferiorem aetatem redolet etiam *τὸ ὑγρὸν* pro aqua vel aere positum. Ab Aristotele Met. *A*, 3 Hippo una cum Thalete nominatur, addito tamen eum vix inter philosophos numerandum esse *διὰ τὴν εὐτέλειαν αὐτοῦ τῆς διανοίας* ad quem locum Scholiasta ap. Brandis p. 534 adnotat: *ἔλεγε γὰρ μηδὲν ἕτερον εἶναι παρὰ τὰ φαινόμενα φυσικὰ πράγματα, ὅθεν καὶ ὡς μηδὲν ἄλλο τι παρὰ τὰ αἰσθητὰ δοξάζων εἶναι ἄθεος ἀπεκλήθη.* cf. ib. p. 740 b. 798 b.

Arist. de Anima I, 2. *Τῶν δὲ φορτικωτέρων καὶ ὕδωρ* 174
τινὲς ἀπεφήναντο (sc. *τὴν ψυχήν*), *καθάπερ Ἵππων. πεισθῆναι δ' ἐοίκασιν ἐκ τῆς γονῆς, ὅτι πάντων ὑγρά· καὶ γὰρ ἐλέγχει τοὺς αἷμα φάσκοντας τὴν ψυχήν, ὅτι ἡ γονὴ οὐχ αἷμα· ταύτην δ' εἶναι τὴν πρώτην ψυχήν.*

Etiam haec inferioris aetatis sunt, nam animam sanguine constare inter philosophos primus docuit Empedocles. De aliis placitis cf. Schleiermacher Op. philos. III, p. 405 sqq.

B. Sophistae.

1. De arte doctrinaque Sophistarum in universum.

Cic. Brut. 12. Pacis est comes otiique socia et iam bene 175
constitutae civitatis quasi alumna quaedam eloquentia. Itaque, ait Aristoteles, quum sublatis in Sicilia tyrannis res privatae

longo intervallo iudiciis repeterentur, tum primum, quod esset acuta illa gens et controversa natura, artem et praecepta Siculos Coracem et Tisiam conscripsisse; nam antea neminem solitum via nec arte, sed accurate tamen et de scripto plerosque dicere; scriptasque fuisse et paratas a Protagora rerum illustrium disputationes, quae nunc communes appellantur loci. Quod idem fecisse Gorgiam, quum singularum rerum laudes vituperationesque conscripsisset, quod iudicaret hoc oratoris esse maxime proprium, rem augere posse laudando vituperandoque rursus affligere.

Cf. Spengel Artium Script. p. 23 sqq. Syracusani a. 466 Thrasybulo eiecto usque ad a. 406 libera utebantur republica, eoque tempore eloquentia orta est arte et ratione culta. Primus huius artis auctor erat Corax, qui apud Gelonem et Hieronem multum valuerat et eloquentia sua etiam apud liberos cives conspicuus erat. Eius discipulus Tisias a. 427 cum Gorgia Leontinorum legato Athenas venit, ubi nova ars summo deinde cum studio exculta et perpolita est. Ante eos eloquentiae praecepta quaedam tradiderat Protagoras Abderita, Periclis aequalis et familiaris, qui et ipse aliquamdiu in Italia et Sicilia commoratus erat, v. n. 177. Communes loci (*τόποι*) dicebantur tales, quibus argumentum aliquod generaliter et extra personas tractabatur, cf. Cic. d. Or. III, 27, Quintil. II, 1, 11; 4, 22. Omnes eloquentiam profitebantur esse artem et facultatem persuadendi, in hominum concionibus coetibusque, maxime in publicis negotiis exercendam, veritatis ratione non habita, quapropter solent notari a philosophis, cf. Plato Phaedr. p. 267 A. *Τισίαν δὲ Γοργίαν τε ἐάσομεν εὖδειν, οἳ πρὸ τῶν ἀληθῶν τὰ εἰκότα εἶδον ὡς τιμητέα μᾶλλον, τά τε αὖ σμικρὰ μεγάλα καὶ τὰ μεγάλα σμικρὰ φαίνεσθαι ποιοῦσι διὰ ῥώμην λόγου.* Eodem redit quod Protagoram *τὸν ἥττω λόγον κρείττω ποιῆσαι* veteres scriptores perhibent, v. Arist. Rhet. II, 24, Gell. N. A. V, 3, qui illam professionem recte sic interpretatur: *pollicebatur se id docere, quanam verborum industria causa infirmior fieret fortior.*

176 Philostr. Vit. Sophist. prooem. *Τὴν ἀρχαίαν σοφιστικὴν ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν· διαλέγεται μὲν γὰρ ὑπὲρ ὧν οἱ φιλοσοφοῦντες.* Arist. Soph. Elench. 1. *Ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ' οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης.*

Eo enim distat philosophus et Sophista, quod ille veritatem persequitur, hic probabilitatem et variam eruditionem, quam sub specie sapientiae et virtutis tradebant iis, qui mercedem solvebant. Primus se Sophistam (de quo nomine cf. n. 1, not.) appellavit et pretio docuit Protagoras, v. Plato Protag. p. 316 D sqq., 348 E sqq. Eum secutus Gorgias

non Sophista, sed rhetor appellari voluit, sed percrebuerat nomen, ut et ille et ceteri, qui similia profitebantur, eodem appellati sint: quamquam minime omnes eiusdem farinae erant, sed alii aliis et doctrina et moribus ac modestia praestantiores, nominatim Prodicus Ceus, de quo disputavit Welckerus *kleine Schriften* II, p. 393—541. Neque omnibus aeque criminandum, quod mercenariam operam discipulis praestabant, v. ib. p. 412 sqq. Erudiebant autem discipulos suos tam colloquendo disputandoque quam in orationibus continuis, sicut et ipsi artem suam modo cum aliis disputando modo orationibus elaboratioribus habendis ostendebant, v. Plat. Protag. p. 334; Gorg. p 449; Arist. de Soph. El. 34. *καὶ γὰρ τῶν περὶ τοὺς ἐριστικοὺς λόγους μισθαρνούντων ὁμοία τις ἦν ἡ παίδευσις τῇ Γοργίου πραγματείᾳ· λόγους γὰρ οἱ μὲν ῥητορικοὺς οἱ δὲ ἐρωτητικοὺς ἐδίδοσαν ἐκμανθάνειν, εἰς οὓς πλειστάκις ἐμπίπτειν ᾠήθησαν ἑκάτεροι τοὺς ἀλλήλων λόγους.* Praeter eloquentiam etiam studia grammatica a Sophistis promovebantur, praecipue ea quae in poetarum interpretatione posita erant, cf. Plato Protag. p. 338 E sqq.; Io. Classen de Gramm. Gr. primordiis, Bonnae 1829, et de meritis Sophistarum in historia philosophiae recte iudicandis C. F. Hermann *Gesch. u. System d. Platon. Philos.* I, p. 179—231. Athenis vel maxime colebantur, nam ibi tunc omnes confluebant qui artibus litterisque liberiore studio vacabant, posteaquam Pericle civitatem administrante ad naturales ingenii dotes, quibus Athenienses prae ceteris Graecis insignes erant, summa etiam libertas et magna potentia magnaque opulentia accesserat, cf. Plato Protag. p. 337 D, ubi Hippias Eleus Athenas nominat *τῆς Ἑλλάδος τὸ πρυτανεῖον τῆς σοφίας*, Gorg. p. 461 E. *Ἀθήναζε ἀφικόμενος, οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν.* Labante tamen republica etiam Sophistae in peius ruebant et argutiis suis dialecticis pravisque opinionibus ad mores turbandos vel maxime pertinuerunt, ut luculentissime constat ex Platone, acerbissimo Sophistarum exagitatore, velut in Protagora, Gorgia, Phaedro, Hippia minore, Sophista, aliis dialogis.

2. Protagoras.

Diog. L. IX, 50. *Πρωταγόρας — Ἀβδηρίτης, καθά φησιν* 177
Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς περὶ νόμων, ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν. — διήκουσε δὲ — Δημοκρίτου[a]. 51. *καὶ ἤρξατό που τοῦτον τὸν τρόπον. — „Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσὶν· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος τοῦ ἀνθρώπου.“* 52. *διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ ὑπὸ κήρυκα ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων*[b]. *οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν. — καὶ*

τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπιπολάζον γένος τῶν ἐριστικῶν ἐγέννησεν. — 53. *καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις*[c]. — — *διεῖλε τε τὸν λόγον πρῶτος εἰς τέτταρα, εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν*[d]. — 55. *φησὶ δὲ Φιλόχορος πλέοντος αὐτοῦ ἐς Σικελίαν τὴν ναῦν καταποντωθῆναι, καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι.* — 56. *Ἀπολλόδωρος δέ φησιν ἑβδομήκοντα* (sc. *ἔτη βιώσαντα τελευτῆσαι*), *σοφιστεῦσαι δὲ τεσσαράκοντα*[e] *καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα.*

a) Id Epicurus tradiderat, v. Diog. L. IX, 53; Athen. VIII, p. 354 C; Gell. N. A. V, 3, sed obstant tempora. Democritus enim circa a. 460, Protagoras circiter 480 natus erat, ut viginti annis Democrito maior fuerit. Et constat Democritum scripsisse adversus Protagoram, v. Plut. adv. Colot. 4; Sext. Emp. adv. Math. VII, 389. Athenis sub annum 451 artem sophisticam profiteri incipiebat et mox ingenio suo tantum apud Periclem valuit, ut a. 445, quo Athenis coloni Thurios proficiscebantur, dignus haberetur qui Thurinis leges scriberet, cf. Plut. Pericl. 36, Consol. ad Apollon. 33. Circa a. 435 Athenas reversus summa per omnem Graeciam fama floruit, ut apparet ex Platonis dialogo cognomine, cf. Io. Frei Quaestt. Protag. Bonnae 1845; Weber Quaestt. Protag. Marb. 1850; A. I. Vitringa disq. de Protag. vita et philosophia. Groning. 1852. Provectiore aetate eum in Sicilia artem exercuisse testatur Platonis Hippias mai. p. 282. — **b)** Cf. Cic. Nat. D. I, 12, 23; Plato Theaet. p. 162; Sext. Emp. adv. Math. IX, 56; Krische *Forsch.* p. 133 sqq. De librorum, qui aetatem tulerant, inscriptionibus v. Diog. L. IX, 55. Placita sua de natura rerum explicaverat in libro *Ἀλήθεια* s. *Καταβάλλοντες* inscripto, v. Plato Theaet. p. 161, C c. Schol., 162 A, 166 C, 170 C; Bernays in Mus. Rhen. Philol. 1850, p. 464 sqq. — **c)** *Θέσεις* sunt sententiae universales de quibus in utramque partem disputabatur, cf. Frei p. 150 sq. — **d)** Cf. Quintil. III, 4, 10. *Protagoram transeo, qui interrogandi, respondendi, mandandi, precandi, quod εὐχωλὴν dicit, partes solas* (rhetorices) *putat.* Eadem divisio ad verbi modos observandos et disiungendos adhibebatur, v. Arist. Poet. 19. Alia eius disciplina erat *περὶ ὀρθοεπείας*, alia *περὶ ὀνομάτων ὀρθότητος*, cf. Frei l. c. p. 136 sqq. — **e)** Plato Meno p. 91 E. *οἶμαι γὰρ αὐτὸν ἀποθανεῖν ἐγγὺς καὶ ἑβδομήκοντα ἔτη γεγονότα, τετταράκοντα ἐν τῇ τέχνῃ ὄντα.* Mortuus esse videtur tempore quadringentorum h. e. a. 411; certe apud hos propter sententiam illam de diis emissam impietatis reus factus esse et combustis libris urbe atque agro exterminatus esse dicitur, v. Diog. L. IX, 55; Cic. Nat. D. I, 23, 63. In fuga fatis oppressus est.

178 Diog. L. IX, 51. *Ἤρξατό που τοῦτον τὸν τρόπον· „Πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστι, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν.“*

Quod dicit haec verba in principio operis posita fuisse, ex Platone fortasse sumtum est, v. Theaet. p. 161. *τὴν δ' ἀρχὴν τοῦ λόγου τεθαύμακα, ὅτι οὐκ εἶπεν ἀρχόμενος τῆς Ἀληθείας κτλ.* Ipsa verba a Diogene afferri cernitur ex Plat. Theaet. p. 152 A, Cratyl. p. 385 E; Sext. Emp. Hyp. Pyrrh. I, 216. Sententiam verborum copiose prosequitur Theaetetus Platonis, ubi etiam argumenta, quibus Protagoras usus sit, exprom untur, quamquam ita, ut dubium sit quaenam ab ipso Protagora tradita expresserit, quaeve Protagorae doctrinam amplificando de suo addiderit. Imprimis attinent haec, l. l. *ΣΩ. Οὐκοῦν οὕτω πως λέγει, ὡς οἷα μὲν ἕκαστα ἐμοὶ φαίνεται, τοιαῦτα μέν ἐστιν ἐμοί, οἷα δὲ σοί, τοιαῦτα δὲ αὖ σοί; ἄνθρωπος δὲ σύ τε κἀγώ. — — πότερον οὖν — ἐφ' ἑαυτῷ τὸ πνεῦμα ψυχρὸν ἢ οὐ ψυχρὸν φήσομεν; ἢ πεισόμεθα τῷ Πρωταγόρᾳ ὅτι τῷ μὲν ῥιγοῦντι ψυχρόν, τῷ δὲ μὴ οὔ; ΘΕΑΙ. Ἔοικεν. ΣΩ. Οὐκοῦν καὶ φαίνεται οὕτως ἑκατέρῳ; ΘΕΑΙ. Ναί. ΣΩ. Τὸ δέ γε φαίνεται αἰσθάνεσθαί ἐστιν; ΘΕΑΙ. Ἔστι γάρ. ΣΩ. Φαντασία ἄρα καὶ αἴσθησις ταὐτὸν ἔν τε θερμοῖς καὶ πᾶσι τοῖς τοιούτοις. οἷα γὰρ αἰσθάνεται ἕκαστος, τοιαῦτα ἑκάστῳ καὶ κινδυνεύει εἶναι. ΘΕΑΙ. Ἔοικεν. ΣΩ. Αἴσθησις ἄρα τοῦ ὄντος ἀεί ἐστι καὶ ἀψευδές, ὡς ἐπιστήμη οὖσα.*

Sext. Emp. Pyrrhon. Hypot. I, 217. *Φησὶν οὖν ὁ ἀνὴρ* 179
(sc. *Πρωταγόρας*) *τὴν ὕλην ῥευστὴν εἶναι, ῥεούσης δὲ αὐτῆς συνεχῶς προσθέσεις ἀντὶ τῶν ἀποφορήσεων γίγνεσθαι, καὶ τὰς αἰσθήσεις μετακοσμεῖσθαί τε καὶ ἀλλοιοῦσθαι παρά τε ἡλικίας καὶ παρὰ τὰς ἄλλας κατασκευὰς τῶν σωμάτων. λέγει δὲ καὶ τοὺς λόγους πάντων τῶν φαινομένων ὑποκεῖσθαι ἐν τῇ ὕλῃ, ὡς δύνασθαι τὴν ὕλην ὅσον ἐφ' ἑαυτῇ πάντα εἶναι ὅσα πᾶσι φαίνεται. τοὺς δὲ ἀνθρώπους ἄλλοτε ἄλλων ἀντιλαμβάνεσθαι παρὰ τὰς διαφόρους αὐτῶν διαθέσεις· τὸν μὲν γὰρ κατὰ φύσιν ἔχοντα ἐκεῖνα τῶν ἐν τῇ ὕλῃ καταλαμβάνειν, ἃ τοῖς κατὰ φύσιν ἔχουσι φαίνεσθαι δύναται, τοὺς δὲ παρὰ φύσιν ἃ τοῖς παρὰ φύσιν. καὶ ἤδη παρὰ τὰς ἡλικίας καὶ κατὰ τὸ ὑπνοῦν ἢ ἐγρηγορέναι καὶ καθ' ἕκαστον εἶδος τῶν διαθεσέων ὁ αὐτὸς λόγος.*

Cf. adv. Math. VII, 60 sq. Similiter Plato Theaet. p. 152 D sqq., Protagorae sententiam explicans: *ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν· ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα ἃ δή φαμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ' οὐδέν, ἀεὶ δὲ γίγνεται· καὶ περὶ τούτου πάντες ἑξῆς οἱ σοφοὶ πλὴν Παρμενίδου ξυμφέρεσθον, Πρωταγόρας τε καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς.* Ib. p. 156 A. *ἀρχὴ δέ, ἐξ ἧς καὶ ἃ νῦν δὴ ἐλέγομεν πάντα ῥέρτηται, ἥδε αὐτῶν, ὡς τὸ πᾶν κίνησις ἦν καὶ ἄλλο παρὰ τοῦτο οὐδέν, τῆς δὲ κινήσεως δύο εἴδη, πλήθει μὲν ἄπειρον ἑκάτερον, δύναμιν δὲ τὸ μὲν ποιεῖν ἔχον, τὸ δὲ πάσχειν. ἐκ δὲ τῆς τούτων ὁμιλίας τε καὶ τρίψεως πρὸς ἄλληλα γίγνεται ἔκγονα πλήθει μὲν ἄπειρα, δίδυμα δέ, τὸ μὲν*

αἰσθητόν, τὸ δὲ αἴσθησις, ἀεὶ συνεκπίπτουσα καὶ γεννωμένη μετὰ τοῦ αἰσθητοῦ, et quae sequuntur. Sequebatur igitur Protagoras eos philosophos, qui res in perpetuo motu esse statuebant, semper mutari, nunquam consistere, maxime Heraclitum et Heracliteos, cf. n. 26. Adiecit, quod ei proprium fuisse videtur, omnis motionis duplicem rationem esse, ut alterae res commotae vel afficerent alteras, vel afficerentur ab alteris. Inde et sensibilium qualitatis et sensuum affectiones derivandas esse, utrasque artissimo vinculo ita copulatas, ut nullus sensus existat sine re sensibili, quae illum affecerit, neque ulla res sensibilis fieri possit sine sensu cognato. Consequens esse ut res non sint neque fiant nisi quatenus ab aliquo sentiantur, cf. Plato l. c. p. 160 B. *ἀλλήλοις δὴ λείπεται συνδεδέσθαι, ὥστε εἴτε τις εἶναί τι ὀνομάζει, τινὶ εἶναι ἢ τινος ἢ πρός τι ῥητέον αὐτῷ, εἴτε γίγνεσθαι· αὐτὸ δὲ ἐφ' αὑτοῦ τι ἢ ὂν ἢ γιγνόμενον οὔτε αὐτῷ λεκτέον οὔτ' ἄλλου λέγοντος ἀποδεκτέον*: item ut tales sint, quales unicuique esse videantur h. e. diversis diversae, cf. Arist. Met. Θ, 3. *οὔτε γὰρ ψυχρὸν οὔτε θερμὸν οὔτε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν ἔσται μὴ αἰσθανόμενον· ὥστε τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐτοῖς*, v. n. 180. Adde quod sensibus non solum sentiri, sed omnes etiam animi affectiones omnesque cogitationes ab illis repetendas esse statuebat, v. Diog. L. IX, 51. *ἔλεγέ τε μηδὲν εἶναι τὴν ψυχὴν παρὰ τὰς αἰσθήσεις*. Euseb. Praep. Ev. XIV, 2, p. 718. *καὶ αὖ πάλιν τοὺς κατὰ Μητρόδωρον καὶ Πρωταγόραν μόναις δεῖν φάσκοντας ταῖς τοῦ σώματος πιστεύειν αἰσθήσεσι*. Iam vero cum et res sensibiles et homines sentientes in perpetuum mutentur, de sensibus vero pendeat omne iudicium, quid restabat quam ut de nihilo constare, omnes hominum opiniones, etiam de legibus, de diis, usu tantum receptas esse contenderet?

180 Diog. L. IX, 51. *Πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγματος ἀντικειμένους ἀλλήλοις.* 53. *καὶ τὸν Ἀντισθένους λόγον τὸν πειρώμενον ἀποδεικνύειν, ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ.*

Cf. Plat. Euthyd. p. 286. Etiam haec sequuntur ex praemissis. Nam diverso modo affectis diversa probabuntur: id quod Sext. Emp. l. c. (n. 179) significat hisce: *λέγει δὲ καὶ τοὺς λόγους πάντων τῶν φαινομένων ὑποκεῖσθαι ἐν τῇ ὕλῃ* etc., h. e. prout aliqua res afficit aliquem sentientem, ita ei est vel hoc vel illud, vel vera vel falsa, cf. Arist. Met. *Γ*, 4. *ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. ἔσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος, εἰ κατὰ παντός τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. εἰ γάρ τῳ δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὅτι οὐκ ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ ἡ ἀντίφασις ἀληθής.* Ib. 5. *ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος· — εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς*

διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. καὶ εἰ τοῦτ' ἐστίν, ἀνάγκη τὰ δοκοῦντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, ἀληθεύσουσι πάντες.

Arist. Met. *B*. 2. *Οὔτε γὰρ αἱ αἰσθηταὶ γραμμαὶ τοιαῦταί* 181
εἰσιν οἵας λέγει ὁ γεωμέτρης· οὐθὲν γὰρ εὐθὺ τῶν αἰσθητῶν οὕτως οὐδὲ στρογγύλον. ἅπτεται γὰρ τοῦ κανόνος οὐ κατὰ στιγμὴν ὁ κύκλος, ἀλλ' ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχων τοὺς γεωμέτρας, οὔθ' αἱ κινήσεις καὶ ἕλικες τοῦ οὐρανοῦ ὅμοιαι, περὶ ὧν ἡ ἀστρολογία ποιεῖται τοὺς λόγους, οὔτε τὰ σημεῖα τοῖς ἄστροις τὴν αὐτὴν ἔχει φύσιν.

Protagoras ap. Plat. Theaet. p. 166 D. *Ἐγὼ γάρ φημι* 182
μὲν τὴν ἀλήθειαν ἔχειν ὡς γέγραφα· μέτρον γὰρ ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή· μυρίον μέντοι διαφέρειν ἕτερον ἑτέρου αὐτῷ τούτῳ, ὅτι τῷ μὲν ἄλλα ἔστι τε καὶ φαίνεται, τῷ δὲ ἄλλα. καὶ σοφίαν καὶ σοφὸν ἄνδρα πολλοῦ δέω τὸ μὴ φάναι εἶναι, ἀλλ' αὐτὸν τοῦτον καὶ λέγω σοφόν, ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσῃ ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι. — — οἷον γὰρ ἐν τοῖς πρόσθεν ἐλέγετο ἀναμνήσθητι, ὅτι τῷ μὲν ἀσθενοῦντι πικρὰ φαίνεται ἃ ἐσθίει καὶ ἔστι, τῷ δὲ ὑγιαίνοντι τἀναντία ἔστι καὶ φαίνεται. σοφώτερον μὲν οὖν τούτων οὐδέτερον δεῖ ποιῆσαι· οὐδὲ γὰρ δυνατόν· οὐδὲ κατηγορητέον ὡς ὁ μὲν κάμνων ἀμαθής, ὅτι τοιαῦτα δοξάζει, ὁ δὲ ὑγιαίνων σοφός, ὅτι ἀλλοῖα· μεταβλητέον δ' ἐπὶ θάτερα· ἀμείνων γὰρ ἡ ἑτέρα ἕξις. οὕτω δὲ καὶ ἐν τῇ παιδείᾳ ἀπὸ ἑτέρας ἕξεως ἐπὶ τὴν ἀμείνω μεταβλητέον. ἀλλ' ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις.

Cf. Plato Protag. p. 323 C sqq. Virtutem igitur doceri posse statuebat seque ipsum eam iuvenes docere profitebatur, eamque esse suam artem, propter quam Sophista appellari voluit. Virtutem autem dicebat politicam potissimum et oeconomicam, *ὅπως ἄν τις ἄριστα τὴν αὑτοῦ οἰκίαν διοικοῖ καὶ τὰ τῆς πόλεως δυνατώτατος ἂν εἴη καὶ πράττειν καὶ λέγειν*, ib. p. 318 E.

3. Gorgias.

Quintil. Inst. Orat. III, 1, 8. Gorgias Leontinus, Empe- 183
doclis ut traditur discipulus[a] — — beneficio longissimae aetatis, nam centum et novem vixit annos, cum multis simul floruit

— — et ultra Socratem usque duravit[b]. Plat. Hipp. mai. p. 282. *Γοργίας — — σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ εἰργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως*[c]. Dionys. Hal. Iudic. d. Lys. 3, p. 458 Rsk. *Γοργίας τε ὁ Λεοντῖνος ἐν πολλοῖς πάνυ φορτικήν τε καὶ ὑπέρογκον ποιῶν τὴν κατασκευὴν καὶ οὐ πόρρω διθυράμβων ἔνια φθεγγόμενος· — — ἥψατο δὲ καὶ τῶν Ἀθήνῃσι ῥητόρων ἡ ποιητική τε καὶ τροπικὴ φράσις, ὡς μὲν Τίμαιός φησι, Γοργίου ἄρξαντος, ἡνίκα Ἀθήναζε πρεσβεύων κατεπλήξατο τοὺς ἀκούοντας ἐν τῇ δημηγορίᾳ*[d].

a) Cf. supra n. 129, Plato Men. p. 76. Circumspecte Quintilianus: Empedoclis, *ut traditur*, discipulus. Nam Empedoclem tanto maiorem fuisse, ut Gorgias eius discipulus exstiterit, non verisimile est. Videntur potius aequales et familiares fuisse. — **b)** De singulis vitae temporibus v. Foss de Gorgia Leontino, Hal. 1828, p. 6 sqq.; Clinton a. 459. 427, p. 377; Io. Frei Mus. Rhen. Philol. 1850, p. 527 sqq., et de Gorgia Empedoclis discipulo ib. 1853, p. 268 sqq. — **c)** De Gorgiae legatione cf. Diod. Sic. XII, 53. Incidit ea in Ol. 88, 2, a. Chr. 427. Athenis plus semel commorabatur, sub finem vitae in Thessalia potissimum constitisse videtur, v. Foss p. 25 sq. — **d)** De ratione, qua in arte oratoria docenda utebatur, v. Arist. Soph. El. 34 et n. 175. 176 c. notis. Ipse in orationibus panegyricis et subitaneis maxime excelluit; sed vituperatur propter nimium figurarum et poetici splendoris studium, quo oratio frigidior quam gravior evaserit; cf. Foss p. 50 sqq. Quae nunc exstant sub nomine Gorgiae, veteris Sophistae esse non posse contra Schoenbornium evicit Foss p. 78 sq., cf. Io. Frei Mus. Rhen. Philol. 1850, p. 542 sqq. Apud antiquos praeter orationes artemque rhetoricam memoratur liber *περὶ φύσεως ἢ τοῦ μὴ ὄντος*, quo placita philosophica perscripserat. Nobis de doctrina eius constat ex extremis capitibus libelli de Xenoph., Zenon. et Gorgia (emendatius editis a Fossio de Gorg. p. 110 sq. et a Mullach Arist. de Mel. X. G. p. 62 sqq.), cf. Sext. Empir. adv. Math. VII, 65 sqq.

184 Sext. Empir. adv. Math. VII, 65. *Γοργίας δὲ ὁ Λεοντῖνος ἐκ τοῦ αὐτοῦ μὲν τάγματος ὑπῆρχε τοῖς ἀνῃρηκόσι τὸ κριτήριον, οὐ κατὰ τὴν ὁμοίαν δὲ ἐπιβολὴν τοῖς περὶ τὸν Πρωταγόραν. ἐν γὰρ τῷ ἐπιγραφομένῳ Περὶ τοῦ μὴ ὄντος ἢ περὶ φύσεως τρία κατὰ τὰ ἑξῆς κεφάλαια κατασκευάζει· ἓν μὲν καὶ πρῶτον ὅτι οὐδὲν ἔστιν, δεύτερον ὅτι εἰ καὶ ἔστιν, ἀκατάληπτον ἀνθρώπῳ, τρίτον ὅτι εἰ καὶ καταληπτόν, ἀλλά τοί γε ἀνέξοιστον καὶ ἀνερμήνευτον τῷ πέλας.*

Cf. Arist. de Xenoph. c. 5. *Οὐκ εἶναί φησιν οὐδέν· εἰ δ' ἔστιν, ἄγνωστον εἶναι· εἰ δὲ καὶ ἔστι καὶ γνωστόν, ἀλλ' οὐ δηλωτὸν ἄλλοις.* Deinde sequuntur.

Ibid. *Καὶ ὅτι μὲν οὐκ ἔστι, συνθεὶς τὰ ἑτέροις εἰρημένα,* 185 *ὅσοι περὶ τῶν ὄντων λέγοντες τἀναντία, ὡς δοκοῦσιν, ἀποφαίνονται αὐτοῖς, οἱ μὲν ὅτι ἓν καὶ οὐ πολλά, οἱ δ' αὖ ὅτι πολλὰ καὶ οὐχ ἕν, καὶ οἱ μὲν ὅτι ἀγένητα, οἱ δ' ὡς γενόμενα ἐπιδεικνύντες, ταῦτα συλλογίζεται κατ' ἀμφοτέρων. Ἀνάγκη γάρ, φησίν, εἴ τι ἔστι, μήτε ἓν μήτε πολλὰ εἶναι, μήτε ἀγένητα μήτε γενόμενα,* [*ὥστε*] *οὐδὲν ἂν εἴη**). *εἰ γὰρ εἴη τι***), *τούτων ἂν θάτερα εἴη. Ὅτι* [*δὲ*] *οὐκ ἔστιν οὔτε ἓν οὔτε πολλά, οὔτε ἀγένητα οὔτε γενόμενα, τὰ μὲν ὡς Μέλισσος, τὰ δὲ ὡς Ζήνων ἐπιχειρεῖ δεικνύειν μετὰ τὴν πρώτην ἴδιον αὐτοῦ ἀπόδειξιν, ἐν ᾗ λέγει ὅτι οὐκ ἔστιν οὔτε εἶναι οὔτε μὴ εἶναι. εἰ μὲν γὰρ τὸ μὴ εἶναί ἐστι*[a] *μὴ εἶναι, οὐδὲν ἂν ἧττον τὸ μὴ ὂν τοῦ ὄντος εἴη. τό τε γὰρ μὴ ὂν ἐστι μὴ ὄν, καὶ τὸ ὂν ὄν, ὥστε οὐδὲν μᾶλλον ἢ εἶναι ἢ οὐκ εἶναι τὰ πράγματα· εἰ δ' ὅμως τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι, φησίν, οὐκ ἔστι, τὸ ἀντικείμενον. εἰ γὰρ τὸ μὴ εἶναι ἔστι, τὸ εἶναι μὴ εἶναι προσήκει· ὥστε οὐκ ἂν οὕτως, φησίν, οὐδὲν ἂν εἴη, εἰ μὴ ταὐτόν ἐστιν εἶναί τε καὶ μὴ εἶναι, εἰ δὲ ταὐτό, καὶ οὕτως οὐκ ἂν εἴη οὐδέν****)· *τό τε γὰρ μὴ ὂν οὐκ ἔστι καὶ τὸ ὄν, ἐπείπερ γε ταὐτὸ τῷ μὴ ὄντι. οὗτος μὲν οὖν ὁ πρῶτος λόγος ἐκείνου* †).

a) Notandum vocabulum *ἔστι* ambigue dici, ut tam copula quam verbum absolutum esse possit; in quo positum est sophisma; quod pertinet etiam ad cetera argumenta.

Totam argumentationem paucis commutatis repetit Sext. Emp. VII, 66—76, copiosius quidem sed minus accurate, cf. Foss p. 171 sqq. Melissi et Zenonis argumentis quo pacto usus sit Gorgias ex hoc specimine iudicari poterit, Arist. de Xenoph. c. 6. *Μετὰ δὲ τοῦτον τὸν λόγον φησίν· Εἰ δὲ ἔστιν, ἤτοι ἀγένητον ἢ γενόμενον εἶναι. καὶ εἰ μὲν ἀγένητον, ἄπειρον αὐτὸ τοῖς τοῦ Μελίσσου ἀξιώμασι λαμβάνει· τὸ δ' ἄπειρον οὐκ ἂν εἶναί που* ††). *οὔτε γὰρ ἐν αὑτῷ οὔτ' ἂν ἐν ἄλλῳ εἶναι· δύο γὰρ ἂν οὕτως ἢ πλείω εἶναι, τό τε ἐνὸν καὶ τὸ ἐν ᾧ· μηδαμοῦ δὲ ὂν οὐδὲν εἶναι κατὰ τὸν Ζήνωνος λόγον περὶ τῆς χώρας.*

---

*) Adiecimus *ὥστε*. Mullach [*τοῦτο δὲ*] *οὐδὲν ἂν εἴη*. — **) Bekk. *μὴ εἴη τι*. *μὴ* eiecit Foss. In seqq. adiecimus *δέ*. — ***) Mullach *ἔστι δὲ ταὐτό, καὶ οὕτως ἂν εἴη οὐδέν*. — †) Libb. *ὁ αὐτός*. Foss, Mullach *αὐτὸς ὁ*. — ††) Ita Foss. pro *ποτε*, cf. Sext. Emp. VII, 69. *εἰ δὲ ἄπειρόν ἐστιν, οὐδαμοῦ ἐστίν*.

186 Sext. Emp l. l. 77. *Ὅτι δὲ κἂν ᾖ τι, τοῦτο ἄγνωστόν τε καὶ ἀνεπινόητόν ἐστιν ἀνθρώπῳ, παρακειμένως ὑποδεικτέον. εἰ γὰρ τὰ φρονούμενα, φησὶν ὁ Γοργίας, οὐκ ἔστιν ὄντα, τὸ ὂν οὐ φρονεῖται.* — 78. *καὶ ὅτι τὰ φρονούμενα οὐκ ἔστιν ὄντα, συμφανές.* — 79. *οὐδὲ γὰρ ἂν φρονῇ τις ἄνθρωπον ἱπτάμενον ἢ ἅρματα ἐν πελάγει τρέχοντα, εὐθέως ἄνθρωπος ἵπταται ἢ ἅρματα ἐν πελάγει τρέχει. ὥστε οὐ τὰ φρονούμενά ἐστιν ὄντα.* 80. *πρὸς τούτοις εἰ τὰ φρονούμενά ἐστιν ὄντα, τὰ μὴ ὄντα οὐ φρονηθήσεται. τοῖς γὰρ ἐναντίοις τὰ ἐναντία συμβέβηκεν, ἐναντίον δέ ἐστι τῷ ὄντι τὸ μὴ ὄν· καὶ διὰ τοῦτο πάντως εἰ τῷ ὄντι συμβέβηκε τὸ φρονεῖσθαι, τῷ μὴ ὄντι συμβήσεται τὸ μὴ φρονεῖσθαι. ἄτοπον δ' ἔστι τοῦτο· καὶ γὰρ Σκύλλα καὶ Χίμαιρα καὶ πολλὰ τῶν μὴ ὄντων φρονεῖται. οὐκ ἄρα τὸ ὂν φρονεῖται.* 81. *ὥσπερ τε τὰ ὁρώμενα διὰ τοῦτο ὁρατὰ λέγεται ὅτι ὁρᾶται, καὶ τὰ ἀκουστὰ διὰ τοῦτο ἀκουστὰ ὅτι ἀκούεται, καὶ οὐ τὰ μὲν ὁρατὰ ἐκβάλλομεν ὅτι οὐκ ἀκούεται, τὰ δὲ ἀκουστὰ παραπέμπομεν ὅτι οὐχ ὁρᾶται (ἕκαστον γὰρ ὑπὸ τῆς ἰδίας αἰσθήσεως, ἀλλ' οὐχ ὑπ' ἄλλης ὀφείλει κρίνεσθαι), οὕτω καὶ τὰ φρονούμενα καὶ εἰ μὴ βλέποιτο τῇ ὄψει μηδὲ ἀκούοιτο τῇ ἀκοῇ ἔσται, ὅτι πρὸς τοῦ οἰκείου λαμβάνεται κριτηρίου.* 82. *εἰ οὖν φρονεῖ τις ἐν πελάγει ἅρματα τρέχειν καὶ εἰ μὴ βλέπει ταῦτα, ὀφείλει πιστεύειν ὅτι ἅρματα ἔστιν ἐν πελάγει τρέχοντα. ἄτοπον δὲ τοῦτο.*

Cf. Arist. de Xenoph. c. 6, qui extrema videtur (nam parum de iis liquet: adeo haec corrupta sunt) aliter atque Sextus accepisse; certe argumenta ibi alia consequentia enumerantur. Sextum si sequimur, videtur Gorgias ab Eleaticorum quibus inter sensum et rationem distinxerant partionibus profectus deinceps utramque rerum cognoscendarum viam perinde fallacem esse demonstrasse. Huc spectant verba *ποῖα δὲ τἀληθῆ ἄδηλον*, quae leguntur apud Aristotelem, quam cetera hoc quidem argumentorum tenore interciderint.

187 Arist. l. l. *Εἰ δὲ καὶ γνωστά, πῶς ἄν τις, φησί, δηλώσειεν ἄλλῳ; ὃ γὰρ εἶδε, πῶς ἄν τις, φησί, τοῦτο εἴποι λόγῳ; ἢ πῶς ἂν ἐκείνῳ δῆλον ἀκούσαντι γίγνοιτο, μὴ ἰδόντι; ὥσπερ γὰρ οὐδὲ ἡ ὄψις τοὺς φθόγγους γιγνώσκει, οὕτως οὐδὲ ἡ ἀκοὴ τὰ χρώματα ἀκούει, ἀλλὰ φθόγγους· καὶ λέγει ὁ λέγων*), *ἀλλ' οὐ χρῶμα οὐδὲ πρᾶγμα. ὃ οὖν τις μὴ ἐννοεῖ, πῶς ἂν τοῦτο***)

*) Foss addit *λόγον*. — **) Libb. *αἰτεῖ*. Foss et Mullach *πῶς αἰτεῖ τοῦτο*.

παρ᾽ ἄλλου λόγῳ ἢ σημείῳ τινὶ ἑτέρου του πράγματος ἐννοήσειεν*), ἀλλ᾽ ἤ, ἐὰν μὲν χρῶμα, ἰδών, ἐὰν [δὲ φθόγγον, ἀκροώμε]νος; ἀρχὴν γὰρ οὐ [φθόγγον] λέγει [οὐ]δὲ χρῶμα, ἀλλὰ λόγον· ὥστ᾽ οὐδὲ διανοεῖσθαι χρῶμα ἔστιν, ἀλλ᾽ ὁρᾶν, οὐδὲ ψόφον, ἀλλ᾽ ἀκούειν. εἰ δὲ καὶ ἐνδέχεται, γιγνώσκει δὲ**) καὶ ἀναγιγνώσκει λέγων, ἀλλὰ πῶς ὁ ἀκούων τὸ αὐτὸ ἐννοήσει; οὐ γὰρ οἷόν τε τὸ αὐτὸ ἅμα ἐν πλείοσι καὶ χωρὶς οὖσιν εἶναι· δύο γὰρ ἂν εἴη τὸ ἕν. εἰ δὲ καὶ εἴη, φησίν, ἐν πλείοσι καὶ ταὐτόν, οὐδὲν κωλύει μὴ ὅμοιον φαίνεσθαι αὐτοῖς, μὴ πάντῃ ὁμοίοις ἐκείνοις οὖσιν καὶ ἐν τῷ αὐτῷ. ἔτι δ᾽ εἰ τοιοῦτοι εἶεν, ἓν ἂν ἀλλ᾽ οὐ δύο εἶεν***). φαίνεται δ᾽ οὐδ᾽ [ὁ] αὐτὸς†) αὐτῷ ὅμοια αἰσθανόμενος ἐν τῷ αὐτῷ χρόνῳ, ἀλλ᾽ ἕτερα τῇ ἀκοῇ καὶ τῇ ὄψει καὶ νῦν τε καὶ πάλαι διαφόρως· ὥστε σχολῇ ἄλλῳ πᾶν ταὐτὸ αἴσθοιτό τις. οὕτως οὐκ ἔστι οὐδὲν γνωστόν††), εἰ δ᾽ ἔστιν, οὐδεὶς ἂν αὐτὸ ἑτέρῳ δηλώσειεν, διά τε τὸ μὴ εἶναι τὰ πράγματα λόγους, καὶ ὅτι οὐδεὶς ἑτέρῳ ταὐτὸ ἐννοεῖ. ἅπασαι δὲ καὶ αὗται†††) ἑτέρων ἀρχαιοτέρων εἰσὶν ἀπορίαι.

Cf. Sext. Emp. l. l. 83—86, in his quoque negligentiorem et formulis usum, quae a Gorgiae consuetudine omnino abhorrent.

---

*) Foss et Mullach λόγῳ; ἢ — ἐννοήσειεν [ἄν], ἀλλ᾽ ἤ. Cetera refinxit Foss. — **) δὲ pro τε Foss. Deinde Mullach ὁ λέγων. {Fortasse λόγον pro λέγων scribendum est.} — ***) Libb. εἴ τι ἐν τοιούτου εἴησαν, ἀλλ᾽ οὐ δύο εἶεν. Foss. ἔτι ἓν [ἄν] τοιοῦτοι, εἰ ἦσαν, ἀλλ᾽ οὐ δ. ε. Mullach ἔτι εἰ ἐν τῷ αὐτῷ εἴησαν, ἆρ᾽ οὐκ ἂν δύο εἶεν ἢ πλείους; — †) ὁ adi. Foss. ††) Libb. οὕτως οὐκ ἔστιν, ἔν ἐστι γνωστόν. Foss οὐκ ἔστι γνωστόν. Mull. οὐκ ἔστι γν. οὐδέν. {Scripserim ἑνί pro ἐστί.} — †††) Libb. ἅπαντες δὲ καὶ οὗτως. Corr. Mullach. Foss. ἅπαντα δὲ καὶ ταῦτα.

Caput V.

SOCRATES ET SOCRATICI MINORES.

1. Socrates.

188 Diog. L. II, 18. *Σωκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργοῦ καὶ Φαιναρέτης μαίας, — Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. — — 19. ἀκούσας δὲ Ἀναξαγόρου κατά τινας, — μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ, οὗ καὶ παιδικὰ γενέσθαι φησὶν Ἀριστόξενος*[a] *Ἰοῦρις δὲ — — καὶ ἐργάσασθαι λίθους* (sc. *αὐτόν φησιν*), *εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοί φασιν, ἐνδεδυμένας οὔσας*[b]. Ib. 22. *ἀποδημίας δὲ οὐκ ἐδείθη, καθάπερ οἱ πλείους, πλὴν εἰ μὴ στρατεύεσθαι ἔδει*[c]. Ib. 44. *ἐγεννήθη δέ, καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, ἐπὶ Ἀψεφίωνος ἐν τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ. — — ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐννενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα*[d].

a) Anaxagoram non audivit, sed placita eius ex libris bene cognita habuit, cf. Plat. Phaed. p. 97; neque non legerat Heracliti librum, v. Diog. L. II, 22. Cum Eleaticis, Parmenide et Zenone, ipse admodum iuvenis disputaverat, v. n. 91, not. b. Inter Sophistas plurimum tribuit Prodico, a quo in nominibus recte dispescendis institutus fuerat, v. Plat. Men. p. 96 D, Charm. p. 163 D, Lach. p. 197 D, Protag. p. 341 A, Theaet. p. 151 B. Nihilominus vere *αὐτουργόν τινα τῆς φιλοσοφίας* se appellat ap. Xenoph. Conviv. 1, et parens philosophiae iure dici potest, ut ait Cic. de Fin. II, 1, 1, h. e. philosophiae moralis cum dialectica coniunctae, v. supra n. 4, quibus locis adde Aristot. Met. I, 6. *Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐδέν*, cf. XIII, 4, d. Part. Anim. I, 1. *ἐπὶ Σωκράτους δὲ τοῦτο μὲν ηὐξήθη (τὸ ὁρίσασθαι τὴν οὐσίαν), τὸ δὲ ζητεῖν τὰ περὶ φύσεως ἔληξε.* Cic. Acad. post. I, 4, 15. *Socrates mihi videtur, id quod constat inter omnes, primus a rebus occultis et ab ipsa natura involutis, in quibus omnes*

ante eum philosophi occupati fuerant, avocavisse philosophiam et ad communem vitam adduxisse, ut de virtutibus et vitiis omninoque de bonis rebus et malis quaereret, caelestia autem vel procul esse a nostra cognitione censeret, vel, si maxime cognita essent, nihil tamen ad bene vivendum: quamquam in hoc nimium affirmavit, v. infra n. 197 a. Archelai discipulus ab iis dictus esse videtur, qui omnem philosophorum memoriam ad unam et continuam successionem revocare satagebant, v. Proleg. n. 2. Aristoxeni fides neque in hoc neque in ceteris, quae de Socrate ab eo narrata sunt, sincera est, cf. Luzac. Lectt. Att. II, p. 27 sqq. — **b)** Eas vidit Pausanias I, 22, 8, cf. IX, 35, 2. — **c)** De stipendiis et peregrinationibus Socratis cf. Plat. Crito p. 52; Conv. p. 219 E; Antisth. ap. Athen. V, p. 216; Diog. L. II, 23, alios. — **d)** H. e. a. Chr. n. 468 et 399. Cf. Plat. Apol. p. 17 D; Crito p. 52 E.

Plat. Apol. Socr. 21 sqq. *Ἤρετο γὰρ* (sc. *Χαιρεφῶν*) *δή* 189 *εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα σοφώτερον εἶναι. — — ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον (ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν· ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι) καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολλοῖς τῶν παρόντων. πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι· ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι[a]. ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ἦα τῶν ἐκείνου δοκούντων σοφωτέρων εἶναι, καί μοι ταὐτὰ ταῦτα ἔδοξε· — — ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι, σοφὸς εἶναι. οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες ταῦτα αὐτὸν εἶναι σοφὸν ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρωπίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιού-*

μενος, ὥσπερ ἂν εἰ εἴποι ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν[b]. ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων[c], ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν. πρὸς δὲ τούτοις οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμούμενοι εἶτ' ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν[d]· κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ' οὐχ αὑτοῖς, καὶ λέγουσιν ὡς Σωκράτης τίς ἐστι μιαρώτατος καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς, καὶ θεοὺς μὴ νομίζειν, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖν[e]. τὰ γὰρ ἀληθῆ, οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι, φιλότιμοί ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντεταμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ σφοδρῶς διαβάλλοντες. ἐκ τούτων καὶ Μέλητός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν, Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων[f].

a) Cic. Acad. pr. II, 23, 74. *Socrati nihil visum est sciri posse. Excepit unum tantum, scire se nihil se scire, nihil amplius:* quam cave Socratis ipsius sententiam fuisse, v. n. 191 not. — **b)** Divinitus igitur se ad tale vitae ac studiorum genus excitatum putabat, id quod disertissimis ipse verbis asserit ap. Plat. Apol. p. 33 C. *ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ᾧπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν.* Cf. ib. p. 37 E. — **c)** Etiam hoc Socrati criminabantur adversarii, qui philosophandum esse quidem aiebant, sed modice et ad tempus; qui totum se dederit tali studio, eum civem fieri inertem atque inutilem. Cf. Callicl. ap. Plat. Gorg. p. 484 C. *φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἂν τις αὐτοῦ μετρίως*

ἁψηται ἐν τῇ ἡλικίᾳ· ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόρρω τῆς ἡλικίας φιλοσοφῇ, ἀνάγκη ἄπειρον γεγονέναι ἐστὶν ὧν χρὴ ἔμπειρον εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα, et in sequentibus p. 485 D. *ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ, ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγοράς, ἐν αἷς ἔφη ὁ ποιητὴς τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ μέγα καὶ νεανικὸν μηδέποτε φθέγξασθαι*: in quibus facile intelligitur respici Socratem eiusque asseclas. — **d)** Respicere videtur Alcibiadem et Critiam, ex nobilissimis familiis oriundos et Socratis sectatores assiduos, quorum ille propter insolentiam morum famosus erat, hic inter sophistas et atheos et triginta tyrannos conspicuus, cf. Xen. Memorab. I, 2, 12 sq.; Aeschin. in Timarch. 173. *ὑμεῖς, ὦ Ἀθηναῖοι, Σωκράτην τὸν σοφιστὴν ἀπεκτείνατε, ὅτι Κριτίαν ἐφάνη πεπαιδευκώς, ἕνα τῶν τριάκοντα τῶν τὸν δῆμον καταλυσάντων*, cf. Plat. de legg. p. 890, et quod contra calumniatores monetur a Xenophonte Mem. I, 2, 18. 24. Post mortem Socratis etiam novum scribendi genus ex imitatione illa magistri exstitit, cum disputationes eius vel verae vel fictae ab auditoribus perscriberentur, cf. Diog. L. II, 64. *πάντων μέντοι τῶν Σωκρατικῶν διαλόγων Παναίτιος ἀληθεῖς εἶναι δοκεῖ τοὺς Πλάτωνος, Ξενοφῶντος, Ἀντισθένους, Αἰσχίνου· διστάζει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου, τοὺς δὲ ἄλλους ἀναιρεῖ πάντας.* De Antisthene v. n. 214 not., de Aeschine C. F. Hermann de Aeschinis Socratici reliquiis, Gott. 1850, de Phaedone n. 235, de Euclide n. 222. — **e)** Cf. Apolog. p. 18 B sq., ubi multos sibi iam pridem adversarios et accusatores exstitisse dicit, a quibus instigatum fuisse Aristophanem comicum, cuius Nubes priore editione doctas esse constat Ol. 89, 1, a. Chr. a. 423. Quod dicebant eum *τὸν ἥττω λόγον κρείττω ποιεῖν*, id de Protagora ad Socratem, in quo omnes promiscue philosophi ac sophistae plecterentur, malitiose translatum est, v. n. 175 not., Frei Quaest. Protag. p. 142 sq. *τὰ μετέωρα* sunt physicorum, veluti Anaxagorae et Archelai, qui philosophiam suam Athenis professi erant. Propter impietatem et atheismum plures ante Socratem philosophi Athenis eiecti erant, v. in Anaxagora n. 117, in Hippone n. 173 not. Adde Protagoram Sophistam n. 177 et Diagoram Melium, de quo dixit Th. Bergk d. Com. Att. Antiq. p. 171 sqq. — **f)** Meletus (optimi libri habent *Μέλητος*, non *Μέλιτος*, v. Bekk. Comm. crit. Plat. Euthyphr. p. 351, 16) erat poeta tragicus, inter aequales satis celeber. Anytus et inter opifices et inter cives admodum spectabilis erat, cum divitiae a patre opificio comparatae eadem a filio industria augerentur, ad summos ceteroquin in civitate honores provecto, sed a studiis liberalioribus alieno et philosophorum omnium contemtore. De Lycone rhetore parum constat. Cf. C. F. Hermann de Socratis accusatoribus, Gott. ind. lect. $18^{54/55}$.

190 Xen. Mem. Socr. I, c. 1, § 1. *Πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν· Ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων*[a]. 2. *Πρῶτον μὲν οὖν ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θεούς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν· διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ δαιμόνιον*[b] *ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν. 3. ὁ δ' οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν, κἀκεῖνος δὲ οὕτως ἐνόμιζεν. 4. ἀλλ' οἱ μὲν πλεῖστοί φασιν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι, Σωκράτης δὲ ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν. καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν*[c] *τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος· καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.* Ib. 2, 1. *Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὃς πρὸς τοῖς εἰρημένοις πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν, εἶτα πρὸς χειμῶτα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος, ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. 2. πῶς οὖν αὐτὸς ὢν τοιοῦτος ἄλλους ἂν ἢ ἀσεβεῖς ἢ παρανόμους ἢ λίχνους ἢ ἀφροδισίων ἀκρατεῖς ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ' ἔπαυσε μὲν τούτων πολλούς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν καὶ ἐλπίδας παρασχών, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς κἀγαθοὺς ἔσεσθαι. 3. καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι*[d] *τούτου, ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὢν ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι.*

a) Ipsa *ἀντωμοσίας* verba posuit, sicuti etiam Plato Apol. p. 24 B et Phavorinus ap. Diog. L. II, 40, qui ea ex scripto exemplo, Athenis

in Metroo asservato, exscripserat: *τάδε ἐγράψατο καὶ ἀντωμόσατο* (vulgo *ἀνθωμολογήσατο*. Cf. Meier-Schoem. *Att. Proc.* p. 628 sq.) *Μέλητος Μελήτου Πιτθεὺς Σωκράτην* (vulgo *Σωκράτει*, v. Meier-Schoem. ibid.) *Σωφρονίσκου Ἀλωπεκῆθεν· ἀδικεῖ Σωκράτης οὓς μὲν πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. τίμημα θάνατος.* — **b)** Semper adiective poni hoc vocabulum neque in ullo Xenophontis, Platonis aliusve scriptoris aequalis loco substantive accipi debere monuit Schleierm. Translat. Plat. I, 2, p. 432 sq. edit. sec. Subintelligendum est *σημεῖον*, quod interdum additur, velut. Plat. Rep. VI, p. 496 C. *τὸ δ' ἡμέτερον οὐκ ἄξιον λέγειν τὸ δαιμόνιον σημεῖον.* Euthyphr. p. 3 B; Apol. p. 31 D. *ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται.* 40 A. *ἡ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου.* 40 B. C. *τὸ εἰωθὸς σημεῖον.* Theag. p. 128 B. Cf. Cicero de Divin. I, 54. *Esse divinum quiddam, quod δαιμόνιον appellat cui semper ipse paruerit.* Cf. Krische *Forschungen* p. 227 sq. — **c)** Non differt Plato Apol. p. 31 D. *ἐμοὶ δὲ τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε.* Nam quotiescunque vox ista divina Socratem non revocavit a consilio rei suscipiendae, potuit id silentium ab eo pro consensu et comprobatione accipi. Cf. Schneider ad Xenoph. l. l. — Multa mirabiliter a Socrate divinata ab Antipatro (Stoico, ut videtur, Tarsensi) collecta fuisse refert Cic. de Divinat. I, 54. Socratis animum religioso quodam impetu ferri solitum esse apparet etiam ex Plat. Conv. p. 220. Cavendum tamen ne nimium significationibus istis tribuisse Socratem putemus, v. Xenoph. Mem. I, 1, 9. *τοὺς δὲ μηδὲν — οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν.* — **d)** Plat. Apol. p. 33 A. *ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἴ τέ τις ἐμοῦ λέγοντος καὶ τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα κτλ.* Cf. Lach. p. 200 C.

Plat. Phaedr. p. 229 E sqq. Loquitur Socrates: *Ἐμοὶ δὲ* 191
πρὸς αὐτὰ (sc. *τὰ μυθολογήματα*) *οὐδαμῶς ἐστὶ σχολή· τὸ δὲ αἴτιον, ὦ φίλε, τούτου τόδε. οὐ δύναμαί πω κατὰ τὸ Δελφικὸν γράμμα γνῶναι ἐμαυτόν· γελοῖον δή μοι φαίνεται τοῦτο ἔτι ἀγνοοῦντα τὰ ἀλλότρια σκοπεῖν. ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νῦν δὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον ὢν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον.* Xenoph. Memor. Socr. III, 9, 6. *Μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ· οὐ μέντοι γε τὴν ἀνεπιστη-*

μοσύνην μανίαν ἐνόμιζε, τὸ δὲ ἀγνοεῖν ἑαυτὸν καὶ ἃ μὴ οἶδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι.

Prior locus est de ea cognitione sui, quae pertinet ad mores, de qua cf. Xenoph. Memorab. IV, 2, 24 sqq., posterior de ea, quam dicit Plato Apol. p. 21 (n. 189): ἔοικα γοῦν τούτου σμικρῷ τινὶ αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι εἰδέναι. Quod cave ita accipias, ac si omnem sciendi facultatem hominibus abnegaverit, quod existimavit Cicero Acad. post. I, 4; pr. II, 23 (n. 189, not. a). Recte Schleiermacherus, de Socrate philosopho Commentatt. Acad. Berol. 1814—15, p. 61 sq., Op. philos. II, p. 300 sq. minime, inquit, nihil nisi se nihil scire scivit, sed necessario cum illa quam profitebatur nesciendi arte hoc coniunctum erat, ut in quo omnis scientia posita esset et quid ab eo differret opinio vulgaris exploratum haberet. Cf. n. 194.

192 Xenoph. Memorab. IV, 6, 1. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι.

193 Plat. Theaet. p. 149 A. ΣΩ. Εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι υἱὸς μαίας μάλα γενναίας τε καὶ βλοσυρᾶς, Φαιναρέτης; ΘΕΑΙ. Ἤδη τοῦτό γε ἤκουσα. ΣΩ. Ἆρα καὶ ὅτι ἐπιτηδεύω τὴν αὐτὴν τέχνην ἀκήκοας; ΘΕΑΙ. Οὐδαμῶς. ΣΩ. Ἀλλ' εὖ ἴσθ' ὅτι· μὴ μέντοι μοι κατείπῃς πρὸς τοὺς ἄλλους· λέληθα γάρ, ὦ ἑταῖρε, ταύτην ἔχων τὴν τέχνην· οἱ δέ, ἅτε οὐκ εἰδότες, τοῦτο μὲν οὐ λέγουσι περὶ ἐμοῦ, ὅτι δὲ ἀτοπώτατός εἰμι καὶ ποιῶ τοὺς ἀνθρώπους ἀπορεῖν[a]. ἦ καὶ τοῦτο ἀκήκοας; ΘΕΑΙ. Ἔγωγε. p. 150 B. ΣΩ. τῇ δέ γ' ἐμῇ τέχνῃ τῆς μαιεύσεως τὰ μὲν ἄλλα ὑπάρχει ὅσα ἐκείναις, διαφέρει δὲ τῷ τε ἄνδρας ἀλλὰ μὴ γυναῖκας μαιεύεσθαι καὶ τῷ τὰς ψυχὰς αὐτῶν τικτούσας ἐπισκοπεῖν, ἀλλὰ μὴ τὰ σώματα. μέγιστον δὲ τοῦτ' ἔνι τῇ ἡμετέρᾳ τέχνῃ, βασανίζειν δυνατὸν εἶναι παντὶ τρόπῳ πότερον εἴδωλον καὶ ψεῦδος ἀποτίκτει τοῦ νέου ἡ διάνοια ἢ γόνιμόν τε καὶ ἀληθές. ἐπεὶ τόδε γε καὶ ἐμοὶ ὑπάρχει ὅπερ ταῖς μαίαις· ἄγονός εἰμι σοφίας· καὶ ὅπερ ἤδη πολλοί μοι ὠνείδισαν, ὡς τοὺς μὲν ἄλλους ἐρωτῶ, αὐτὸς δὲ οὐδὲν ἀποκρίνομαι περὶ οὐδενὸς διὰ τὸ μηδὲν ἔχειν σοφόν, ἀληθὲς ὀνειδίζουσι[b]. τὸ δὲ αἴτιον τούτου τ'δε· μαιεύεσθαί με ὁ θεὸς ἀναγκάζει, γεννᾶν δὲ ἀπεκώλυσεν. εἰμὶ δὴ οὖν αὐτὸς μὲν οὐ πάνυ τι σοφός, οὐδέ τί μοι ἔστιν εὕρημα τοιοῦτο γεγονὸς τῆς ἐμῆς ψυχῆς ἔκγονον· οἱ

δέ μοι ξυγγιγνόμενοι τὸ μὲν πρῶτον φαίνονται ἔνιοι μὲν καὶ πάνυ ἀμαθεῖς, πάντες δὲ προϊούσης τῆς ξυνουσίας, οἷσπερ ἂν ὁ θεὸς παρείκῃ, θαυμαστὸν ὅσον ἐπιδιδόντες, ὡς αὐτοῖς τε καὶ τοῖς ἄλλοις δοκοῦσι· καὶ τοῦτο ἐναργές, ὅτι παρ' ἐμοῦ οὐδὲν πώποτε μαθόντες, ἀλλ' αὐτοὶ παρ' αὑτῶν πολλὰ καὶ καλὰ εὑρόντες τε καὶ κατέχοντες[c]. τῆς μέντοι μαιείας ὁ θεός τε καὶ ἐγὼ αἴτιος. ὧδε δὲ δῆλον· πολλοὶ ἤδη τοῦτο ἀγνοήσαντες καὶ ἑαυτοὺς αἰτιασάμενοι, ἐμοῦ δὲ καταφρονήσαντες ἢ αὐτοὶ ὑπ' ἄλλων πεισθέντες ἀπῆλθον πρωϊαίτερον τοῦ δέοντος· ἀπελθόντες δὲ τά τε λοιπὰ ἐξήμβλωσαν διὰ πονηρὰν ξυνουσίαν καὶ τὰ ὑπ' ἐμοῦ μαιευθέντα κακῶς τρέφοντες ἀπώλεσαν, ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς· τελευτῶντες δ' αὐτοῖς τε καὶ τοῖς ἄλλοις ἔδοξαν ἀμαθεῖς εἶναι. ὧν εἷς γέγονεν Ἀριστείδης ὁ Λυσιμάχου καὶ ἄλλοι πάνυ πολλοί. οἷς, ὅταν πάλιν ἔλθωσιν δεόμενοι τῆς ἐμῆς ξυνουσίας καὶ θαυμαστὰ δρῶντες, ἐνίοις μὲν τὸ γιγνόμενόν μοι δαιμόνιον ἀποκωλύει ξυνεῖναι, ἐνίοις δὲ ἐᾷ καὶ πάλιν αὐτοὶ ἐπιδιδόασι. πάσχουσι δὲ δὴ οἱ ἐμοὶ ξυγγιγνόμενοι καὶ τοῦτο ταὐτὸν ταῖς τικτούσαις· ὠδίνουσι γὰρ καὶ ἀπορίας ἐμπίπλανται νύκτας τε καὶ ἡμέρας πολὺ μᾶλλον ἢ ἐκεῖναι· ταύτην δὲ τὴν ὠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται[d].

a) Plat. Gorg. p. 521 E. *πολλὰ ὑμᾶς καὶ κακὰ ὅδε εἴργασται ἀνὴρ καὶ αὐτοὺς καὶ τοὺς νεωτάτους ὑμῶν διαφθείρει τέμνων τε καὶ κάων, καὶ ἰσχναίνων καὶ πνίγων ἀπορεῖν ποιεῖ*, et in sqq. *ἐάν τέ τίς με ἢ νεωτέρους φῇ διαφθείρειν ἀπορεῖν ποιοῦντα ἢ τοὺς πρεσβυτέρους κακηγορεῖν λέγοντα πικροὺς λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ.* Theaet. p. 151 C. *πολλοὶ γὰρ ἤδη, ὦ θαυμάσιε, πρός με οὕτω διετέθησαν, ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι.* — **b)** Callicles ap. Plat. Gorg. p. 491 A. *νὴ τοὺς θεοὺς ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας καὶ μαγείρους λέγων καὶ ἰατροὺς οὐδὲν παύει.* p. 497 B. *ἀλλ' ἀεὶ τοιοῦτός ἐστι Σωκράτης, ὦ Γοργία· σμικρὰ καὶ ὀλίγου ἄξια ἀνερωτᾷ καὶ ἐξελέγχει.* p. 513 C. *οὐκ οἶδ' ὅντινά μοι τρόπον δοκεῖς εὖ λέγειν, ὦ Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν πάθος· οὐ πάνυ σοι πείθομαι.* Benevolentius et comiter Laches Plat. p. 187 E. *οὔ μοι δοκεῖς εἰδέναι ὅτι, ὅς ἂν ἐγγύτατα Σωκράτους ἴῃ λόγῳ, ὥσπερ γυναικὶ εἰ πλησιάζοι διαλεγόμενος, ἀνάγκη αὐτῷ, ἐὰν ἄρα καὶ περὶ ἄλλου του πρότερον ἄρξηται διαλέγεσθαι, μὴ παύεσθαι ὑπὸ τούτου περιαγόμενον τῷ λόγῳ, πρὶν ἂν ἐμπέσῃ εἰς τὸ δίδόναι περὶ αὑτοῦ λόγον, ὅντινα τρόπον νῦν τε ζῇ καὶ ὅντινα τὸν παρεληλυθότα βίον βεβίωκεν· ἐπειδὰν δ' ἐμπέσῃ, ὅτι οὐ πρότερον αὐτὸν ἀφήσει Σωκράτης, πρὶν ἂν βασανίσῃ ταῦτα εὖ τε καὶ καλῶς ἅπαντα.* — **c)** Cf. Plat. Men. p. 80 sqq., ubi Socrates cum torpedine

comparatur: *ἤκουον μὲν ἔγωγε πρὶν καὶ συγγενέσθαι σοι, ὅτι σὺ οὐδὲν ἄλλο ἢ αὐτός τε ἀπορεῖς καὶ τοὺς ἄλλους ποιεῖς ἀπορεῖν, — καὶ δοκεῖς μοι παντελῶς, εἰ δεῖ τι σκῶψαι, ὁμοιότατος εἶναι τό τε εἶδος καὶ τἆλλα ταύτῃ τῇ πλατείᾳ νάρκῃ τῇ θαλαττίᾳ.— ἀληθῶς γὰρ ἔγωγε καὶ τὴν ψυχὴν καὶ τὸ στόμα ναρκῶ καὶ οὐκ ἔχω ὅ τι ἀποκρίνωμαί σοι.* Respondet Socrates oblivionem illam potius esse quam ignorantiam etc. — **d)** Cf. quod elegantissime iocatur Alcibiades in Platonis Conviv. p. 215 sqq., ubi Socrates comparatur cum Sileno Marsya arte sua homines fascinante et sapienter excogitata cum petulantia proferente: quo faciebat os eius Satyris simile *τῇ τε σιμότητι καὶ τῷ ἔξω τῶν ὀμμάτων*, cf. Plat. Theaet. p. 143 extr., et ironia cum arte dialectica coniuncta, de qua Alcibiades l. c. p. 216 E. *ἡγεῖται δὲ πάντα ταῦτα τὰ κτήματα* (divitias, honores etc.) *οὐδενὸς ἄξια καὶ ἡμᾶς οὐδὲν εἶναι, λέγων μὲν οὔ, εἰρωνευόμενος δὲ καὶ παίζων πάντα τὸν βίον πρὸς τοὺς ἀνθρώπους διατελεῖ.* Cf. Xenoph. Memor. I, 3, 8. *τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν ἅμα σπουδάζων.* Cic. Acad. pr. II, 5, 15. *Socrates autem de se ipse detrahens in disputatione plus tribuebat iis, quos volebat refellere. Ita quum aliud diceret atque sentiret, libenter uti solitus est ea dissimulatione, quam Graeci εἰρωνείαν vocant.* Adde Cic. Brut. 85.

194 Xenoph. Memor. IV, 5, 12. *Ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη*[a] *τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι· ἐκ τούτου γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους.* Ib. 6, 1. *Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν· ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι τί ἕκαστον εἴη τῶν ὄντων οὐδέποτ᾽ ἐλήγε.* Ib. 13. *Εἴ δέ τις αὐτῷ περί του ἀντιλέγοι μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ᾽ ἄνευ ἀποδείξεως ἤτοι σοφώτερον φάσκων εἶναι ὃν αὐτὸς λέγοι ἢ πολιτικώτερον ἢ ἀνδρειότερον ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν*[b] *ἂν πάντα τὸν λόγον ὧδέ πως·* 14. *Φῂς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς ἢ ὃν ἐγώ; Φημὶ γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οἴκουν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν ποιῶν τὴν πόλιν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ ὁ καθυπερτέραν τῶν ἀντιπάλων;*

Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὔκουν καὶ ἐν δημηγορίᾳ ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ. Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές. 15. *Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν**) *ἀσφάλειαν εἶναι λόγου.*

a) *Διαλέγειν κατὰ γένη*, quod iterum legitur ibid. 11, referendum ad proprium illud quod Socrates induxit disserendi notionesque finiendi genus, cuius exempla habes ap. Xenoph. Memor. IV, 6, 2 sqq., non nimis tamen idonea. Eodem pertinet quod dicitur *σκοπεῖν τί ἕκαστον εἴη τῶν ὄντων*, cap. 6, 1; finiendo enim *τὸ τί ἐστιν* quaeritur: unde Socrati *τὸ ὁρίσασθαι τὴν οὐσίαν* tribuitur ab Aristotele de Part. An. I, 1 extr. — **b)** *Ἐπανάγειν* dicitur de inductione, quae recentioribus appellabatur *ἐπαγωγή*. {Usum et originem hujus termini ostendi *Stud. z. Gesch. d. Begr.*, p. 403 sqq.} Cic. Top. 10, 42. *Sunt enim similitudines, quae ex pluribus collationibus perveniunt quo volunt, hoc modo: Si tutor fidem praestare debet, si socius, si cui mandaris, si qui fiduciam acceperit, debet etiam procurator. Haec ex pluribus perveniens quo vult appellatur inductio, quae graece ἐπαγωγὴ nominatur, qua plurimum est usus in sermonibus Socrates.* De Invent. I, 35, 61. *Quemadmodum illud superius genus argumentandi, quod per inductionem sumitur, maxime Socrates et Socratici tractarunt, sic hoc quod per ratiocinationem expolitur summe est ab Aristotele atque a Peripateticis et Theophrasto frequentatum.* Ipse Aristoteles utriusque generis elementa ad Socratem refert loco subsequenti.

Arist. Met. *M*, 4. *Ἐκεῖνος* (sc. ὁ *Σωκράτης*) *εὐλόγως* 195
ἐζήτει τὸ τί ἐστιν. συλλογίζεσθαι γὰρ ἐζήτει, ἀρχὴ δὲ τῶν συλλογισμῶν τὸ τί ἐστιν. — — δύο γάρ ἐστιν ἃ τις ἂν ἀποδοίη Σωκράτει δικαίως, τούς τ' ἐπακτικοὺς λόγους καὶ τὸ ὁρίζεσθαι καθόλου· ταῦτα γάρ ἐστιν ἀμφω περὶ ἀρχὴν ἐπιστήμης.

Arist. Eth. Eud. VII, 13 extr. *Καὶ ὀρθῶς τὸ Σωκρα-* 196
*τικόν***), *ὅτι οὐδὲν ἰσχυρότερον φρονήσεως· ἀλλ' ὅτι ἐπιστήμην ἔφη, οὐκ ὀρθόν.* Diog. L. II, 31. *Ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον κακόν, τὴν ἀμαθίαν.*

---

*) Fort. scrib. *ταύτῃ τήν*.

**) Vulgo *σῶμα κρατητικόν*. Correx. Bekk. cf. Brandis Mus. Rhen. I, 1, p. 134.

Xenoph. Memor. I, 2, 53. *Ἐγὼ δ' αὐτὸν οἶδα μὲν — — λέγοντα — — ὅτι τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίγνεται φρόνησις, τὸ σῶμα καὶ τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν.*

197 Arist. Magn. Mor. I, 1 extr. *Ὁ Σωκράτης — — οὐδὲν ᾤετο δεῖν μάτην εἶναι.* Xenoph. Memor. IV, 3, 1. *Τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν*[a]*, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι· τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι.* 2. *πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας.* Ib. I, 4, 4. *Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι ἢ οἱ ζῷα ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ νὴ Δία οἱ ζῷα, εἴπερ γε μὴ τύχῃ τινί, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γίγνεται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων ὅτου ἕνεκά ἐστι καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γενόμενα γνώμης ἔργα εἶναι.* 5. *Οὔκουν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς δι' ὧν αἰσθάνονται ἕκαστα, ὀφθαλμοὺς μὲν ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μήν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων καὶ δριμέων καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη;* 8. *Σὺ δὲ σαυτὸν δοκεῖς τι φρόνιμον ἔχειν, ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα εἰδὼς ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι πολλῆς οὔσης ἔχεις, καὶ ὑγροῦ βραχὺ πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι· νοῦν δὲ ἄρα μόνον οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι, καὶ τάδε τὰ ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως ἔχειν*[b]*;* 9. *Μὰ Δί'· οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ σύγε ψυχὴν ὁρᾷς, ἥ τοῦ σώματος κυρία ἐστίν· ὥστε κατά γε τοῦτο ἐξεστί σοι λέγειν ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις.* 10. *καὶ ὁ Ἀριστόδημος Οὕτοι, ἔφη, ἐγώ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι ἢ ὡς τῆς ἐμῆς θεραπείας*

προσδεῖσθαι. Οὔκουν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον καὶ τιμητέον αὐτόν; 11. Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι, εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τι φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ' οὐκ οἴει φροντίζειν; οἳ πρῶτον μὲν μόνον τῶν ζῴων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾶν πλεῖον ποιεῖ δύνασθαι καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι καὶ ἧττον κακοπαθεῖν· ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν ἐξεργάζονται. 12. καὶ μὴν καὶ γλῶττάν γε πάντων τῶν ζῴων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν, ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα; τὸ δὲ καὶ τὰς τῶν ἀφροδισίων ἡδονὰς τοῖς μὴν ἄλλοις ζῴοις δοῦναι περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς μέχρι γήρως ταύτας παρέχειν; 13. οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ', ὅπερ μέγιστόν ἐστι, καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. τίνος γὰρ ἄλλου ζῴου ψυχὴ πρῶτα μὲν θεῶν τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων ἦσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ οἱ ἄνθρωποι θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι ἢ λιμὸν ἢ δίψος ἢ ψύχη ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκπονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ ἢ ἴδῃ ἢ μάθῃ ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι; 14. οὐ γὰρ πάνυ σοι κατάδηλον ὅτι παρὰ τὰ ἄλλα ζῷα ὥσπερ θεοὶ οἱ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἐδύνατ' ἂν πράττειν ἃ ἐβούλετο, οὔθ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστί, πλέον οὐδὲν ἔχει. σὺ δ' ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τί ποιήσωσι νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; 15. Ὅταν πέμπωσιν, ὥσπερ σὺ σοὶ φῂς πέμπειν αὐτούς, συμβούλους ὅ τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐτούς, οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται; 16. οἴει δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν, καὶ τοὺς ἀνθρώπους

ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώταται ἡλικίαι θεῶν ἐπιμελέσταται; 17. ὠγαθέ, ἔφη, κατάμαθε ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα ὅπως βούλεται μεταχειρίζεται, οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν τῷ παντὶ φρόνησιν τὰ πάντα ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι[d], καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν, μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι.

a) His artibus mathematicam quoque adnumerabat, v. Xenoph. Memorab. IV, 7, 2. coll. Plat. de Legg. VI, p. 771; VII, p. 817 sq. Veteres enim has disciplinas, quippe a vulgari consuetudine remotas, neque homini neque civi necessarias esse putabant. Aliter tamen intelligendum, quod Socrates discipulos etiam a naturalium rerum perquisitione revocasse dicitur, Xenoph. Mem. I, 1, 11 sq.; IV, 7, 6 sq. Nimirum improbabat impiam et irreligiosam qua eius aetatis physici naturam tractabant rationem: de qua re cum Socrate consentit Plato Phaed. p. 96 sqq.; de Rep. VII, p. 529. Xenophon autem et Aristoteles et recentiorum nonnulli hoc ad omne naturalium rerum studium transtulerunt, parum circumspecte; Arist. Met. *A*, 6; *M*, 4; Part. Anim. I, 1 extr. Socratem quodam modo naturae studuisse vel ex nostro loco luculenter cernitur, ubi deprehendis eum teleologicam quae dicitur viam ingressum, quae ratio transiit ad Socraticos. Inde corrigendus Cicero Acad. poster. I, 4, qui locus citatur n. 188, not. a. — **b)** Eadem argumentatio Socrati tribuitur a Platone Phil. p. 29 sqq. — **c)** Haec fusius tractantur Mem. IV, 3, 12. Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴ γε μηδὲ ἐπερωτεώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή. 13. Ὅτι δέ γε ἀληθῆ λέγω καὶ σὺ γνώσει, ἂν μὴ ἀναμένῃς ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τἀγαθὰ διδόντες οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασι, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα τὰ καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν (cf. Krische *Forschungen* p. 220). 14. ἐννόει δ' ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται (similiter Plato de Republ. VII, p. 515 E; Legg. X, p. 897 D). καὶ τοὺς

ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' οὔτ' ἐπιὼν οὔτε κατασκήψας οὔτε ἀπιών. καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, ἣ εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων τοῦ θείου μετέχει, ὅτι μὲν βασιλεύει ἐν ἡμῖν φανερόν, ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα τιμᾶν τὸ δαιμόνιον (cf. Krische *Forschungen* p. 215 sq.). — **d)** Socrates apud Plat. Phaed. p. 97. *καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἡγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τόν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ, ὅπῃ ἂν βέλτιστα ἔχῃ.*

Xenoph. Memor. I, 1, 19. *Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς* 198
ἐνόμιζεν ἀνθρώπων οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι τὰ δ' οὐκ εἰδέναι· Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.

Cf. ibid. I, 4, 18.

Plat. Apol. p. 40 C. *Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ* 199
ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ (sc. *τὸ τεθνάναι*) *εἶναι. δυοῖν γὰρ θάτερόν ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῇ ψυχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. καὶ εἴγε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδ' ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί, δέοι σκεψάμενον εἰπεῖν πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστὶ τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; εἰ γάρ τις ἀφικόμε-*

νος εἰς Ἅιδου, ἀπαλλαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ ταῦτ' ἐστὶν ἀληθῆ. ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγὼ οἶμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν σοφός ἐστι καὶ τίς οἴεται μέν, ἔστι δ' οὔ. ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν ἢ Ὀδυσσέα ἢ Σίσυφον; ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας, οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ δήπου τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστίν.

Cf. Plat. Gorg. p. 522 E sqq. De immortalitate animi tam Xenophonti quam Platoni ex Socratis disciplina persuasum est; illum vide in Cyropaedia VIII, 7, 3 sqq., hunc in Phaedone dialogo. {Cf. Maguire, Essay on the Platonic Idea V, 1866. Plato was an eclectic. Equidem Socraticam opinionem a Platonica distinguo. Cf. *Stud. z. Gesch. d. Begr.*, p. 217.}

200 Xenoph. Mem. I, 6, 10. Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου ἐγγυτάτω τοῦ κρατίστου[a]. Ibid. IV, 5, 11. Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ ἔργῳ καὶ λόγῳ

διαλέγοντας κατὰ γένη τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.

a) Temperantia (ἐγκράτεια) necessaria est ad laudem hominis liberi, ἐλευθέρου. Hac tamen negativa tantum virtutis ratio constat: affirmativa constat scientia. Quod si id hominibus propositum est, ut deorum similes evadant, summa similitudo posita est in scientia: nam hoc proprium diis, scire omnia. Hoc nostro loco significatur, IV, 5, 11, et pertinent eodem quae leguntur Mem. III, 9, 10. *Βασιλεῖς τε καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν.* — Solam εὐπραξίαν bonum esse voluit, εὐτυχίαν bonum esse negabat, Xen. Mem. III, 9, 14. Omnia in unum complectitur Arist. Ethic. Eud. I, 5. *Σωκράτης — ᾤετ' εἶναι τέλος τὸ γιγνώσκειν τὴν ἀρετήν.* Neque quemquam possidere bonum nisi qui eo uti sciret docebat: quod cadit etiam in εὐδαιμονίαν, Xen. Mem. IV, 2, 34 sq., et σοφίαν, ib. 33.

Xen. Mem. III, 9, 4. *Σοφίαν δὲ καὶ σωφροσύνην οὐ* 201
διώριζεν, ἀλλὰ τῷ τὰ μὲν καλὰ τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς καὶ τῷ τὰ αἰσχρά εἰδότα εὐλαβεῖσθαι σοφόν τε καὶ σώφρονα ἔκρινεν. προσερωτώμενος δὲ εἰς τοὺς ἐπισταμένους μὲν ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία, σοφούς τε καὶ ἐγκρατεῖς εἶναι νομίζοι, Οὐδέν γε μᾶλλον, ἔφη, ἢ ἀσόφους τε καὶ ἀκρατεῖς· πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐνδεχομένων ἃ οἴονται συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν. νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας οὔτε σοφοὺς οὔτε σώφρονας εἶναι[a]. *5. ἔφη δὲ καὶ τὴν δικαιοσύνην καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν σοφίαν εἶναι· τά τε γὰρ δίκαια καὶ πάντα ὅσα ἀρετῇ πράττεται καλά τε καὶ ἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. οὕτω καὶ τὰ καλά τε καὶ ἀγαθὰ τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν*[b]. *ἐπεὶ οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι ὅτι καὶ δικαιοσύνη καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ σοφία ἐστί.* Arist. Eth. Nic. VII, 3. *Ἀπορήσειε δ' ἄν τις πῶς ὑπολαμβάνων ὀρθῶς ἀκρατεύεταί τις. ἐπιστάμενον μὲν οὖν οὔ φασί τινες οἷόν τε εἶναι· δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὸν ὥσπερ ἀνδράποδον*[c]. *Σωκράτης μὲν γὰρ ὅλως ἐμάχετο πρὸς τὸν λόγον*

ὡς οὐκ οὔσης ἀκρασίας· οὐθένα γὰρ ὑπολαμβάνοντα πράττειν παρὰ τὸ βέλτιστον, ἀλλὰ δι' ἄγνοιαν. Arist. Eth. Eud. I, 5. ἐπιστήμας γὰρ ᾠετ' εἶναι πάσας τὰς ἀρετάς (sc. ὁ Σωκράτης), ὥσθ' ἅμα συμβαίνειν εἰδέναι τε τὴν δικαιοσύνην καὶ εἶναι δίκαιον. Incert. auctor. f. Simo Socraticus, de Iusto p. 375 D. Ἑκόντες δὲ ἀμαθεῖς εἰσὶν οἱ ἄνθρωποι ἢ ἄκοντες; Ἄκοντες. Ἄκοντες ἄρα καὶ ἄδικοι; Φαίνεται. Οἱ δὲ ἄδικοι πονηροί; Ναί. Ἄκοντες ἄρα πονηροὶ καὶ ἄδικοι; Παντάπασι μὲν οὖν[d].

a) Propterea bonum et utile natura coniunctum esse et opinione tantum distractum esse statuebat, ut ait Cic. de Off. III, 3, 11, de Legg. I, 12, 33, cf. Xenoph. Memor. IV, 6. 8 sqq., Brandis *Handb. d. Gesch. d. Gr. Röm. Philos.* II, 1, p. 40 sq. — **b)** Plat. Lach. p. 194 D. πολλάκις ἀκήκοά σου λέγοντος, ὅτι ταῦτα ἀγαθὸς ἕκαστος ἡμῶν ἅπερ σοφός, ἃ δὲ ἀμαθὴς ταῦτα κακός. — **c)** Cf. Plato Protag. p. 352 sqq. — **d)** Plato Protag. p. 345 D. ἐγὼ γὰρ σχεδόν τι οἶμαι τοῦτο, ὅτι οὐδεὶς τῶν σοφῶν ἀνδρῶν ἡγεῖται οὐδένα ἀνθρώπων ἑκόντα ἐξαμαρτάνειν οὐδὲ αἰσχρά τε καὶ κακὰ ἑκόντα ἐργάζεσθαι, ἀλλ' εὖ ἴσασιν ὅτι πάντες οἱ τὰ αἰσχρὰ καὶ τὰ κακὰ ποιοῦντες ἄκοντες ποιοῦσι. Cf. Apolog. p. 25; Hipp. mai. p. 365 sqq.; Xenoph. Mem. IV, 2, 20. — In universum apparet ex locis citatis quomodo coniuncta fuerint duo illa Socratis placita, virtutem doceri posse et virtutem nonnisi unam esse. Namque tenendum hanc unam virtutem constare scientia boni. Cf. Brandis *Grundlinien d. Lehre des Socrates,* Mus. Rhen. Phil. I, p. 133 sq., *Handb.* l. c. p. 33 sq.

202 Xenoph. Memorab. IV, 4, 12. Φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη. 13. Οὐ γὰρ αἰσθάνομαί σου ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Ib. 19. Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τούς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν, ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν οὔτε ὁμόφωνοί εἰσι; Τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι· καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται θεοὺς σέβειν. Ib. 25. Πότερον οὖν, ὦ Ἱππία, τοὺς

θεοὺς ἡγεῖ τὰ δίκαια νομοθετεῖν ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλω μὰ Δί', ἔφη· σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει.

Cf. ib. VI, 3, 16. Legum venerationem Socrates suis inculcat etiam apud Platonem Crit. p. 50 sqq., quamquam in civitate Atheniensium multa vituperans, veluti multorum ac sortis dominationem, v. Xenoph. Mem. I, 2, 9, IV, 6, 12 et ad Cretensem et Lacedaemoniorum civitatem propensior, v. ib. III, 5, 14; Plat. Crit. p. 52 E; Protag. p. 342 C. Etiam mores et succinctae illae sententiae Spartanorum vehementer ei et Socraticis arridebant, Plat. Protag. p. 342.

Xenoph. Memorab. II, 6, 35. *Ἐὰν δέ μοι ἔτι ἐξουσίαν* 203
δῷς λέγειν περὶ σοῦ, ὅτι — — — ἔγνωκας ἀνδρὸς ἀρετὴν εἶναι νικᾶν τοὺς μὲν φίλους εὖ ποιοῦντα τοὺς δ' ἐχθροὺς κακῶς, πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον εἶναί με σύνθηρον τῶν ἀγαθῶν φίλων.

Cf. ib. II, 2, 2; 3, 14. *Ἀδικεῖσθαι* praestare *τῷ ἀδικεῖν* apud Platonem in Gorgia contra Polum evincit Socrates, cf. Plat. Crit. p. 49. *οὔτ' ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.*

2. Cyrenaici.

a. De Aristippo ceterisque Cyrenaicorum principibus.

Diog. L. II, 65. *Ἀρίστιππος τὸ μὲν γένος ἦν Κυρηναῖος,* 204
ἀφιγμένος δὲ Ἀθήναζε, καθά φησιν Αἰσχίνης, κατὰ κλέος Σωκράτους. οὗτος σοφιστεύσας, ὡς φησι Φανίας ὁ Περιπατητικὸς ὁ Ἐρέσιος, πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο καὶ ἀπέστειλε χρήματα τῷ διδασκάλῳ. καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι παλινδρόμους ἀπέλαβεν, εἰπόντος Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Ξενοφῶν τ' εἶχε πρὸς αὐτὸν δυσμενῶς· διὸ καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατὰ Ἀριστίππου περιτέθεικεν[a]*. οὐ μὴν ἀλλὰ — ἐκάκισεν αὐτὸν καὶ Πλάτων ἐν τῷ περὶ ψυχῆς*[b]*. 66. Ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμοδίως ὑποκρίνασθαι*[c]*. διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων*[d] *εὐδοκίμει μᾶλλον, ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος. 68. ἐρωτηθείς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν*[e]*. 83. φέρεται (αὐτοῦ) βιβλία τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα Διονυσίῳ, ἓν*

δὲ ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν Ἀθηδι οἱ δὲ Λωρίδι διαλέκτῳ γεγραμμένοι. — — 84. ἔνιοι δὲ καὶ διατριβῶν αὐτόν φασιν ἓξ γεγραφέναι· οἱ δ' οὐδ' ὅλως γράψαι, ὧν ἐστὶ καὶ Σωσικράτης ὁ Ῥόδιος[f].

a) V. Xen. Memorab. II, 1, cf. I, 2, 60, ubi iterum Aristippum respicere videtur. — **b)** Plat. Phaed. p. 59. Plurimi Socraticorum eum a magistro descivisse arbitrati sunt. Ab Aristotele Met. *B.* 2 (v. not. ad. n. 206) Sophistis adnumeratur. — **c)** Horat. Epp. I, 17, 23. *Omnis Aristippum decuit color et status et res Tentantem maiora, fere praesentibus aequum.* — **d)** *Φιλοσόφων* scil., qui cum Dionysio fuisse dicuntur, ut Aeschines et Plato; nisi forte supplendum *παρασίτων*, v. Lucian. de Parasito § 32 sq. — **e)** Cf. Appul. Flor. p. 151 Bip., ubi tyranno id responsum dedisse perhibetur. — **f)** Dialogorum titulos habes apud Diog. L. II, 84, alium librorum catalogum ib. 85. Sosicrati dubitari potest utrum de *διατριβῶν* libris tantum, an de omnibus Aristippi quae ferebantur scriptis ambiguum fuerit; sed videntur omnia in dubium vocari etiam ab Aristocle, quem vide n. 205, not. c laudatum. Certe mirum a nemine quidquam ex Aristippi libris laudari, excepto Theopompo apud Athen. XI, p. 508 C, qui citat diatribas. {De vita Aristippi cf. Henr. de Stein de philosophia Cyrenaica, Gott. 1855.}

205 Diog. L. II, 86. *Ἀριστίππου διήκουσεν ἡ θυγάτηρ Ἀρήτη*[a], *καὶ Αἰθίοψ Πτολεμαεύς, καὶ Ἀντίπατρος Κυρηναῖος*[b]. *Ἀρήτης δὲ Ἀρίστιππος ὁ μητροδίδακτος ἐπικληθείς*[c], *οὗ Θεόδωρος ὁ ἄθεος, εἶτα θεός*[d]. *Ἀντιπάτρου δ' Ἐπιτιμήδης Κυρηναῖος, οὗ Παραιβάτης, οὗ Ἡγησίας ὁ πεισιθάνατος*[e], *καὶ Ἀννίκερις*[f].

a) Arete Aristippi filia dicitur ab omnibus, praeter Aelianum Hist. An. III, 40, ubi vocatur soror Aristippi. — **b)** Huius meminit Cic. Tusc. V, 38. — **c)** Eum apertius pronuntiasse quae avus nonnisi inter privatos disputaverat filiaeve mandaverat (cf. Diog. L. II, 72), proditur ab Aristocle ap. Euseb. Pr. Ev. XIV, 18. *Σωκράτους δ' ἑταῖρος Ἀρίστιππος ἦν, ὁ τὴν καλουμένην Κυρηναϊκὴν συστησάμενος αἵρεσιν.* — — *ἦν δ' ὁ Ἀρίστιππος ὑγρὸς πάνυ τὸν βίον καὶ φιλήδονος. ἀλλ' οὐδὲν μὲν οὗτος ἐν τῷ φανερῷ περὶ τέλους διελέξατο* (cf. n. 204, not. f), *δυνάμει δὲ τῆς εὐδαιμονίας τὴν ὑπόστασιν ἔλεγεν ἐν ἡδοναῖς κεῖσθαι.* — — *τούτου γέγονεν ἀκουστὴς σὺν ἄλλοις καὶ ἡ θυγάτηρ αὐτοῦ Ἀρήτη, ἥτις γεννήσασα παῖδα ὠνόμασεν Ἀρίστιππον, ὃς ὑπαχθεὶς ὑπ' αὐτῆς εἰς λόγους φιλοσοφίας μητροδίδακτος ἐκλήθη· ὃς καὶ σαφῶς ὡρίσατο τέλος εἶναι τὸ ἡδέως ζῆν.* Unde existimaveris hunc demum Aristippum iuniorem certam formulam Cyrenaicis suppeditasse; et videare tibi in nonnullis Cyrenaicorum placitis, quae ad eos referuntur, manifesta inferioris aetatis vestigia deprehendere, v. ad n. 207: unde simul planum fit cur Aristoteles fere nunquam meminerit Aristippi ut philosophi deque moribus nove prae-

cipientis. — **d)** Hoc ad ludibrium, v. Diog. L. II, 100. Aliis dicebatur Anniceridis discipulus; v. ibid. 98. Aetate primis Alexandri successoribus aequalis erat, v. Philo Quod omn. Prob. lib. 18, p. 465; Diog. L. II, 102. Librum reliquit *περὶ θεῶν* inscriptum, quo omnes de diis opiniones de medio tollere conabatur; cf. ib. 97; Krische *Forsch.* p. 236. — **e)** Cic. Tusc. I, 34. *A malis igitur mors abducit, non a bonis, verum si quaerimus. Et quidem hoc a Cyrenaico Hegesia sic copiose disputatur, ut is a rege Ptolemaeo prohibitus esse dicatur illa in scholis dicere, quod multi iis auditis mortem sibi ipsi consciscerent. Eius autem — liber est Ἀποκαρτερῶν, quod a vita quidam per inediam discedens revocatur ab amicis; quibus respondens vitae humanae enumerat incommoda.* Cf. Plut. de Amore Prol. 5 et n. 212. — **f)** Strabo XVII, p. 837 in recensu clarorum Cyrenaicorum: *καὶ Ἀννίκερις ὁ δοκῶν ἐπανορθῶσαι τὴν Κυρηναϊκὴν αἵρεσιν καὶ παραγαγεῖν ἀντ' αὐτῆς τὴν Ἀννικερείαν.* Cf. Suidas v. *Ἀννίκερις*, qui eum sub Alexandro floruisse narrat.

b. Cyrenaicorum doctrina in universum.

Sext. Emp. adv. Math. VII, 11. *Δοκοῦσι δὲ κατά τινας* 206
*καὶ οἱ ἀπὸ τῆς Κυρήνης μόνον ἀσπάζεσθαι τὸ ἠθικὸν μέρος, παραπέμπειν δὲ τὸ φυσικὸν καὶ τὸ λογικὸν ὡς μηδὲν πρὸς τὸ εὐδαιμόνως βιοῦν συνεργοῦντα. καίτοι περιτρέπεσθαι**) *τούτους ἔνιοι νενομίκασιν ἐξ ὧν τὸ ἠθικὸν διαιροῦσιν εἴς τε τὸν περὶ τῶν αἱρετῶν καὶ φευκτῶν τόπον καὶ εἰς τὸν περὶ τῶν παθῶν καὶ ἔτι εἰς τὸν περὶ τῶν πράξεων καὶ ἤδη τὸν περὶ τῶν αἰτίων καὶ τελευταῖον εἰς τὸν περὶ τῶν πίστεων· ἐν τούτοις γὰρ ὁ περὶ τῶν αἰτίων τόπος, φασίν, ἐκ τοῦ φυσικοῦ μέρους ἐτύγχανεν, ὁ δὲ περὶ πίστεων ἐκ τοῦ λογικοῦ.*

Eadem ex eodem, ut videtur, fonte Seneca Ep. 89, 10. Ex capite *περὶ πίστεων* nihil traditum est, sed credideris quaestiones, quae eo pertinent, non tam propter se quam contrariorum refutandorum causa a Cyrenaicis tractatas esse; cf. Diog. L. II, 92. *τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν ἥπτοντο.* Similem capitis *περὶ αἰτίων*, quo physice comprehendebatur, rationem fuisse patebit infra; v. ad n. 210. Cetera omnia ethicae posthabita fuisse confirmat Aristoteles Met. *B*, 2. *ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινὲς οἷον Ἀρίστιππος προεπηλάκιζεν αὐτάς* (sc. *τὰς μαθηματικὰς τέχνας*). *ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ ταῖς βαναύσοις, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθηματικὰς οὐθένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν καὶ κακῶν.* Cf. Diog. L. II, 92. Plut. ap. Euseb. Pr. Ev. I, 8.

Diog. L. II, 87. *Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας* 207

---

*) Seneca Ep. 89 de eadem re: Hi quoque qui removent aliter inducunt.

διαφέρειν. τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν, εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι. 88. εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὐτὴν αἱρετήν, τὴν δ' εὐδαιμονίαν οὐ δ' αὐτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς. πίστιν δ' εἶναι τοῦ τέλος εἶναι τὴν ἡδονὴν τὸ ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ᾠκειῶσθαι πρὸς αὐτήν, καὶ τυχόντας αὐτῆς μηθὲν ἐπιζητεῖν μηθέν τε οὕτω φεύγειν ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα. 87. μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς μηδὲ ἥδιόν τι εἶναι· καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δ' (sc. πόνον) ἀποκρουστικόν. 90. λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίγνεσθαι ἡδονάς. τῶν γοῦν μιμουμένων θρήνους ἡδέως ἀκούομεν, τῶν δὲ κατ' ἀλήθειαν ἀηδῶς. — — πολὺ μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς· ὅθεν καὶ ταύταις κολάζεσθαι μᾶλλον τοὺς ἁμαρτάνοντας. Aelian. Var. Hist. XIV, 6. *Πάνυ σφόδρα ἐρρωμένως ᾐώκει λέγειν ὁ Ἀρίστιππος παρεγγυῶν μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν μήτε τῶν ἐπιόντων προκάμνειν. εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο καὶ ἵλεῳ διανοίας ἀπόδειξις. προσέταττε δὲ ἐφ' ἡμέρᾳ τὴν γνώμην ἔχειν, καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι ἢ ἐννοεῖ. μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι τὸ παρόν, μήτε δὲ τὸ φθάνον μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι τὸ δὲ ἄδηλον εἶναι εἴπερ ἔσται.*

{Cyrenaicam *εὐδαιμονίαν* ab Aristotelica distinguo in libro *Einheit d. Aristot. Eudämonie* 1859, p. 112. Acad. d. W. Mélanges gréco-romains T. II.} Pertinent haec ad primum Cyrenaicae doctrinae caput, *περὶ αἱρετῶν καὶ φευκτῶν*, v. n. 206. Formulae, quibus Diogenes utitur, ex parte redolent scholam Epicuri, quo sententiae nonnihil inflectuntur. Ita hoc enuntiatum *πολὺ τῶν ψυχικῶν σωματικὰς ἡδονὰς ἀμείνους εἶναι* (iterum leguntur ap. Diog. L. X, 137) pugnat cum antecedentibus, *μὴ διαφέρειν ἡδονὴν ἡδονῆς*: quod repetendum ab doctrina Epicureorum, quibus *ἡ ψυχικὴ ἡδονὴ* dicebatur ea, quae nascitur ex praeteritorum recordatione (v. infra Epicur. Eth. 1), quum Cyrenaicis praesentibus tantum vere homines frui viderentur, praeteritorumque ratio non haberetur nisi qua praesentibus continerentur. Inde Cyrenaicorum voluptas *μονόχρονος* dicta, cf. Athen. XII, p. 544; Diog. L. II, 66. Causas voluptatum non morabantur, neque iis a corporis affectionibus voluptatem pendere visam esse cernitur ex exemplo ab lamentationibus ficticiis ac veris petito; et diserte hoc Cyrenaicis tribuitur a Plutarcho Sympos. Qu. V, 1, 2, demonstraturo *μὴ περὶ τὴν ὄψιν εἶναι μηδὲ περὶ τὴν ἀκοήν, ἀλλὰ περὶ τὴν διάνοιαν ἡμῶν τὸ ἡδόμενον ἐπὶ τοῖς ἀκούσμασι καὶ θεάμασιν.* Unde compescendum iis,

qui Cyrenaicos affirmant bonum nonnisi in corporum voluptatibus posuisse, velut Panaetio apud Diog. L. II, 87, et Ciceroni Ac. pr. II, 45; de Fin. II, 6.

Diog. L. II, 86. *Δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδο-* 208
νήν· τὴν μὲν λείαν κίνησιν τὴν ἡδονήν, τὸν δὲ πόνον τραχεῖαν κίνησιν. Aristocles ap. Euseb. Pr. Ev. XIV, 18. *Τρεῖς γὰρ ἔφη* (sc. ὁ *Ἀρίστιππος*) *καταστάσεις εἶναι περὶ τὴν ἡμετέραν σύγκρασιν· μίαν μέν, καθ' ἣν ἀλγοῦμεν, ἐοικυῖαν τῷ κατὰ θάλασσαν χειμῶνι, ἑτέραν δέ, καθ' ἣν ἡδόμεθα, τῷ λείῳ κύματι ἀφομοιούμενοι· εἶναι γὰρ λείαν κίνησιν τὴν ἡδονήν, οὐρίῳ παραβαλλομένην ἀνέμῳ· τὴν δὲ τρίτην μέσην εἶναι κατάστασιν, καθ' ἣν οὔτε ἀλγοῦμεν οὔτε ἡδόμεθα, γαληνῇ παραπλησίαν οὖσαν.* Diog. L. II, 89. *Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις, ὡς εἴρηται παρ' Ἐπικούρῳ, δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή, οὐδὲ ἡ ἀηδονία ἀλγηδών· ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως, ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις.*

Vides alterum caput, quod erat *περὶ παθῶν*, comprehendisse definitiones voluptatis et doloris: in quibus id potissimum egisse videntur, ut voluptatem aliquid per se esse, non sola privatione doloris terminari demonstrarent. Dixerit quispiam dissentire Diogenem L. II, 86 et Aristoclem nostro loco (quocum cf. Sext. Emp. adv. Math. VII, 199), quorum ille ponit *δύο πάθη*, hic tres *καταστάσεις*. Sed *πάθος* ex sententia Cyrenaicorum ea animi condicio non dici potest, quae est media inter voluptatem et dolorem, propterea quod haec non sentitur. Accuratius igitur Diog. L. II, 85 de Aristippo: *τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.*

Diog. L. II, 88. *Εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν κἂν ἀπὸ* 209
τῶν ἀσχημοτάτων γένηται. — — εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὐτὴν αἱρετὴ καὶ ἀγαθόν. 93. *μηδέν τε εἶναι φύσει δίκαιον ἢ καλὸν ἢ αἰσχρόν, ἀλλὰ νόμῳ καὶ ἐθει. ὁ μέντοι σπουδαῖος οὐδὲν ἄτοπον πράξει διὰ τὰς ἐπικειμένας ζημίας καὶ δόξας*[a]*· εἶναι δὲ τὸν σοφόν.* 89. *δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν**). 91. *Ἀρέσκει δ' αὐτοῖς μήτε τὸν σοφὸν πάντα ἡδέως ζῆν μήτε πάντα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ τὸ πλεῖστον. ἀρκεῖ δὲ κἂν*

---

*) Hoc est, ob perversitatem animi.

κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπανάγῃ*). τὴν φρόνησιν ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγιγνόμενα. τὸν φίλον τῆς χρείας ἕνεκα· καὶ γὰρ μέρος σώματος μέχρις ἂν παρῇ ἀσπάζεσθαι. τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. τὸν σοφὸν μήτε φθονήσειν μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν· γίγνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. λυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίγνεσθαι[b]. 92. καὶ τὸν πλοῦτον δὲ ποιητικὸν ἡδονῆς εἶναι, οὐ δι' αὐτὸν αἱρετὸν ὄντα. 72. τὰ ἄριστα ὑπετίθετο (sc. ὁ Ἀρίστιππος) τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλέονος εἶναι. Aristipp. ap. Stob. Serm. XVII, 18. Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ προεκφερόμενος δέ, ὥσπερ καὶ νεὼς καὶ ἵππου οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται.

a) Diog. L. II, 68. Ἐρωτηθείς ποτε (sc. ὁ Ἀρίστιππος) τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιωσόμεθα. Et patriae quoque amorem suis commendabat, ib. 89. — **b)** Sensus: Sapiens invidia etc. laborat nunquam, penderet enim in hisce a sola opinione inani: sed metuit et dolet, quippe in quibus pendeat a natura.

Cernitur ex his locis doctrinam de sapiente pertinuisse ad caput περὶ τῶν πράξεων. Mores et virtutes per se non aestimantur, sed ita demum, si voluptates inde efficiantur. Virtus Cyrenaicis ea potissimum animi agilitate et habilitate aestimabatur, qua quis curas aerumnasque naviter a se propellere, voluptates penitus haurire hilariterque sorbere calleat, ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος, qualis erat ipse Cyrenaicorum princeps, v. n. 204. Indulgendum ille voluptati esse non inserviendum discipulis praecipiebat temperantiamque apprime commendabat, v. Diog. L. II, 69. 75; Plut. de Cupid. Divit. 3; Horat. Ep. I, 1, 18.

210 Sext. Emp. adv. Math. VII, 191. Φασὶν οὖν οἱ Κυρηναϊκοὶ κριτήρια εἶναι τὰ πάθη καὶ μόνα καταλαμβάνεσθαι καὶ ἀδιάψευστα τυγχάνειν, τῶν δὲ πεποιηκότων τὰ πάθη μηδὲν εἶναι καταληπτὸν μηδὲ ἀδιάψευστον. ὅτι μὲν γὰρ λευκαινόμεθα, φασί, καὶ γλυκαζόμεθα, δυνατὸν λέγειν ἀδιαψεύστως καὶ ἀνεξελέγκτως· ὅτι δὲ τὸ ἐμποιητικὸν τοῦ πάθους λευκόν ἐστιν ἢ γλυκύ ἐστιν,

---

*) Emperius malit ἐπαναλάβῃ, „id est, tollere et in usum suum conferre".

οὐχ οἷόν τ᾽ ἀποφαίνεσθαι. 192. εἰκὸς γάρ ἐστι καὶ ὑπὸ μὴ λευκοῦ τινὰ λευκαντικῶς διατεθῆναι καὶ ὑπὸ μὴ γλυκέος γλυκανθῆναι. καθὰ γὰρ ὁ μὲν σκοτωθεὶς καὶ ἰκτεριῶν ὠχραντικῶς ὑπὸ πάντων κινεῖται, ὁ δὲ ὀφθαλμιῶν ἐρυθαίνεται, ὁ δὲ παραπιέσας τὸν ὀφθαλμὸν ὡς ὑπὸ δυοῖν κινεῖται, ὁ δὲ μεμηνὼς δισσὰς ὁρᾷ τὰς Θήβας*) καὶ δισσὸν φαντάζεται τὸν ἥλιον, 193. ἐπὶ πάντων δὲ τούτων τὸ μὲν ὅτι τόδε τι πάσχουσιν, οἷον ὠχραίνονται ἢ ἐρυθαίνονται ἢ δυάζονται, ἀληθές, τὸ δὲ ὅτι ὠχρόν ἐστι τὸ κινοῦν αὐτοὺς ἢ ἐνερευθὲς ἢ διπλοῦν ψεῦδος εἶναι νενόμισται, οὕτω καὶ ἡμᾶς εὐλογώτατόν ἐστι πλέον τῶν οἰκείων παθῶν μηδὲν λαμβάνειν δύνασθαι. ὅθεν ἤτοι τὰ πάθη φαινόμενα θετέον ἢ τὰ ποητικὰ τῶν παθῶν. 195. ἔνθεν οὐδὲ κριτήριόν φασιν εἶναι κοινὸν ἀνθρώπων. ὀνόματα δὲ κοινὰ τίθεσθαι τοῖς κρίμασιν. 196. λευκὸν μὲν γάρ τι καὶ γλυκὺ καλοῦσι κοινῶς πάντες, κοινὸν δέ τι λευκὸν ἢ γλυκὺ οὐκ ἔχουσιν· ἕκαστος γὰρ τοῦ ἰδίου πάθους ἀντιλαμβάνεται. Ibid. VI, 53. οἵ τε γὰρ ἀπὸ τῆς Κυρήνης φιλόσοφοι μόνα φασὶν ὑπάρχειν τὰ πάθη, ἄλλο δὲ οὐδέν· ὅθεν καὶ τὴν φωνὴν μὴ οὖσαν πάθος, ἀλλὰ πάθους ποιητικήν, μὴ γίγνεσθαι τῶν ὑπαρκτῶν.

Cf. Diog. L. II, 92; Plut. adv. Col. 24; Cic. Acad. II, 7. Continetur his doctrina *περὶ αἰτίων*, quae esse quidem posse causas rerum concedit, cognosci posse negat, physicam igitur omnem de medio tollit. Patet Cyrenaicos hac parte proxime a Protagorae sophismatis abesse. — Enuntiatum, quod in extremis apud Sext. Emp. legitur (VI, 53), non tam ipsorum Cyrenaicorum esse videtur, quam Sexti, haec ex praemissis concludentis. Si minus, dixeris Cyrenaicos in hoc vel maxime Sophistarum argutias imitatos esse, quod nomina esse quidem communia hominibus dicebant, deinde vero haec rursus tollebant, cum vocem esse negarent.

c. Theodorei.

Diog. L. II. 98. *Τέλος δ᾽ ὑπελάμβανε* (sc. ὁ *Θεόδωρος*) 211
χαρὰν[a] *καὶ λύπην, τὴν μὲν ἐπὶ φρονήσει τὴν δ᾽ ἐπὶ ἀφροσύνῃ· ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον. ἀνῄρει δὲ καὶ φιλίαν διὰ τὸ μήτε ἐν ἀφροσιν αὐτὴν εἶναι μήτ᾽ ἐν σοφοῖς· τοῖς μὲν γὰρ τῆς χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι, τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. ἔλεγε δὲ καὶ εὔλογον*

*) Dicit Pentheum, cf. Eurip. Bacch. v. 946.

εἶναι τὸν σπουδαῖον ὑπὲρ τῆς πατρίδος μὴ ἐξαγαγεῖν αὐτόν· οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας. 99. εἶναί τε πατρίδα τὸν κόσμον. κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ εἶναι τούτων φύσει αἰσχρὸν τῆς ἐπ᾽ αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. φανερῶς δὲ τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν σοφόν.

a) Patet λύπην Theodoro non τέλος fuisse, sed φευκτόν. Χαρὰν et ἡδονὴν ita differre censuisse videtur, ut hanc extrinsecus effici, illam in interiore animi affectu positam esse diceret. Propterea sapientem αὐτάρκη esse affirmare poterat.

d. Hegesiaci.

212 Diog. L. II, 93. Οἱ δὲ Ἡγησιακοὶ λεγόμενοι σκοποὺς μὲν εἶχον τοὺς αὐτούς, ἡδονὴν καὶ πόνον. — — 94. τὴν εὐδαιμονίαν ὅλως ἀδύνατον εἶναι· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ᾽ ἐλπίδα κωλύειν, ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. τήν τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδές ὑπελάμβανον, διὰ δὲ σπάνιν ἢ ξενισμὸν ἢ κόρον τοὺς μὲν ἥδεσθαι τοὺς δ᾽ ἀηδῶς ἔχειν. πενίαν καὶ πλοῦτον πρὸς ἡδονῆς λόγον εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. δουλείαν ἐπίσης ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν δυσγενείᾳ καὶ δόξαν ἀδοξίᾳ. 95. καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι, τῷ δὲ φρονίμῳ ἀδιάφορον. τόν τε σοφὸν ἑαυτοῦ ἕνεκα πάντα πράξειν· οὐδένα γὰρ ἡγεῖσθαι τῶν ἄλλων ἐπίσης ἄξιον αὐτῷ. κἂν γὰρ τὰ μέγιστα δοκῇ παρ᾽ ἄλλου καρποῦσθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παράσχῃ. — — ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν· οὐ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλά τινι πάθει κατηναγκασμένον*). καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. τόν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ, τέλος τιθέμενον τὸ μὴ ἐπιπόνως ζῆν μηδὲ λυπηρῶς· 96. ὃ δὴ περιγίγνεσθαι τοῖς ἀδιαφορήσασι περὶ τὰ ποιητικὰ τῆς ἡδονῆς.

Extrema non concinunt cum antecedentibus, ut videantur conclusione tantum ex Hegesiae principiis facta poni. De vitae contemtu, quem prae se ferebant Hegesiaci, v. n. 205, not. e.

*) Alii codd. πιεζόμενον.

e. Annicerei.

Clem. Alex. Strom. II, p. 417 B. *Οἱ δὲ Ἀννικέρειοι κα-* 213
λούμενοι ἐκ τῆς Κυρηναϊκῆς διαδοχῆς τοῦ μὲν ὅλου βίου τέλος οὐδὲν ὡρισμένον ἔταξαν· ἑκάστης δὲ πράξεως ἴδιον ὑπάρχειν τέλος, τὴν ἐκ τῆς πράξεως περιγιγνομένην ἡδονήν. οὗτοι οἱ Κυρηναϊκοὶ τὸν ὅρον τῆς ἡδονῆς Ἐπικούρου, τοῦτ᾽ ἔστι τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν ἀθετοῦσιν νεκροῦ κατάστασιν ἀποκαλοῦντες· χαίρειν γὰρ ἡμᾶς μὴ μόνον ἐπὶ ἡδοναῖς, ἀλλὰ καὶ ἐπὶ ὁμιλίαις καὶ ἐπὶ φιλοτιμίαις. Diog. L. II, 96. *Ἀπέλιπον δὲ καὶ φιλίαν ἐν βίῳ καὶ χάριν καὶ πρὸς γονέας τιμὴν καὶ ὑπὲρ πατρίδος τι πράξειν· ὅθεν διὰ ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται ὁ σοφός, οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα περιγένηται αὐτῷ. τήν τε τοῦ φίλου εὐδαιμονίαν δι᾽ αὐτὴν μὴ εἶναι αἱρετὴν· μηδὲ γὰρ αἰσθητὴν τῷ πέλας ὑπάρχειν. μή εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι καὶ τῆς τῶν πολλῶν δόξης ὑπεράνω γενέσθαι. δεῖν δ᾽ ἀνεθίζεσθαι διὰ τὴν ἐκ πολλοῦ συντραφεῖσαν ἡμῖν φαύλην διάθεσιν.* 97. *τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ὑπολειπουσῶν μὴ ἐπιστρέφεσθαι, ἀλλὰ καὶ παρὰ τὴν γεγονυῖαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομενεῖν. καίτοι τιθέμενον ἡδονὴν τέλος καὶ ἀχθόμενον ἐπὶ τῷ στέρεσθαι αὐτῆς ὅμως ἑκουσίως ὑπομένειν διὰ τὴν πρὸς τὸν φίλον στοργήν*[a].

a) His ne puta ea tolli, quae antea ex Anniceridis nomine disputabantur, amici felicitatem per se non appetendam esse. Amicitia enim non colenda est nisi propter voluptatem, quae ex amici caritate percipitur.

3. Cynici.

Diog. L. VI, 1. *Ἀντισθένης — Ἀθηναῖος. ἐλέγετο δ᾽ οὐκ* 214
εἶναι ἰθαγενής[a]. — — *οὗτος κατ᾽ ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος, ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει.* — — 2. *ὕστερον δὲ παρέβαλε Σωκράτει καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρήνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς· οἰκῶν τ᾽ ἐν Πειραιεῖ καθ᾽ ἑκάστην ἡμέραν τοὺς τετταράκοντα σταδίους ἀνιὼν ἤκουε Σωκράτους, παρ᾽ οὗ καὶ τὸ καρτερικὸν λαβὼν καὶ τὸ ἀπαθὲς ζηλώσας κατῆρξε πρῶτος τοῦ κυνισμοῦ.* 8. *στρέψαντος αὐτοῦ τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τὸ προφανὲς Σωκράτης ἰδών φησιν· Ὁρῶ σου διὰ*

τοῦ τρίβωνος τὴν φιλοδοξίαν. 13. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄποθεν τῶν πυλῶν· ὅθεν τινὲς καὶ τὴν κυνικὴν φασιν ἐντεῦθεν ὀνομασθῆναι[b]. αὐτός τ' ἐπεκαλεῖτο Ἀπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, — καὶ μόνῳ αὐτῷ ἐχρῆτο, βάκτρον τ' ἀνέλαβε καὶ πήραν. 15. φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα[c]. 18. ὁ Τίμων δὲ διὰ τὸ πλῆθος (sc. τῶν αὐτοῦ συγγραμμάτων) ἐπιτιμῶν αὐτῷ παντοφυῆ φλέδονά φησιν αὐτόν.

a) Mater erat Thracia, Diog. L. VI, 1, Suid. v. Ἀντισθένης. Iuvenis pugnae ad Tanagram commissae a. 426 interfuit. — **b)** Cynosarges erat gymnasium suburbanum Herculi sacrum, quo utebantur οἱ νόθοι, de quibus erat Antisthenes, v. Plut. v. Themist. 1. Aliis Cynici dicti videbantur propter mores quasi caninos, aliis propter dicacitatem, v. Schol. Aristot. p. 23 Br., Philoponus ibid. p. 35. Pera et baculus Cynicae familiae tanquam insignia erant, v. Appulei. de Magia p. 26 Bip. — **c)** Decem tomis a grammaticis digesta erant. Alia ad mores, alia ad artem oratoriam, alia ad Homeri interpretationem pertinebant. In dialogis ad disciplinam moralem gravissimus erat. Prae ceteris laudatur Hercules dialogus, qui deus Cynicae sectae quasi patronus esse putabatur, v. n. 217. 218; Lobeck Aglaoph. p. 159 h. Praeter eum citantur Cyrus, Aspasia, Ulysses cet., semel ὁ φυσικὸς λόγος, v. n. 220. Grammatici Antisthenem inter optimos Attici sermonis auctores numerabant, v. Phrynichus ap. Phot. Bibl. p. 101 b Bekk. Quae nunc sub eius nomine feruntur declamationes dubium est an sint genuinae. Cf. F. Deycks de Antisthenis Socratici vita et doctrina, Cobl. 1841; A. W. Winckelmann Antisthenis fragmenta, Turini 1842.

215 Diog. L. VI, 20. Διογένης — Σινωπεύς. — — 21. γενόμενος δὲ Ἀθήνῃσιν Ἀντισθένει παρέβαλε. — — τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον. 71. τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων[a]. 79. Δημήτριος δ' ἐν τοῖς Ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι. — — 80. Σωσικράτης δὲ — καὶ Σάτυρος — οὐδὲν εἶναι Διογένους (sc. σύγγραμμα) φασί[b]. 85. Κράτης — Θηβαῖος, καὶ οὗτος τῶν ἐλλογίμων τοῦ Κυνὸς μαθητῶν[c].

a) Libertas illa in quo consistat intelligitur ex n. 219. Eodem facit ἡ παρρησία quam dicebant h. e. libertas dicendi, v. Diog. L. VI, 69 de Diogene Cynico: ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις ἔφη, παρρησία, Lucian. Dial. Mort. XI, 3, ubi Diogenes ab Antisthene, Crates a

Diogene hereditariam dicitur accepisse *σοφίαν, αὐτάρκειαν, ἀλήθειαν, παρρησίαν, ἐλευθερίαν.* Et dicitur Diogenes etiam longe dicacior atque acerbior Antisthene fuisse, v. Dio Chrysost. VIII, p. 275 R. — **b)** Multa scripta Diogeni a veteribus tribuebantur, de quibus an genuina essent necne diverse iudicabatur. Multae etiam sententiae modo Antistheni modo Diogeni tribuuntur. De vita ac moribus cf. Goettling *Diogenes d. Cyniker oder die Philos. des griechischen Proletariats, gesamm. Abh.* I, p. 251—277. — **c)** Alios praeter hosce Cynicos nominat Diog. L. VI, 82 sqq., 94 sqq.

Diog. L. VI, 103. *Ἀρέσκει οὖν αὐτοῖς* (sc. *τοῖς Κυνικοῖς*) *τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον περιαιρεῖν — —, μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ. καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους, τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τοῦτον φάσκων λέγειν, Δεῖ ζητεῖν* 216

ὅ τι τοι ἐν μεγάροισι κακόν τ᾽ ἀγαθόν τε τέτυκται.

παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα· γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης τοὺς σώφρονας γενομένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλλοτρίοις.

Similia leguntur ap. Diog. L. VI, 11. Sed videntur in maius aucta esse, ad priores Cynicos a posterioribus translato quod hi demum prae se ferebant litterarum fastidio. Antisthenes etsi a Cicerone ad Att. XII, 38, 4 dicitur *homo acutus magis quam eruditus,* tamen multam litteris operam navavit, ut docent vel librorum tituli, nominatim iis quae ad rhetoricam faciebant. Neque omnem reiecit physicam neque logicam, cf. n. 220. 221.

Diog. L. VI, 104. *Ἀρέσκει δ᾽ αὐτοῖς* (sc. *τοῖς Κυνικοῖς*) *καὶ τέλος εἶναι τὸ κατ᾽ ἀρετὴν ζῆν, ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ.* 2. *Καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε* (sc. *ὁ Ἀντισθένης*) *διὰ τοῦ μεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου, τὸ μὲν ἀπὸ τῶν Ἑλλήνων τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἑλκύσας. — —* 3. *Ἔλεγέ τε συνεχές, Μανείην μᾶλλον ἢ ἡσθείην.* Xenoph. Symp. 4. 41 sqq. Loquitur Antisthenes. *Καὶ γὰρ ὅταν ἡδυπαθῆσαι βουληθῶ, οὐκ τῆς ἀγορᾶς τὰ τίμια ὠνοῦμαι (πολυτελὴς γὰρ γίγνεται), ἀλλ᾽ ἐκ τῆς ψυχῆς ταμιεύομαι. καὶ πολὺ πλεῖον διαφέρει πρὸς ἡδονήν, ὅταν ἀναμείνας τὸ δεηθῆναι προσφέρωμαι ἢ ὅταν τινὶ τῶν τιμίων χρῶμαι. — —* 42. *ἀλλὰ μὴν καὶ πολὺ δικαιοτέρους γε εἰκὸς εἶναι τοὺς εὐτέλειαν μᾶλλον ἢ πολυχρηματίαν σκοποῦντας· οἷς γὰρ μάλιστα τὰ παρόντα ἀρκεῖ, ἥκιστα τῶν ἀλλοτρίων ὀρέγονται.* 43. *ἄξιον δ᾽ ἐννοῆσαι ὡς καὶ ἐλευ-* 217

θερίους ὁ τοιοῦτος πλοῦτος παρέχεται. Antisthenes ap. Stob. Serm. XXIX, 65. *Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ᾽ οὐχὶ τὰς πρὸ τῶν πόνων.* Diog. L. VI, 71. *Λέον οὖν* (sc. *ἔλεγεν ὁ Διογένης*) *ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους ζῆν εὐδαιμόνως παρὰ τὴν ἄνοιαν κακοδαιμονοῦσι. καὶ γὰρ αὐτὴ τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα, καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτως οἱ τοὐναντίον ἀσκηθέντες ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι.*

Similia placita respicit Plato Phileb. p. 44, ubi meminit eorum, qui voluptatem *οὐδὲν ὑγιὲς* esse statuerint. Item Arist. Eth. Nic. X, 1. *οἱ μὲν γὰρ ταγαθὸν ἡδονὴν λέγουσιν, οἱ δ᾽ ἐξ ἐναντίας κομιδῇ φαῦλον, οἱ μὲν ἴσως πειπεισμένοι οὕτω καὶ ἔχειν, οἱ δὲ οἰόμενοι βέλτιον εἶναι πρὸς τὸν βίον ἡμῶν ἀποφαίνειν τὴν ἡδονὴν τῶν φαύλων, καὶ εἰ μή ἐστιν· ῥέπειν γὰρ τοὺς πολλοὺς πρὸς αὐτὴν καὶ δουλεύειν ταῖς ἡδοναῖς, διὸ δεῖν εἰς τοὐναντίον ἄγειν· ἐλθεῖν γὰρ ἂν οὕτως ἐπὶ τὸ μέσον.* Quod bonum in labore, malum in voluptate ponebant, apertum est contra Cyrenaicos tendere: sed cave putes omnem a Cynicis voluptatem spretam esse. Aliud dumtaxat voluptarium quaerebatur quam quod sequerentur homines de vulgo; cf. Antisthenis dictum ap. Stob. l. l.

218 Diog. L. VI, 105. *Ἀρέσκει δὲ αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθά φησιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ, καὶ ἀναπόβλητον ὑπάρχειν· ἀξιέραστόν τε τὸν σοφὸν καὶ ἀναμάρτητον καὶ φίλον τῷ ὁμοίῳ.* 11. *τήν τε ἀρετὴν τῶν ἔργων εἶναι, μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων.* 13. *τεῖχος ἀσφαλέστατον φρόνησιν· μήτε γὰρ καταρρεῖν μήτε προδίδοσθαι. τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς.* Plut. de Stoic. Repugn. 14. *τοῦ Ἀντισθένους — τὸ Λεῖν κτᾶσθαι νοῦν ἢ βρόχον.* Diog. L. VI, 70. *Λιττὴν δὲ ἔλεγεν* (sc. *ὁ Διογένης*) *εἶναι τὴν ἄσκησιν, τὴν μὲν ψυχικήν, τὴν δὲ σωματικήν. — εἶναι δ᾽ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας. — — 71. οὐδέν γε μὴν ἔλεγε τὸ παράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι. 7. ἐρωτηθεὶς* (sc. *ὁ Ἀντισθένης*) *τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, Τὸ κακὰ ἀπὸ μαθεῖν**). *— — 8. ἐρωτηθεὶς ὑπό του — — τί ποιῶν καλὸς*

---

*) Menag. Cobet. e aliis codd. *τὸ περιαιρεῖν, ἔφη, τὸ ἀπομανθάνειν*, h. e. hoc agere ne dediscas quae didiceris. Cf. Stob. Floril. Append. p. 403 Gaisf.

κἀγαθὸς ἔσοιτο, ἔφη, Εἰ τὰ κακὰ ἃ ἔχεις ὅτι φευκτά ἐστι μάθοις παρὰ τῶν εἰδότων.

Consenserint igitur cum Socrate in eo quod virtutem constantem *φρόνησιν* esse et doceri posse docebant; quamquam in incerto relinquebatur quanam in re *φρόνησις* ponenda esset. Id notat Plato de Rep. VI, p. 505 B. *Ἀλλὰ μὴν καὶ τόδε γε οἶσθα, ὅτι τοῖς μὲν πολλοῖς ἡδονὴ δοκεῖ εἶναι τὸ ἀγαθόν, τοῖς δὲ κομψοτέροις φρόνησις, — — καὶ ὅτι γε — οἱ τοῦτο ἡγούμενοι οὐκ ἔχουσι δεῖξαι ἥτις φρόνησις, ἀλλ' ἀναγκάζονται τελευτῶντες τὴν τοῦ ἀγαθοῦ φάναι.* Propterea Antisthenes statuisse videtur virtutem positam esse in eo, ut malum dedoceamus, cum Diogenes contra homines exercitatione virtutem sibi conciliare posse diceret.

Diog. L. VI, 11. *Αὐτάρκη γὰρ τὴν ἀρετὴν εἶναι πρὸς* 219
εὐδαιμονίαν, μηδενὸς προσδεομένην ὅτι μὴ Σωκρατικῆς ἰσχύος —, τήν τ' ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ[a]. 105. *Ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιοῦν, αὐτάρκεσι χρωμένοις σιτίοις καὶ τρίβωσι μόνοις, πλούτου καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν. ἔνιοί τε γοῦν καὶ βοτάναις καὶ παντάπασιν ὕδατι χρῶνται ψυχρῷ σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις, καθάπερ Διογένης, ὃς ἔφασκε θεῶν μὲν ἴδιον εἶναι μηδενὸς δεῖσθαι, τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρῄζειν*[b]. — — *τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγουσιν.* 11. *τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύσεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. γαμήσειν τε τεκνοποιίας χάριν, ταῖς εὐφυεστάταις**) *συνιόντα γυναιξί. καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν τίνων χρὴ ἐρᾶν.* 12. — — *τῷ σοφῷ ξένον οὐδὲν οὐδ' ἄπορον.* 72. *μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ*[c] (sc. *ἔλεγεν ὁ Διογένης*). *ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδένα νομίζων*[d]· *ἀλλὰ τὸν πείσαντα τῇ πεισθείσῃ συνεῖναι· κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας.* 73. *μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν ἢ τῶν ζῴων τινὸς γεύσασθαι· μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν.*

a) Marc. Antonin. VII, 36. *Ἀντισθενικόν· βασιλικὸν μὲν εὖ πράττειν κακῶς δ' ἀκούειν.* Cf. Arrian. Epict. Diss. IV, 5; Diog. L. VI, 3. — **b)** Cf. supra in Socrate n. 200. — **c)** Diog. L. VI, 63. *ἐρωτηθεὶς πόθεν εἴη, κοσμοπολίτης, ἔφη*, cf. ib. 93. Qui ad Socratem simile dictum referunt, velut Cic. Tusc. V, 37, 108, iis Antisthenes fortasse auctor fuit; qui quid de civitate senserit significantur hisce ap. Stob. Floril. 45, 28.

*) C. F. Hermann coni. *ταῖς ἀφυεστάταις.*

Ἀντισθένης ἐρωτηθεὶς πῶς ἄν τις προσέλθοι πολιτείᾳ εἶπε· Καθάπερ πυρὶ μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς. — **d)** Similia Antistheni placuisse videntur, v. Xenoph. Conv. 4, 38, Diog. L. VI, 3. 4.

220 Cic. de Nat. D. I, 13. Antisthenes in eo libro, qui Physicus inscribitur, populares deos multos, naturalem unum esse dicens tollit vim et naturam deorum[a]. Clem. Alex. Protrept. p. 46 C. *Ἀντισθένης — θεὸν οὐδενὶ ἐοικέναι φησίν· διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται*[b].

a) Krische *Forschungen* p. 234 sq. — **b)** Cf. Clem. Al. Strom. V, p. 601 A. — In naturalem illum deum tanquam in summum vitae et sapientiae Cynicae exemplar intuebantur, v. Stob. Floril. Append. p. 407 Gaisf. *Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱὸν εἶπεν· Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν φιλόσοφον, εἰ δ' ἀνθρώποις ῥήτορα.* Diogenes ap. D. L. VI, 72. *πάντα τῶν θεῶν ἐστί· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν.* Popularis deorum cultus Cynicis ferme contemtui erat.

221 Arrian. Epictet. Diss. I, 17. *Ἀντισθένης — λέγει — ὅτι ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις.* Arist. Met. *Δ*, 29. *Διὸ Ἀντισθένης ᾤετο εὐήθως μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἑφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι*[a]. *H*, 3. *ὥστε ἡ ἀπορία, ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν*[b]*), ἀλλὰ ποῖον μὲν τί ἐστιν ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἀργύριον τί μέν ἐστιν οὔ, ὅτι δ' οἷον κασσίτερος. ὥστ' οὐσίας ἔστι μὲν ἧς ἐνδέχεται εἶναι ὅρον καὶ λόγον, οἷον τῆς συνθέτου, ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ· ἐξ ὧν δ' αὕτη πρώτων οὐκ ἔστιν, εἴπερ τὶ κατά τινος σημαίνει ὁ λόγος ὁ ὁριστικός, καὶ δεῖ τὸ μὲν ὥσπερ ὕλην εἶναι τὸ δὲ ὡς μορφήν*[c]. Simpl. in Cat. Arist. f. 54 B. *τῶν δὲ παλαιῶν οἱ μὲν ἀνῄρουν τὰς ποιότητας τελέως, τὸ ποιὸν συγχωροῦντες εἶναι, ὥσπερ Ἀντισθένης, ὃς ποτε Πλάτωνι διαμφισβητῶν, ὦ Πλάτων, ἔφη, ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ*[d].

a) Cf. Plato Soph. p. 251 A. *Λέγομεν ἄνθρωπον δή που πόλλ' ἄττα ἐπονομάζοντες, τά τε χρώματα ἐπιφέροντες αὐτῷ καὶ τὰ σχήματα καὶ μεγέθη καὶ κακίας καὶ ἀρετάς, ἐν οἷς πᾶσι καὶ ἑτέροις μυρίοις οὐ μόνον ἄνθρωπον αὐτὸν εἶναί φαμεν, ἀλλὰ καὶ ἀγαθὸν καὶ ἕτερα ἄπειρα,*

καὶ τἆλλα δὴ κατὰ τὸν αὐτὸν λόγον οὕτως ἓν ἕκαστον ὑποθέμενοι πάλιν αὐτὸ πολλὰ καὶ πολλοῖς ὀνόμασι λέγομεν. — Ὅθεν γε, οἶμαι, τοῖς τε νέοις καὶ τῶν γερόντων τοῖς ὀψιμαθέσι (i. e. Antistheni) θοίνην παρεσκευάκαμεν· εὐθὺς γὰρ ἀντιλαβέσθαι παντὶ πρόχειρον ὡς ἀδύνατον τά τε πολλὰ ἓν καὶ τὸ ἓν πολλὰ εἶναι, καὶ δή που χαίρουσιν οὐκ ἐῶντες ἀγαθὸν λέγειν ἄνθρωπον, ἀλλὰ τὸ μὲν ἀγαθὸν ἀγαθόν, τὸν δὲ ἄνθρωπον ἄνθρωπον. Antisthenes igitur, quum non perspiceret quomodo eidem rei subiectae plura possint praedicata attribui, noluit de ulla re quidquam praedicari nisi ipsam hanc rem esse: unde consequens erat ut omnis controversia tolleretur (Top. I, 11. οὐκ ἔστιν ἀντιλέγειν, καθάπερ ἔφη Ἀντισθένης) itemque omnis error. — **b)** H. e. definitio nihil est nisi longior verborum ambitus, cf. Arist. Met. *N*, 3, p. 1091 a 7, Schol. Aristot. p. 827 b. Quod ipse λόγον primus definivisse perhibetur, Diog. L. VI, 3. πρῶτός τε ὡρίσατο λόγον εἰπών· λόγος ἐστὶν ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν, apparet λόγον esse nihil nisi nomina rerum: quo pertinet illud quod apposuimus ex Arriano, ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις. — **c)** Cf. Plato Theaet. p. 201 E. Ἐγὼ γὰρ αὖ ἐδόκουν ἀκούειν τινῶν, ὅτι τὰ μὲν πρῶτα οἱονπερεὶ στοιχεῖα, ἐξ ὧν ἡμεῖς τε συγκείμεθα καὶ τἆλλα, λόγον οὐκ ἔχοι. αὐτὸ γὰρ καθ' αὑτὸ ἕκαστον ὀνομάσαι μόνον εἴη, προσειπεῖν δὲ οὐδὲν ἄλλο δυνατόν, οὔθ' ὡς ἔστιν οὔθ' ὡς οὐκ ἔστιν. — — δεῖν δέ, εἴπερ ἦν δυνατὸν αὐτὸ λέγεσθαι καὶ εἶχεν οἰκεῖον αὑτοῦ λόγον, ἄνευ τῶν ἄλλων ἁπάντων λέγεσθαι. νῦν δὲ ἀδύνατον εἶναι ὁτιοῦν τῶν πρώτων ῥηθῆναι λόγῳ, οὐ γὰρ εἶναι αὐτῷ ἀλλ' ἢ ὀνομάζεσθαι μόνον· ὄνομα γὰρ μόνον ἔχειν: quem locum ad Antisthenem eiusque sectatores retulit Zeller *Philos. d. Griech.* II, p. 115 sq., cf. Hartenstein *Berichte d. K. sächs. Gesellsch. d. W.* I, p. 199, Prantl *Geschichte d. Logik* I, p. 30 sqq. — **d)** Similia narrantur ap. Simplic. in Categ. fol. 54 B Z., David in Schol. Arist. p. 20 a, 68 b, Tzetz. Chil. VII, 605 sqq., Diog. L. VI, 53, ubi eadem verba tribuuntur Diogeni. Ideas Platonis ab Antisthene eiusque sectatoribus irrisas fuisse ipse Plato significat Sophist. l. c. Et constat apertas inter eos simultates intercessisse. Antisthenes contra Platonem ediderat dialogum Sathonem inscriptum; Plato Antisthenem in dialogis suis haud semel tecto nomine carpit, et satis acerbe quidem, velut in his Soph. p. 251 C. ἐντυγχάνεις γὰρ ὦ Θεαίτητε, ὡς ἐγῷμαι, πολλάκις τὰ τοιαῦτα ἐσπουδακόσιν, ἐνίοτε πρεσβυτέροις ἀνθρώποις, καὶ ὑπὸ πενίας τῆς περὶ φρόνησιν κτήσεως τὰ τοιαῦτα τεθαυμακόσι, καὶ δή τι καὶ πάσσοφον οἰομένοις τοῦτ' αὐτὸ ἀνευρηκέναι. Cf. Winckelmann Antisth. fragm. p. 34 sqq.

4. Megarici.

a. Euclides.

Diog. L. II, 106. Εὐκλείδης ἀπὸ Μεγάρων τῶν πρὸς 222
Ἰσθμῷ ἢ Γελῶος κατ' ἐνίους. — οὗτος καὶ τὰ Παρμενίδεια μετεχειρίζετο[a], καὶ οἱ ἀπ' αὐτοῦ Μεγαρικοὶ προσηγορεύοντο, εἶτ'

Ἐριστικοί, ὕστερον δὲ Διαλεκτικοί[b], — *διὰ τὸ πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους διατίθεσθαι. πρὸς τοῦτόν φησιν ὁ Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους μετὰ τὴν τοῦ Σωκράτους τελευτήν, δείσαντας τὴν ὠμότητα τῶν τυράννων*[c].

a) Cic. Acad. pr. II, 42. *Megaricorum fuit nobilis disciplina, cuius, ut scriptum video, princeps Xenophanes — —, deinde eum secuti Parmenides et Zeno, itaque ab his Eleatici philosophi nominabantur. Post Euclides, Socratis discipulus, Megareus, a quo iidem illi Megarici dicti.* Quantum Socratis fuerit studiosus et obsequiosus cernitur ex Platone Theaet. p. 142 sq. coll. Gell. Noct. Att. VI, 10. — **b)** Minime tamen omnes, qui Eristici vel Dialectici nominantur, Megaricis adnumerandi. — **c)** Hermodorus ex Academicis erat. De re cf. Diog. L. III, 6. — Scripsisse Euclides fertur dialogos, de quibus dubitabat Panaetius; v. Diog. L. II, 64. 108; Suid. s. v. *Εὐκλείδης*. Cf. F. Deycks de Megaricorum doctrina eiusque ap. Platonem et Aristot. vestigiis, Bonnae 1827.

223 Aristocles ap. Euseb. Praep. Ev. XIV, 17, p. 756. *Ἄλλοι δὲ ἐγένοντο τούτοις* (Democrito et Aristippo) *τὴν ἐναντίαν φωνὴν ἀφιέντες· οἴονται γὰρ δεῖν τὰς μὲν αἰσθήσεις καὶ τὰς φαντασίας καταβάλλειν, αὐτῷ δὲ μόνῳ τῷ λόγῳ πιστεύειν. τοιαῦτα γάρ τινα πρότερον μὲν Ξενοφάνης καὶ Παρμενίδης καὶ Ζήνων καὶ Μέλισσος ἔλεγον, ὕστερον δὲ οἱ περὶ Στίλπωνα καὶ τοὺς Μεγαρικούς. ὅθεν ἠξίουν οὗτοί γε τὸ ὂν ἓν εἶναι καὶ τὸ μὴ ὂν ἕτερον εἶναι, μηδὲ γεννᾶσθαί τι μηδὲ φθείρεσθαι μηδὲ κινεῖσθαι τὸ παράπαν.*

Sensibus igitur sensuumque perceptionibus nihil tribuendum esse statuebant, solam rationem sequendam esse. Inde ad unum illud ens Eleaticorum revertebantur, reliqua omnia non esse affirmantes. Quamquam videntur, certe priores Megarici, non unum tantummodo ens, sed plures substantias intelligibiles statuisse easque *εἴδη* h. e. genera vel formas notionum appellavisse: ut in hoc ad Socratis magis rationem accesserint, v. supra n. 194. 195. Certe Megaricos significare videtur Plato Sophist. p. 246 B sqq., ubi de iis locutus, qui nonnisi corpora rerum esse existiment, alios nonnisi notionibus substantiam rerum contineri eamque esse eandem semper contendere narrat: *νοητὰ ἄττα καὶ ἀσώματα εἴδη βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι, τὰ δὲ ἐκείνων σώματα καὶ τὴν λεγομένην ὑπ' αὐτῶν ἀλήθειαν κατὰ σμικρὰ διαθραύοντες ἐν τοῖς λόγοις γένεσιν ἀντ' οὐσίας φερομένην τινὰ προσαγορεύουσιν*: eosdemque postea p. 248 A appellat *τοὺς τῶν εἰδῶν φίλους* h. e. idearum patronos. Quem locum de primis scholae Megaricae doctoribus accepit Schleiermacher et qui eum secuti sunt: Deycks l. c. p. 39 sqq.; C. F. Hermann *Geschichte*

u. System d. Platon. Philos. I, p. 269. 339; Stallbaum Platonis Parm. p. 85 sqq.; Brandis *Handb. d. Gesch. d. Philos.* II, 1, p. 114; Zeller *Philos. d. Griechen* II, p. 107; Prantl l. c. p. 35. Contra disputavit H. Ritterus in Mus. Rhen. II, 3, p. 205 sqq.

Diog. L. II, 106. *Οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς* 224
ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, μὴ εἶναι φάσκων. VII, 161. *μίαν* (sc. *ἀρετὴν*) *πολλοῖς ὀνόμασι καλουμένην, ὡς οἱ Μεγαρικοί.* Cic. Acad. pr. II, 42. Euclides — — id bonum solum esse dicebat, quod esset unum et simile et idem semper.

Apparet Megaricos similiter de bono statuisse atque Eleaticos de ente: quod a Socrate repetendum, qui virtutem unam esse volebat, modo *φρόνησιν* dictam modo *σοφίαν* modo *ἐπιστήμην*, et *φρόνησιν* divini quod in nobis inesset vim esse statuebat, divinamque esse quae omnia gubernaret *φρόνησιν*, v. n. 196. 197. 201. Quod si non unum, sed plura *εἴδη* statuerint, bonum iis prae ceteris ideis ens esse et omnes ideas quasi in se complecti visum esse dixeris, similiter atque Platoni, cf. Aristot. Met. *N*, 4. *τῶν δὲ τὰς ἀκινήτους οὐσίας εἶναι λεγόντων οἱ μέν φασιν αὐτὸ τὸ ἓν τὸ ἀγαθὸν αὐτὸ εἶναι· οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ ᾠοντο εἶναι μάλιστα*: quem locum ad Megaricos referendum esse censet Stallbaum l. c. p. 62. Cf. in Platone n. 259.

Diog. L. II, 107. *Ταῖς δὲ ἀποδείξεσιν ἐνίστατο οὐ κατὰ* 225
λήμματα, ἀλλὰ κατ' ἐπιφοράν[a]*. καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει, λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι. καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν*[b] *τὴν παράθεσιν.*

a) *Ἐπιφορά* est conclusio; *λῆμμα* videtur et maiorem et minorem syllogismi propositionem amplecti: utrumque vocabulum Stoicorum est, v. Diog. L. VII, 76, ubi pro *ἐκ λήμματος ἢ λημμάτων καὶ προσλήψεως καὶ ἐπιφορᾶς* legendum videtur *ἐκ λήμματος καὶ προσλήψεως ἢ λημμάτων καὶ ἐπιφορᾶς;* cf. Suid. s. v. *λῆμμα*. Euclides igitur contrarios suos refutabat similiter atque Zeno Eleates, v. ad n. 103, i. e. indirecta, ut aiunt, via usus. — **b)** *Παρέλκειν* et *παρολκὴ* plerumque dicitur si quid superfluat in argumentis haud necessarium; v. Sext. Emp. Hyp. Pyrrh. II, 156 c not. Fabricii. Hoc loco notatur comparatio falsa et parum idonea.

b. Eubulides.

Diog. L. II, 108. *Τῆς δὲ Εὐκλείδου διαδοχῆς ἐστι καὶ* 226
Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγους

ἠρώτησε, τόν τε Ψευδόμενον καὶ τὸν Διαλανθάνοντα καὶ Ἠλέκτραν καὶ Ἐγκεκαλυμμένον καὶ Σωρείτην καὶ Κερατίνην καὶ Φαλακρόν.

σοφίαν[a]. ἐκ νέου τε γὰρ συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν[b]· Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γιγνόμενον καὶ οὐ τῶν αἰσθητῶν τινός· ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων. οὕτως*) μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα[c].

a) In antecedentibus dixerat de Pythagoreis et Eleatis. — **b)** Cf. quae de elementis naturae disputantur Tim. p. 49 B. *τούτων γὰρ εἰπεῖν ἕκαστον, ὁποῖον ὄντως ὕδωρ χρὴ λέγειν μᾶλλον ἢ πῦρ καὶ ὁποῖον ὁτιοῦν μᾶλλον ἢ καὶ ἅπαντα καθ' ἕκαστόν τε, οὕτως ὥστε τινὶ πιστῷ καὶ βεβαίῳ χρήσασθαι λόγῳ, χαλεπόν. πῶς οὖν δὴ τοῦτ' αὐτὸ καὶ πῇ καὶ τί περὶ αὐτῶν εἰκότως διαπορηθέντες ἂν λέγοιμεν; πρῶτον μέν, ὃ δὴ νῦν ὕδωρ ὠνομάκαμεν, πηγνύμενον ὡς δοκοῦμεν λίθους καὶ γῆν γιγνόμενον ὁρῶμεν, τηκόμενον δὲ καὶ διακρινόμενον αὖ ταὐτὸν ταῦτο πνεῦμα καὶ ἀέρα, ξυγκαυθέντα δὲ ἀέρα πῦρ, ἀνάπαλιν δὲ πὺρ συγκριθὲν καὶ κατασβεσθὲν εἰς ἰδέαν τε ἀπιὸν αὖθις ἀέρος, καὶ πάλιν ἀέρα ξυνιόντα καὶ πυκνούμενον νέφος καὶ ὁμίχλην, ἐκ δὲ τούτων ἔτι μᾶλλον ξυμπιλουμένων ῥέον ὕδωρ, ἐξ ὕδατος δὲ γῆν καὶ λίθους αὖθις, κύκλον τε οὕτω διαδιδόντα εἰς ἄλληλα, ὡς φαίνεται, τὴν γένεσιν· οὕτω δὴ τούτων οὐδέποτε τῶν αὐτῶν ἑκάστων φανταζομένων, ποῖον αὐτῶν ὡς ὂν ὁτιοῦν τοῦτο καὶ οὐκ ἄλλο παγίως διισχυριζόμενος οὐκ αἰσχυνεῖταί τις ἑαυτόν*; Item quae de sensibus sibi discrepantibus exponuntur De Rep. VII, p. 523 B sqq. Omnino sensibus animum magis impediri quam iuvari statuit, cum sensus (*ἡ αἴσθησις*) sit ea animi affectio, quae de corpore pendeat atque una cum illo moveatur, Phileb. p. 34 A. *τὸ ἐν ἑνὶ πάθει τὴν ψυχὴν καὶ τὸ σῶμα κοινῇ γιγνόμενον κοινῇ καὶ κινεῖσθαι, ταύτην δ' αὖ τὴν κίνησιν ὀνομάζων αἴσθησιν οὐκ ἀπὸ τρόπου φθέγγοι' ἄν.* Quam copulam adeo adversam esse veritati cognoscendae, ut sincerus philosophus fatale illud quo animus teneatur corporis consortium vivus resolvere sibique ultro emori debeat philosophando h. e. id quod verum et purum sit in rebus mente pura et omni sensuum coniunctione secreta persequendo, Phaed. p. 64 A sqq. 65 E. *Ἆρ' οὖν ἐκεῖνος ἂν τοῦτο ποιήσειε καθαρώτατα, ὅστις ὅ τι μάλιστα αὐτῇ τῇ διανοίᾳ ἴοι ἐφ' ἕκαστον, μήτε τὴν ὄψιν παρατιθέμενος ἐν τῷ διανοεῖσθαι μήτε τινὰ ἄλλην αἴσθησιν ἐφέλκων μηδεμίαν μετὰ τοῦ λογισμοῦ, ἀλλ' αὐτῇ καθ' αὑτὴν εἰλικρινεῖ τῇ διανοίᾳ χρώμενος αὐτὸ καθ' αὑτὸ*

*) *οὕτως* i. e, his igitur rationibus ductus rec. Bonitz, *οὗτος* Bekk.

εἰλικρινὲς ἕκαστον ἐπιχειροῖ θηρεύειν τῶν ὄντων, ἀπαλλαγεὶς ὅ τι μάλιστα ὀφθαλμῶν τέ καὶ ὤτων καὶ ὡς ἔπος εἰπεῖν ξύμπαντος τοῦ σώματος, ὡς ταράττοντος καὶ οὐκ ἐῶντος τὴν ψυχὴν κτήσασθαι ἀλήθειάν τε καὶ φρόνησιν, ὅταν κοινωνῇ, ἆρ' οὐχ οὗτός ἐστιν, ὦ Σιμμία, εἴπερ τις καὶ ἄλλος, ὁ τευξόμενος τοῦ ὄντος; Ὑπερφυῶς, ἔφη ὁ Σιμμίας, ὡς ἀληθῆ λέγεις, ὦ Σώκρατες. Cave tamen putes omnem eum sensibus fidem atque dignitatem denegasse, v. infra n. 267, not. c. — c) {Cf. *Thomas Maguire* in libro: An Essay on the Platonic Idea 1866.} Εἶδος et ἰδέα proprie significat formam s. speciem, quae cernitur oculis, translate id quod mente cernitur, v. Cic. Acad. poster. I, 8, 30. Apud ipsum Platonem idea nonnunquam dicitur eodem sensu, quo notio et definitio, v. De Rep. X, p. 596 A. εἶδος γάρ πού τι ἓν ἕκαστον εἰώθαμεν τίθεσθαι περὶ ἕκαστα τὰ πολλά, οἷς ταὐτὸν ὄνομα ἐπιφέρομεν. Theaet. p. 204 A. ἐχέτω δή, ὡς νῦν φαμέν, μία ἰδέα ἐξ ἑκάστων τῶν συναρμοττόντων στοιχείων γιγνομένη ἡ συλλαβή, ὁμοίως ἔν τε γράμμασι καὶ ἐν τοῖς ἄλλοις ἅπασιν. Phaedr. 249 B. δεῖ γὰρ ἄνθρωπον ξυνιέναι κατ' εἶδος λεγόμενον, ἐκ πολλῶν ἰὸν αἰσθήσεων εἰς ἓν λογισμῷ ξυναιρούμενον. In quo tamen cavendum ne in animo tantum eius qui cogitat existere ideas putemus, quod ipse Plato negat Parmen. p. 132 B. Ἀλλὰ — μὴ τῶν εἰδῶν ἕκαστον ᾖ τούτων νόημα καὶ οὐδαμοῦ αὐτῷ προσήκῃ ἐγγίγνεσθαι ἄλλοθι ἢ ἐν ψυχαῖς: quam opinionem deinde ipse repudiat. Imo hoc quam maxime Platonis doctrina a Socratis distabat, quod ille ideas separatim a rebus existere docebat: quod ab Aristotele eo quem citavimus loco significatur verbis τὰ δ' αἰσθητὰ παρὰ ταῦτα, aliis vocabulo χωρίζειν, χωριστός, cf. Met. *M*, 4. ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλου οὐ χωριστὰ ἐποίει οὐδὲ τοὺς ὁρισμούς (v. supra n. 195), οἱ δ' ἐχώρισαν καὶ τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσαν. Ib. 9. τοῦτο (sc. τὸ καθόλου) ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον, cf. infra n. 255, not. b. Quapropter Plato imaginibus, ut assolet, rem persequens ideas tanquam in alio mundo existere, neque tam cogitari quam mente pura adspici, iisque omnium sensibilium causas atque rationes contineri et ipsas etiam vita et motu atque intellectu praeditas esse docet. — — {Hac in re Ritterum, Zellerum, Ueberwegium a recta interpretatione aberrasse, in libro *Stud. z. Gesch. d. Begr.* p. 138 et 255 ostendi. Platonem cave ne inter poetas tragicos vel inter philosophos vesanos numeres. Ideas non a rerum veritate sejungere vitaque ficticia vestire conatur, sed a falsa Megaricorum abstractione philosophiam revocat, idearum παρουσίαν in rerum natura docet, communionem cum rerum motu et mutabili fluvio ideis immutabilibus reddit. Cf. n. 254 not. ubi propius ad veritatem accedit Ritterus. — —} Cf. Phaedr. p. 247 C, Tim. p. 28 A, 51 D sqq., Phaed. p. 83 B, Sophist. p. 248 E (qui locus citatur infra n. 254), De Rep. VI, p. 509 D, VII, p. 517 B, al.: etenim ne Platonem ideas revera in loco aliquo posuisse opinemur recte monet Aristoteles Phys. III, 4. Πλάτων δὲ ἔξω (τοῦ οὐρανοῦ) μὲν οὐδὲν εἶναι σῶμα, οὐδὲ τὰς ἰδέας διὰ τὸ μηδέ που εἶναι αὐτάς. Cf. ib. IV, 2.

Πλάτωνι μέντοι λεκτέον —, διὰ τί οὐκ ἐν τόπῳ τὰ εἴδη καὶ οἱ ἀριθμοί. Restat ut tanquam divina et aeterna rerum exempla et exstent praeter res in sensus cadentes et insint atque operentur in mentibus et cogitationibus: quod significat Aristoteles de An. III, 4, 4. *καὶ εὖ δή οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν* etc., cf. infra n. 337, n. c. Omnibus autem ideis id commune est, ut *οὐσίαν* quandam contineant h. e. substantiam aliquam generalem et unam, quae cernitur in multis rebus extra existentibus: unde efficitur ut unaquaeque idea sit *ἓν ἐπὶ πολλῶν*, ut ait Arist. Met. *A*, 9, *M*, 4, et singulae appellentur *ἑνάδες* sive *μονάδες* ab ipso Platone Phileb. p. 15 A. B (n. 255), cf. De Rep. VI, p. 493 E. *αὐτὸ τὸ καλόν ἀλλὰ μὴ τὰ πολλὰ καλά, ἢ αὐτό τι ἕκαστον καὶ μὴ τὰ πολλὰ ἕκαστα.* Ib. p. 507 B. *πολλὰ καλὰ καὶ πολλὰ ἀγαθὰ καὶ ἕκαστα οὕτως εἶναί φαμεν —, καὶ αὐτὸ δὴ καλὸν καὶ αὐτὸ ἀγαθὸν καὶ οὕτω περὶ πάντων, ἃ τότε ὡς πολλὰ ἐτίθεμεν, πάλιν αὖ κατ' ἰδέαν μίαν ἑκάστου ὡς μιᾶς οὔσης τιθέντες ὃ ἔστιν ἕκαστον προσαγορεύομεν. — καὶ τὰ μὲν δὴ ὁρᾶσθαί φαμεν νοεῖσθαι δ' οὔ, τὰς δ' αὖ ἰδέας νοεῖσθαι μὲν ὁρᾶσθαι δ' οὔ*: quibus in locis *αὐτὸ καλόν, αὐτὸ ἀγαθὸν* vocatur quod aliis dicitur *τὸ αὐτὸ καθ' αὑτὸ* vel *αὐτὸ καθ' αὑτὸ ἕκαστον* h. e. substantia illa immutabilis cogitatione comprehendenda, quae subest rebus mutabilibus, cf. Phaedr. p. 237 B, Theaet. p. 201 E sqq., Conviv. p. 211 B, ubi ipsum pulchrum h. e. pulchri idea dicitur esse *αὐτὸ καθ' αὑτὸ μεθ' αὑτοῦ μονοειδὲς ἀεὶ ὄν, τὰ δὲ ἄλλα πάντα καλὰ ἐκείνου μετέχοντα τρόπον τινὰ τοιοῦτον, οἷον γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων μηδὲν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι μηδὲ πάσχειν μηδέν.* Neque tamen solum rerum graviorum atque speciosarum existere ideas putandum est, verum sunt omnium quotquot ad genera revocari possunt, etiam vilissimarum, ita ut numero sint plurimae atque diversissimae, cf. Parmen p. 130 C (n. 255, not. b), unde Arist. Met. *A*, 3 tot ideas esse dicit *ὁπόσα φύσει*. Excipiuntur nonnisi ea quae fiunt tantummodo et ad certam speciem nondum pervenerunt, v. Tim. p. 66 D. *περὶ δὲ δὴ τὴν τῶν μυκτήρων δύναμιν, εἴδη μὲν οὐκ ἔνι· τὸ γὰρ τῶν ὀσμῶν πᾶν ἡμιγενές, εἴδει δὲ οὐδενὶ ξυμβέβηκε ξυμμετρία πρὸς τό τινα ἔχειν ὀσμήν* etc. Cf. Arist. Met. *A*, 9, ubi etiam *τὰ πρός τι* et arte facta excipiuntur, de quibus v. Ritter *Gesch. d. Philos.* II, p. 301 ed. 2. Idem Aristoteles de argumentis, quibus Plato suam de ideis doctrinam inter discipulos munire solebat, explicatius disputaverat in libro deperdito *περὶ ἰδεῶν*, unde nonnulla servavit Alexander Aphrodis. ad Arist. Met. *A*, 9, v. Schol. Aristot. p. 564 sqq., Zeller *Platon. Studien* p. 232 sq.

252 Cratyl. p. 439 C. *Πότερον φῶμέν τι εἶναι αὐτὸ καλὸν καὶ ἀγαθὸν καὶ ἓν ἕκαστον τῶν ὄντων οὕτως, ἢ μή; ΚΡ. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. ΣΩ. Αὐτὸ τοίνυν ἐκεῖνο σκεψώμεθα, μὴ εἰ πρόσωπον τί ἐστι καλὸν ἢ τι τοιούτων, καὶ δοκεῖ ταῦτα πάντα ῥεῖν, ἀλλ' αὐτό, φῶμεν, τὸ καλὸν οὐ τοιοῦτον ἀεί ἐστιν οἷόν*

ἐστιν; ΚΡ. Ἀνάγκη. ΣΩ. Ἆρ᾽ οὖν οἷόν τε προσειπεῖν αὐτὸ ὀρθῶς, εἰ ἀεὶ ὑπεξέρχεται, πρῶτον μὲν ὅτι ἐκεῖνό ἐστιν, ἔπειτα ὅτι τοιοῦτον, ἢ ἀνάγκη ἅμα ἡμῶν λεγόντων ἄλλο αὐτὸ εὐθὺς γίγνεσθαι καὶ ὑπεξιέναι καὶ μηκέτι οὕτως ἔχειν; ΚΡ. Ἀνάγκη. ΣΩ. Πῶς οὖν ἂν εἴη τι ἐκεῖνο, ὃ μηδέποτε ὡσαύτως ἔχει; εἰ γάρ ποτε ὡσαύτως ἴσχει, ἔν γ᾽ ἐκείνῳ τῷ χρόνῳ δῆλον ὅτι οὐδὲν μεταβαίνει· εἰ δὲ ἀεὶ ὡσαύτως ἔχει καὶ τὸ αὐτό ἐστι, πῶς ἂν τοῦτό γε μεταβάλλοι ἢ κινοῖτο μηδὲν ἐξιστάμενον τῆς αὑτοῦ ἰδέας; ΚΡ. Οὐδαμῶς. ΣΩ. Ἀλλὰ μὴν οὐδ᾽ ἂν γνωσθείη γε ὑπ᾽ οὐδενός. ἅμα γὰρ ἂν ἐπιόντος τοῦ γνωσομένου ἄλλο καὶ ἀλλοῖον γίγνοιτο, ὥστε οὐκ ἂν γνωσθείη ἔτι ὁποῖόν γε τί ἐστιν ἢ πῶς ἔχον· γνῶσις δὲ δή που οὐδεμία γιγνώσκει ὃ γιγνώσκει μηδαμῶς ἔχον. ΚΡ. Ἔστιν ὡς λέγεις. ΣΩ. Ἀλλ᾽ οὐδὲ γνῶσιν εἶναι φάναι εἰκός, ὦ Κρατύλε, εἰ μεταπίπτει πάντα χρήματα καὶ μηδὲν μένει. εἰ μὲν γὰρ αὐτὸ τοῦτο, ἡ γνῶσις, τοῦ γνῶσις εἶναι μὴ μεταπίπτει, μένοι τε ἂν ἀεὶ ἡ γνῶσις καὶ εἴη γνῶσις· εἰ δὲ καὶ αὐτὸ τὸ εἶδος μεταπίπτει τῆς γνώσεως, ἅμα τ᾽ ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνώσεως καὶ οὐκ ἂν εἴη γνῶσις· εἰ δὲ ἀεὶ μεταπίπτει, ἀεὶ οὐκ ἂν εἴη γνῶσις. καὶ ἐκ τούτου τοῦ λόγου οὔτε τὸ γνωσόμενον οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. εἰ δὲ ἔστι μὲν ἀεὶ τὸ γιγνῶσκον, ἔστι δὲ τὸ γιγνωσκόμενον, ἔστι δὲ τὸ καλόν, ἐστι δὲ τὸ ἀγαθόν, ἔστι δὲ ἕν ἕκαστον τῶν ὄντων, οὔ μοι φαίνεται ταῦτα ὅμοια ὄντα, ἃ νῦν ἡμεῖς λέγομεν, ῥοῇ οὐδὲν οὐδὲ φορᾷ.

In hoc igitur dissensit ab Heracliteis, quippe qui omnia sempiterno fluxu agitari, nihil unquam consistere docebant, v. n. 26 not. Sunt atque consistunt ea quae cognoscuntur: quod probatur vel ipsa cognitionis notione et facultate, quum, nisi existerent quae cognosci possent, omnino nulla essst cognitio neque scientia, cf. Sophist. p. 249 B. *Καὶ μὴν ἐὰν αὖ φερόμενα καὶ κινούμενα πάντ᾽ εἶναι συγχωρῶμεν, καὶ τούτῳ τῷ λόγῳ ταὐτὸν τοῦτο ἐκ τῶν ὄντων ἐξαιρήσομεν. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως καὶ περὶ τὸ αὐτὸ δοκεῖ σοι χωρὶς στάσεως γενέσθαι ποτ᾽ ἄν; ΘΕΑΙ. Οὐδαμῶς. ΞΕ. Τί δ᾽; ἄνευ τούτων νοῦν καθορᾷς ὄντα ἢ γενόμενον ἂν καὶ ὁπουοῦν; ΘΕΑΙ. Ἥκιστα. ΞΕ. Καὶ μὴν πρός γε τοῦτον παντὶ λόγῳ μαχετέον, ὃς ἂν ἐπιστήμην ἢ φρόνησιν ἢ νοῦν ἀφανίζων ἰσχυρίζηται περί τινος ὁπηοῦν. ΘΕΑΙ. Σφόδρα γε.* Adde De Rep. V, p. 476 E, qui locus citatur supra n. 246. Neque quidquam nostris opinionibus illa *ὄντα* afficiuntur, sed semper sibi ipsis constant neque naturam suam mutant, quod contra Protagoram monet Cratyl. p. 386 D. *Οὐκοῦν εἰ μήτε πᾶσι πάντα ἐστὶν ὁμοίως ἅμα καὶ ἀεί, μήτε ἑκάστῳ ἰδίᾳ*

ἕκαστον τῶν ὄντων ἔστι, δῆλον δὴ ὅτι αὐτὰ αὑτῶν οὐσίαν ἔχοντά τινα βέβαιόν ἐστι τὰ πράγματα, οὐ πρός ἡμᾶς οὐδὲ ὑφ' ἡμῶν, ἑλκόμενα ἄνω καὶ κάτω τῷ ἡμετέρῳ φαντάσματι, ἀλλὰ καθ' αὑτὰ πρὸς τὴν αὑτῶν οὐσίαν ἔχοντα ᾗπερ πέφυκεν. Cognoscuntur autem arte dialectica, quae spretis sensibus solam rationem sequitur et est *τῶν ὄντως φιλοσοφούντων*, v. Phileb. p. 57 D sqq. *τὴν γὰρ περὶ τὸ ὂν καὶ τὸ ὄντως καὶ τὸ κατὰ ταὐτὸν ἀεὶ πεφυκὸς πάντως ἔγωγε οἶμαι ἡγεῖσθαι ξύμπαντας, ὅσοις νοῦ καὶ σμικρὸν προσήρτηται, μακρῷ ἀληθεστάτην εἶναι γνῶσιν.* De Rep. VII, p. 532 A. *οὕτω καὶ ὅταν τις τῷ διαλέγεσθαι ἐπιχειρῇ, ἄνευ πασῶν τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὃ ἔστιν ἕκαστον ὁρμᾷ, κἂν μὴ ἀποστῇ, πρὶν ἂν αὐτὸ ὃ ἔστιν ἀγαθὸν αὐτῇ νοήσει λάβῃ, ἐπ' αὐτῷ γίγνεται τῷ τοῦ νοητοῦ τέλει. — — Τί οὖν; οὐ διαλεκτικὴν ταύτην τὴν πορείαν καλεῖς;* Cf. n. 247.

253 Theaet. p. 189 E. *ΣΩ. Τὸ δὲ διανοεῖσθαι ἆρ' ὅ περ ἐγὼ καλεῖς; ΘΕΑΙ. Τί καλῶν; ΣΩ. Λόγον ὃν αὐτὴ πρὸς αὑτὴν ἡ ψυχὴ διεξέρχεται περὶ ὧν ἂν σκοπῇ· ὡς γε μὴ εἰδώς σοι ἀποφαίνομαι. τοῦτο γάρ μοι ἐνδάλλεται διανοουμένη οὐκ ἄλλο τι ἢ διαλέγεσθαι, αὐτὴ ἑαυτὴν ἐρωτῶσα καὶ ἀποκρινομένη, καὶ φάσκουσα καὶ οὐ φάσκουσα. ὅταν δὲ ὁρίσασα, εἴτε βραδύτερον εἴτε καὶ ὀξύτερον ἐπαΐξασα, τὸ αὐτὸ ἤδη φῇ καὶ μὴ διστάζῃ, δόξαν ταύτην τίθεμεν αὐτῆς. ὥστ' ἔγωγε τὸ δοξάζειν λέγειν καλῶ καὶ τὴν δόξαν λόγον εἰρημένον, οὐ μέντοι πρὸς ἄλλον οὐδὲ φωνῇ, ἀλλὰ σιγῇ πρὸς αὑτόν. σὺ δὲ τί; ΘΕΑΙ. Κἀγώ*[a]. Soph. p. 261 E. *ΞΕ. Ἔστι γὰρ ἡμῖν που τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος. ΘΕΑΙ. Πῶς; ΞΕ. Τὸ μὲν ὀνόματα, τὸ δὲ ῥήματα κληθέν. ΘΕΑΙ. Εἰπὲ ἑκάτερον. ΞΕ. Τὸ μὲν ἐπὶ ταῖς πράξεσιν ὂν δήλωμα ῥῆμά που λέγομεν. ΘΕΑΙ. Ναί. ΞΕ. Τὸ δέ γ' ἐπ' αὐτοῖς τοῖς ἐκεῖνα πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν ὄνομα. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν. ΞΕ. Οὐκοῦν ἐξ ὀνομάτων μὲν μόνων συνεχῶς λεγομένων οὐκ ἔστι ποτὲ λόγος, οὐδ' αὖ ῥημάτων χωρὶς ὀνομάτων λεχθέντων. ΘΕΑΙ. Ταῦτ' οὐκ ἔμαθον. ΞΕ. Δῆλον γὰρ ὡς πρὸς ἕτερόν τι βλέπων ἄρτι ξυνωμολόγεις, ἐπεὶ ταῦτ' αὐτὸ ἐβουλόμην εἰπεῖν, ὅτι συνεχῶς ὧδε λεγόμενα ταῦτα οὐκ ἔστι λόγος. ΘΕΑΙ. Πῶς; ΞΕ. Οἷον βαδίζει τρέχει καθεύδει καὶ τἆλλα ὅσα πράξεις σημαίνει ῥήματα, κἂν πάντα τις ἐφεξῆς αὖτ' εἴπῃ, λόγον οὐδέν τι μᾶλλον ἀπεργάζεται. ΘΕΑΙ. Πῶς γάρ; ΞΕ. Οὐκοῦν καὶ πάλιν ὅταν λέγηται λέων ἔλαφος ἵππος, ὅσα τε ὀνόματα τῶν τὰς πράξεις αὖ πραττόντων ὠνομάσθη, καὶ κατὰ ταύτην δὴ τὴν*

συνέχειαν οὐδείς πω ξυνέστη λόγος· οὐδεμίαν γὰρ οὔτε οὕτως οὔτ' ἐκείνως πρᾶξιν οὐδ' ἀπραξίαν οὐδὲ οὐσίαν ὄντος οὐδὲ μὴ ὄντος δηλοῖ τὰ φωνηθέντα, πρὶν ἄν τις τοῖς ὀνόμασι τὰ ῥήματα κεράσῃ. τότε δ' ἥρμοσέ τε καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, σχεδὸν τῶν λόγων ὁ πρῶτος καὶ σμικρότατος. ΘΕΑΙ. Πῶς ἆρ' ὧδε λέγεις; ΞΕ. Ὅταν εἴπῃ τις ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον; ΘΕΑΙ. Ἔγωγε. ΞΕ. Δηλοῖ γὰρ ἤδη που τότε περὶ τῶν ὄντων ἢ γιγνομένων ἢ γεγονότων ἢ μελλόντων, καὶ οὐκ ὀνομάζει μόνον, ἀλλά τι περαίνει, συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι. διὸ λέγειν τε αὐτὸν ἀλλ' οὐ μόνον ὀνομάζειν εἴπομεν, καὶ δὴ καὶ τῷ πλέγματι τούτῳ τὸ ὄνομα ἐφθεγξάμεθα λόγον. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Οὕτω δὴ καθάπερ τὰ πράγματα τὰ μὲν ἀλλήλοις ἥρμοττε τὰ δ' οὔ, καὶ περὶ τὰ τῆς φωνῆς αὖ σημεῖα τὰ μὲν οὐχ ἁρμόττει, τὰ δὲ ἁρμόττοντα αὐτῶν λόγον ἀπειργάσατο. ΘΕΑΙ. Παντάπασι μὲν οὖν[b]. Ib. p. 237 D. *Καὶ τοῦτο ἡμῖν που φανερόν, ὡς καὶ τὸ τί τοῦτο ῥῆμα ἐπ' ὄντι λέγομεν ἑκάστοτε· μόνον γὰρ αὐτὸ λέγειν, ὥσπερ γυμνὸν καὶ ἀπηρημωμένον ἀπὸ τῶν ὄντων ἁπάντων, ἀδύνατον· ἦ γάρ; ΘΕΑΙ. Ἀδύνατον. ΞΕ. Ἆρα τῇδε σκοπῶν ξύμφης ὡς ἀνάγκη τόν τι λέγοντα ἕν γέ τι λέγειν; ΘΕΑΙ. Οὕτως. ΞΕ. Ἑνὸς γὰρ δὴ τό γε τὶ φήσεις σημεῖον εἶναι, τὸ δὲ τινὲ δυοῖν, τὸ δὲ τινὲς πολλῶν. ΘΕΑΙ. Πῶς γὰρ οὔ;*[c]

a) Quod eloquimur ad eandem rationem revocandum est atque id quod cogitamus, nam cogitatio nihil aliud est nisi sermo non prolatus, Sophist. p. 263 E. *Οὐκοῦν διάνοια μὲν καὶ λόγος ταὐτόν· πλὴν ὁ μὲν ἐντὸς τῆς ψυχῆς πρὸς αὑτὴν διάλογος ἄνευ φωνῆς γιγνόμενος τοῦτ' αὐτὸ ἡμῖν ἐπωνομάσθη, διάνοια; ΘΕΑΙ. Πάνυ μὲν οὖν. ΞΕ. Τὸ δέ γ' ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος ἰὸν μετὰ φθόγγου κέκληται λόγος; ΘΕΑΙ. Ἀληθῆ.* Sequitur ut elementa cogitationis deprehendantur in sermone, et ut ars dialectica cum in ideis atque notionibus recte copulandis dividendisque cernatur, tum in vocabulis recte usurpandis atque consociandis, v. Cratyl. p. 390 C. *Τὸν δὲ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι ἐπιστάμενον ἄλλο τι σὺ καλεῖς ἢ διαλεκτικόν; — Νομοθέτου δέ γε, ὡς ἔοικεν, ὄνομα ἐπιστάτην ἔχοντος διαλεκτικὸν ἄνδρα, εἰ μέλλει καλῶς ὀνόματα θήσεσθαι.* Quamquam in vocabulorum significationibus non solum rerum naturam, sed etiam usum et casum multum valere existimabat, Cratyl. p. 435 C. *ἐμοὶ μὲν οὖν καὶ αὐτῷ ἀρέσκει μὲν κατὰ τὸ δυνατὸν ὅμοια εἶναι τὰ ὀνόματα τοῖς πράγμασιν. ἀλλὰ μὴ ὡς ἀληθῶς, τὸ τοῦ Ἑρμογένους, γλίσχρα ᾖ ἡ ὁλκὴ αὕτη τῆς ὁμοιότητος, ἀναγκαῖον δὲ ᾖ καὶ τῷ φορτικῷ*

τούτῳ προσχρῆσθαι, τῇ ξυνθήκῃ, εἰς ὀνομάτων ὀρθότητα. Ib. p. 436 B. δῆλον ὅτι ὁ θέμενος πρῶτος τὰ ὀνόματα, οἷα ἡγεῖτο εἶναι τὰ πράγματα, τοιαῦτα ἐτίθετο καὶ τὰ ὀνόματα. — εἰ οὖν ἐκεῖνος μὴ ὀρθῶς ἡγεῖτο, ἔθετο δὲ οἷα ἡγεῖτο, τί οἴει ἡμᾶς τοὺς ἀκολουθοῦντας αὐτῷ πείσεσθαι; ἄλλο τι ἢ ἐξαπατηθήσεσθαι; — **b)** Plato primus inter praecipuas orationis partes recte distinxisse videtur, v. Classen Gr. Gr. prim. p. 45 sqq. Ὄνομα est quicquid nomine suo propriam naturam indicat, ῥῆμα id quo de actionibus rei aliquid enuntiatur. Unde simul colligitur, quod contra Eleaticos summo studio contendere solet, non solum Unum esse, sed multas ideas esse, quae vario modo inter se copulentur copulataeque enuntiatum efficiant, cf. quod ait in extremis: καθάπερ τὰ πράγματα τὰ μὲν ἀλλήλοις ἤρμοττε etc., Sophist. p. 253 sqq. 259 E. τελεωτάτη πάντων λόγων ἐστὶν ἀφάνισις τὸ διαλύειν ἕκαστον ἀπὸ πάντων διὰ γὰρ τὴν ἀλλήλων τῶν εἰδῶν συμπλοκὴν ὁ λόγος γέγονεν ἡμῖν. — **c)** Etiam haec eodem redeunt, ut vel loquendo multas res et multas ideas esse comprobetur. Id quod alio loco sic concludit, ut diversis nominibus diversas scilicet res indicari coarguat. Veluti Unum ab ipsis Eleaticis diversis nominibus appellari (ἕν, ὄν etc.); quin etiam nomen Unius ab ipso Uno diversum esse, ut duo saltem existere debeant, nomen Unius et ipsum Unum, Sophist. p. 244 C. ΞΕ. Τό τε δύο ὀνόματα ὁμολογεῖν εἶναι μηδὲν θέμενον πλὴν ἓν καταγέλαστόν που. ΘΕΑΙ. Πῶς δ' οὔ; ΞΕ. Καὶ τὸ παράπαν γε ἀποδέχεσθαι τοῦ λέγοντος ὡς ἔστιν ὄνομά τι, λόγον οὐκ ἂν ἔχον. ΘΕΑΙ. Πῇ; ΞΕ. Τιθεὶς τε τοὔνομα τοῦ πράγματος ἕτερον δύο λέγει πού τινε. ΘΕΑΙ. Ναί. ΞΕ. Καὶ μὴν ἂν ταὐτόν γε αὐτῷ τιθῇ τοὔνομα, ἢ μηδενὸς ὄνομα ἀναγκασθήσεται λέγειν· εἰ δέ τινος αὐτὸ φήσει, συμβήσεται τὸ ὄνομα ὀνόματος ὄνομα μόνον, ἄλλου δὲ οὐδενὸς ὄν. ΘΕΑΙ. Οὕτως. ΞΕ. Καὶ τὸ ἕν γε, ἑνὸς ἓν ὂν μόνον, καὶ τοῦτο ὀνόματος αὖ τὸ ἓν ὄν. ΘΕΑΙ. Ἀνάγκη.

254 Sophist. p. 248 E. Τὸ δὲ γιγνώσκειν εἴπερ ἔσται ποιεῖν τι, τὸ γιγνωσκόμενον ἀναγκαῖον αὖ ξυμβαίνει πάσχειν, ὥστε τὴν οὐσίαν δὴ κατὰ τὸν λόγον τοῦτον γιγνωσκομένην ὑπὸ τῆς γνώσεως, καθ' ὅσον γιγνώσκεται, κατὰ τοσοῦτον κινεῖσθαι διὰ τὸ πάσχειν, ὃ δή φαμεν οὐκ ἂν γενέσθαι περὶ τὸ ἠρεμοῦν. ΘΕΑΙ. Ὀρθῶς. ΞΕ. Τί δὲ πρὸς Διός; ὡς ἀληθῶς κίνησιν καὶ ζωὴν καὶ ψυχὴν καὶ φρόνησιν ἢ ῥᾳδίως πεισθησόμεθα τῷ παντελῶς ὄντι μὴ παρεῖναι, μηδὲ ζῇν αὐτὸ μηδὲ φρονεῖν, ἀλλὰ σεμνὸν καὶ ἅγιον, νοῦν οὐκ ἔχον, ἀκίνητον ἑστὸς εἶναι; ΘΑΕΙ. Δεινὸν μέντ' ἄν, ὦ ξένε, λόγον συγχωροῖμεν. ΞΕ. Ἀλλὰ νοῦν μὲν ἔχειν, ζωὴν δὲ μὴ φῶμεν; ΘΕΑΙ. Καὶ πῶς; ΞΕ. Ἀλλὰ ταῦτα μὲν ἀμφότερα ἐνόντ' αὐτῷ λέγομεν, οὐ μὴν ἐν ψυχῇ γε φήσομεν αὐτὸ ἔχειν αὐτά; ΘΕΑΙ. Καὶ τίν' ἂν ἕτερον ἔχοι τρόπον; ΞΕ. Ἀλλὰ δῆτα νοῦν μὲν καὶ ζωὴν καὶ ψυχήν, ἀκίνητον μέντοι

τὸ παράπαν ἔμψυχον ὂν ἑστάναι; ΘΕΑΙ. Πάντα ἔμοιγε ἄλογα ταῦτ᾽ εἶναι φαίνεται. ΞΕ. Καὶ τὸ κινούμενον δὴ καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. ΘΕΑΙ. Πῶς δ᾽ οὔ. ΞΕ. Ξυμβαίνει δ᾽ οὖν, ὦ Θεαίτητε, ἀκινήτων τε ὄντων νοῦν μηδενὶ περὶ μηδενὸς εἶναι μηδαμοῦ. ΘΕΑΙ. Κομιδῇ μὲν οὖν.

Etiam haec adversus Eleatas disputantur et praeter eos adversus Megaricos, qui esse quidem revera nonnisi ea quae cognoscerentur docebant, sed non moveri ea, imo quiescere et quasi torpere statuebant, ut nihil inde neque scientia neque mores hominum proficere viderentur, v. supra n. 223. Contra Plato suas ideas non solum esse, sed vivere etiam et mente atque intellectu vigere existimabat, omninoque esse inter eas atque res existentes et hominum cogitata communionem quandam reciprocam, modo ne omnia moveri cum Heraclito putemus, cf. n. 252. — {Cf. quae monui ad n. 251 c.} — Unde orationem suam p. 249 C concludit hisce: *τῷ δὴ φιλοσόφῳ — ἀνάγκη διὰ ταῦτα μήτε τῶν ἓν ἢ καὶ τὰ πολλὰ εἴδη λεγόντων τὸ πᾶν ἑστηκὸς ἀποδέχεσθαι, τῶν τε αὖ πανταχῇ τὸ ὂν κινούντων μηδὲ τὸ παράπαν ἀκούειν, ἀλλὰ κατὰ τὴν τῶν παίδων εὐχήν, ὅσα ἀκίνητα καὶ κεκινημένα, τὸ ὂν τε καὶ τὸ πᾶν ξυναμφότερα λέγειν.* Porro et ipsas ideas vel consentire inter se vel dissentire et dissociabiles esse docebat, summasque vel maximas ideas vocabat eas quae cum plurimis consociare possent, velut in sermone vocales prae ceteris litteris habeant vim copulandi, cf. Sophist. p. 254 C. *Ὅτ᾽ οὖν δὴ τὰ μὲν ἡμῖν τῶν γενῶν ὡμολόγηται κοινωνεῖν ἐθέλειν ἀλλήλοις τὰ δὲ μή, καὶ τὰ μὲν ἐπ᾽ ὀλίγον τὰ δ᾽ ἐπὶ πολλὰ τὰ δὲ καὶ διὰ πάντων οὐδὲν κωλύειν τοῖς πᾶσι κεκοινωνηκέναι, τὸ δὴ μετὰ τοῦτο ξυνεπισπώμεθα τῷ λόγῳ τῇδε σκοποῦντες, μὴ περὶ πάντων τῶν εἰδῶν, ἵνα μὴ ταραττώμεθα ἐν πολλοῖς, ἀλλὰ προελόμενοι τῶν μεγίστων λεγομένων ἄττα, πρῶτον μὲν ποῖα ἕκαστά ἐστιν, ἔπειτα κοινωνίας ἀλλήλων πῶς ἔχει δυνάμεως*: ubi tales ideas deinde esse demonstrat potissimum hasce, *ὄν καὶ μὴ ὄν, κίνησιν καὶ στάσιν, ταὐτὸν καὶ θάτερον*, cf. Trendelenburg *Gesch. d. Kategor.*, p. 205 sq. Qua in demonstratione gravissimum est illud, quod contra Eleaticos etiam *μὴ ὄν* esse et ideam esse evincit eamque ad omnem idearum communionem omnemque dialecticae usum quam latissime patentem, Sophist. p. 256 E. *περὶ ἕκαστον ἄρα τῶν εἰδῶν πολὺ μέν ἐστι τὸ ὄν, ἄπειρον δὲ πλήθει τὸ μὴ ὄν.* Distinguendum enim esse inter *τὰ μὴ ὄντα* h. e. res sensibus apparentes, quae revera non sint, cum ad certam notionis ac scientiae speciem informari nequeant, et inter illud quod cogitetur atque enuntietur non ens: quod vel ex ipsa entis notione satis certa conclusione colligi posse demonstrat. Unumquodque enim ens non esse id quod ab eo diversum sit: esse igitur non ens, non illud quidem oppositum enti, verum id quod in quaque re diversum sit ab eo, quo censeatur substantia reliquarum, ib. p. 257 B sqq. 258 D. *τὴν γὰρ θατέρου φύσιν ἀποδείξαντες οὐσάν τε καὶ κατακεκερματισμένην ἐπὶ πάντα τὰ ὄντα πρὸς ἄλληλα, τὸ πρὸς τὸ ὂν ἕκαστον μόριον αὐτῆς ἀντιτιθέμενοι ἐτολμή-*

σαμεν εἰπεῖν ὡς αὐτὸ τοῦτό ἐστιν ὄντως τὸ μὴ ὄν. — Μὴ τοίνυν ἡμᾶς εἴπῃ τις ὅτι τοὐναντίον τοῦ ὄντος τὸ μὴ ὂν ἀποφαινόμενοι τολμῶμεν λέγειν ὡς ἔστιν. ἡμεῖς γὰρ περὶ μὲν ἐναντίου τινὸς αὐτῷ χαίρειν πάλαι λέγομεν, εἴτ' ἔστιν εἴτε μή, λόγον ἔχον ἢ καὶ παντάπασιν ἄλογον· ὃ δὲ νῦν εἰρήκαμεν, εἶναι τὸ μὴ ὄν, ἢ πεισάτω τις ὡς οὐ καλῶς λέγομεν, ἐλέγξας, ἢ μέχρι περ ἂν ἀδυνατῇ λεκτέον καὶ ἐκείνῳ καθάπερ ἡμεῖς λέγομεν, ὅτι συμμίγνυταί τε ἀλλήλοις τὰ γένη καὶ τό τε ὂν καὶ θάτερον διὰ πάντων καὶ δι' ἀλλήλων διεληλυθότα τὸ μὲν ἕτερον μετασχὸν τοῦ ὄντος ἔστι μὲν διὰ ταύτην τὴν μέθεξιν, οὐ μὴν ἐκεῖνό γε οὗ μετέσχεν ἀλλ' ἕτερον, ἕτερον δὲ τοῦ ὄντος ὂν ἔστι σαφέστατα ἐξ ἀνάγκης εἶναι μὴ ὄν· τὸ δὲ ὂν αὖ θατέρου μετειληφὸς ἕτερον τῶν ἄλλων ἂν εἴη γενῶν, ἕτερον δ' ἐκείνων ἁπάντων ὂν οὐκ ἔστιν ἕκαστον αὐτῶν οὐδὲ ξύμπαντα τὰ ἄλλα πλὴν αὐτό· ὥστε τὸ ὂν ἀναμφισβητήτως αὖ μυρία ἐπὶ μυρίοις οὐκ ἔστι, καὶ τἆλλα δὴ καθ' ἕκαστον οὕτω καὶ ξύμπαντα πολλαχῇ μὲν ἔστι πολλαχῇ δ' οὐκ ἔστιν.

255 Phileb. p. 14 C. Τοῦτον τοίνυν τὸν λόγον ἔτι μᾶλλον δι' ὁμολογίας βεβαιωσώμεθα. ΠΡΩ. Τὸν ποῖον δή; ΣΩ. Τὸν πᾶσι παρέχοντα ἀνθρώποις πράγματα ἐκοῦσί τε καὶ ἄκουσιν ἐνίοις καὶ ἐνίοτε. ΠΡΩ. Λέγε σαφέστερον. ΣΩ. Τὸν νῦν δὴ παραπεσόντα λέγω φύσει πως πεφυκότα θαυμαστόν· ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι καὶ τὸ ἓν πολλὰ θαυμαστὸν λεχθέν, καὶ ῥᾴδιον ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ. — (Λέγω δὲ) ὁπόταν τὸ ἓν μὴ τῶν γιγνομένων τε καὶ ἀπολλυμένων τις τιθῆται, καθάπερ ἀρτίως ἡμεῖς εἴπομεν, ἐνταυθοῖ μὲν γὰρ καὶ τὸ τοιοῦτον ἕν, ὅπερ εἴπομεν νῦν δή, συγκεχώρηται τὸ μὴ δεῖν ἐλέγχειν[a]· ὅταν δέ τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα καὶ τὸ καλὸν ἓν καὶ τὸ ἀγαθὸν ἕν, περὶ τούτων τῶν ἑνάδων καὶ τῶν τοιούτων ἡ πολλὴ ἀμφισβήτησις γίγνεται. ΠΡΩ. Πῶς; ΣΩ. Πρῶτον μὲν εἴ τινας δεῖ τοιαύτας εἶναι μονάδας ὑπολαμβάνειν ἀληθῶς οὔσας· εἶτα πῶς αὖ ταύτας, μίαν ἑκάστην οὖσαν ἀεὶ τὴν αὐτὴν καὶ μήτε γένεσιν μήτε ὄλεθρον προσδεχομένην, ὅμως εἶναι βεβαιότατα μίαν ταύτην· μετὰ δὲ τοῦτ' ἐν τοῖς γιγνομένοις αὖ καὶ ἀπείροις εἴτε διεσπασμένην καὶ πολλὰ γεγονυῖαν θετέον, εἶθ' ὅλην αὐτὴν αὑτῆς χωρίς, ὃ δὴ πάντων ἀδυνατώτατον φαίνοιτ' ἄν, ταὐτὸν καὶ ἓν ἅμα ἐν ἑνί τε καὶ πολλοῖς γίγνεσθαι[b]. Ib. p. 15 D. Φαμέν που ταὐτὸν ἓν καὶ πολλὰ ὑπὸ λόγων γιγνόμενα περιτρέχειν πάντῃ καθ' ἕκαστον τῶν λεγομένων ἀεὶ καὶ πάλαι καὶ νῦν, καὶ τοῦτο οὔτε μὴ παύσηταί ποτε οὔτε ἤρξατο νῦν, ἀλλ' ἔστι τὸ τοιοῦτον, ὡς ἐμοὶ φαίνεται, τῶν λόγων αὐτῶν ἀθάνατόν τι καὶ ἀγήρων πάθος ἐν ἡμῖν. ὁ δὲ πρῶτον αὐτοῦ

γευσάμενος ἑκάστοτε τῶν νέων, ἡσθεὶς ὡς τινα σοφίας εὑρηκὼς θησαυρόν, ὑφ' ἡδονῆς ἐνθουσιᾷ τε καὶ πάντα κινεῖ λόγον ἄσμενος, τοτὲ μὲν ἐπὶ θάτερα κυκλῶν καὶ συμφυρῶν εἰς ἕν; τοτέ δὲ πάλιν ἀνειλίττων καὶ διαμερίζων[c]. Ib. p. 16 B. Οὐ μὴν ἔστι καλλίων ὁδὸς οὐδ' ἂν γένοιτο, ἧς ἐγὼ ἐραστὴς μέν εἰμι ἀεί, πολλάκις δέ με ἤδη διαφυγοῦσα ἔρημον καὶ ἄπορον κατέστησεν. ΠΡΩ. Τίς αὕτη; λεγέσθω μόνον. ΣΩ. Ἣν δηλῶσαι μὲν οὐ πάνυ χαλεπόν, χρῆσθαι δὲ παγχάλεπον· πάντα γὰρ ὅσα τέχνης ἐχόμενα ἀνευρέθη πώποτε, διὰ ταύτης φανερὰ γέγονε. σκόπει δὲ ἣν λέγω. ΠΡΩ. Λέγε μόνον. ΣΩ. Θεῶν μὲν εἰς ἀνθρώπους δόσις, ὡς γε καταφαίνεται ἐμοί, ποθὲν ἐκ θεῶν ἐρρίφη διά τινος Προμηθέως ἅμα φανοτάτῳ τινὶ πυρί· καὶ οἱ μὲν παλαιοί, κρείττονες ἡμῶν καὶ ἐγγυτέρω θεῶν οἰκοῦντες, ταύτην φήμην παρέδοσαν, ὡς ἐξ ἑνὸς μὲν καὶ ἐκ πολλῶν ὄντων τῶν ἀεὶ λεγομένων εἶναι, πέρας δὲ καὶ ἀπειρίαν ἐν ἑαυτοῖς ξύμφυτον ἐχόντων[d]. δεῖν οὖν ἡμᾶς τούτων οὕτω διακεκοσμημένων ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν· εὑρήσειν γὰρ ἐνοῦσαν. ἐὰν οὖν μεταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσί, σκοπεῖν, εἰ δὲ μή, τρεῖς ἢ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων*) ἕκαστον πάλιν ὡσαύτως, μέχρι περ ἂν τὸ κατ' ἀρχὰς ἓν μὴ ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα· τὴν δὲ τοῦ ἀπείρου ἰδέαν πρὸς τὸ πλῆθος μὴ προσφέρειν, πρὶν ἄν τις τὸν ἀριθμὸν αὐτοῦ πάντα κατίδῃ τὸν μεταξὺ τοῦ ἀπείρου τε καὶ τοῦ ἑνός· τότε δ' ἤδη τὸ ἓν ἕκαστον τῶν πάντων εἰς τὸ ἄπειρον μεθέντα χαίρειν ἐᾶν. οἱ μὲν οὖν θεοί, ὅπερ εἶπον, οὕτως ἡμῖν παρέδοσαν σκοπεῖν καὶ μανθάνειν καὶ διδάσκειν ἀλλήλους· οἱ δὲ νῦν τῶν ἀνθρώπων σοφοὶ ἓν μέν, ὅπως ἂν τύχωσι, καὶ πολλὰ θᾶττον καὶ βραδύτερον ποιοῦσι τοῦ δέοντος, μετὰ δὲ τὸ ἓν ἄπειρα εὐθύς· τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει, οἷς διακεχώρισται τό τε διαλεκτικῶς πάλιν καὶ τὸ ἐριστικῶς ἡμᾶς ποιεῖσθαι πρὸς ἀλλήλους τοὺς λόγους[e].

a) *Τὰ γιγνόμενα καὶ ἀπολλύμενα* sunt res adspectabiles atque mutabiles. Non in illis quaerendum esse *τὸ ἓν καὶ πολλὰ*, veluti si quis comparaverit quendam hominem et multos homines, verum in ideis, *ὅταν τις ἕνα ἄνθρωπον ἐπιχειρῇ τίθεσθαι καὶ βοῦν ἕνα καὶ τὸ καλὸν ἕν* etc., de quibus quo sensu dicatur illud *ἓν καὶ πολλὰ*, patebit ex exemplis

*) Ast et Stallbaum *ἐν ἐκείνῳ*.

supra allatis n. 251, not. c. — **b)** Eaedem dubitationes moventur Parmen. p. 130 A sqq., ubi Parmenides Socrati ideas statuenti adversaturus quaerit: *αὐτὸς σὺ οὕτω διῄρεσαι ὡς λέγεις, χωρὶς μὲν εἴδη αὐτὰ ἅττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα; καὶ τί σοι δοκεῖ εἶναι αὐτὴ ὁμοιότης χωρὶς ἧς ἡμεῖς ὁμοιότητος ἔχομεν* (h. e. videtur tibi aliquid esse ipsa per se similitudo s. idea similitudinis seiuncta ab ea quam nos habemus similitudine?) *καὶ ἓν δὴ καὶ πολλὰ καὶ πάντα ὅσα νῦν δὴ Ζήνωνος ἤκουες; Ἔμοιγε, φάναι τὸν Σωκράτη. Ἦ καὶ τὰ τοιάδε, εἰπεῖν τὸν Παρμενίδην, οἷον δικαίου τι εἶδος αὐτὸ καθ' αὑτὸ καὶ καλοῦ καὶ ἀγαθοῦ πάντων αὖ τῶν τοιούτων; Ναί, φάναι. Τί δ', ἀνθρώπου εἶδος χωρὶς ἡμῶν καὶ τῶν οἷοι ἡμεῖς ἐσμὲν πάντων, αὐτό τι εἶδος ἀνθρώπου ἢ πυρὸς ἢ καὶ ὕδατος; Ἐν ἀπορίᾳ, φάναι, πολλάκις δή, ὦ Παρμενίδη, περὶ αὐτῶν γέγονα, πότερα χρὴ φάναι ὥσπερ περὶ ἐκείνων ἢ ἄλλως. Ἦ καὶ περὶ τῶνδε, ᾧ Σώκρατες, ἃ καὶ γελοῖα δόξειεν ἂν εἶναι, οἷον θρὶξ καὶ πηλὸς καὶ ῥύπος ἢ ἄλλο ὅ τι ἀτιμότατόν τε καὶ φαυλότατον, ἀπορεῖς εἴτε χρὴ φάναι καὶ τούτων ἑκάστου εἶδος εἶναι χωρίς, ὃν ἄλλο αὐτῶν ὧν ἡμεῖς μεταχειριζόμεθα, εἴτε καὶ μή; Οὐδαμῶς, φάναι τὸν Σωκράτη, ἀλλὰ ταῦτα μέν γε, ἅπερ ὁρῶμεν, ταῦτα καὶ εἶναι, εἶδος δέ τι αὐτῶν οἰηθῆναι εἶναι μὴ λίαν ᾖ ἄτοπον. ἤδη μέντοι ποτέ με καὶ ἔθραξε μή τι ᾖ περὶ πάντων ταὐτόν· ἔπειτα ὅταν ταύτῃ στῶ, φεύγων οἴχομαι, δείσας μή ποτε εἰς τιν' ἄβυθον φλυαρίαν ἐμπεσὼν διαφθαρῶ.* Cf. Stallbaum in Proleg. ed. Lips. 1839, p. 43 sqq. — **c)** Verbis *ἓν καὶ πολλὰ ὑπὸ λόγων ταὐτὸν γιγνόμενα* significatur ea disserendi ars, qua efficitur ut unum et multa eodem redeant h. e. ut genera in partes dividantur et vicissim partes ad genera sua referantur, cf. Sophist. p. 253 B, qui locus laudatur supra n. 247, et Phaedr. p. 265 D, ubi duae eius rationis formae distinguuntur: *εἰς μίαν τε ἰδέαν συνορῶντα ἄγειν τὰ πολλαχῇ διεσπαρμένα, ἵν' ἕκαστον ὁριζόμενος δῆλον ποιῇ, περὶ οὗ ἂν ἀεὶ διδάσκειν ἐθέλῃ —, καὶ τὸ πάλιν κατ' εἴδη δύνασθαι τέμνειν, κατ' ἄρθρα ᾗ πέφυκε, καὶ μὴ ἐπιχειρεῖν καταγνύναι μέρος μηδέν, κακοῦ μαγείρου τρόπῳ χρώμενον*: quarum rationum altera dicitur synthetica altera analytica, utraque etiam in mathematicis disciplinis probata, cf. Diog. L. III, 24, Procl. in Euclid. I, lib. III, p. 58 ed. Bal.: *καλλίστη μὲν (μέθοδος) ἡ διὰ τῆς ἀναλύσεως ἐπ' ἀρχὴν ὁμολογουμένην ἀνάγουσα τὸ ζητούμενον, ἣν καὶ ὁ Πλάτων, ὥς φασι, Λεωδάμαντι παρέδωκεν, ἀφ' ἧς καὶ ἐκεῖνος πολλῶν κατὰ γεωμετρίαν εὑρετὴς ἱστορεῖται γενέσθαι· δευτέρα δὲ ἡ διαιρητική, κατ' ἄρθρα μὲν διαιροῦσα τὸ προκείμενον γένος, ἀφορμὴν δὲ τῇ ἀποδείξει παρεχομένη διὰ τῆς τῶν ἄλλων ἀναιρέσεως τῆς τοῦ προκειμένου κατασκευῆς, ἣ καὶ αὐτὴν ὁ Πλάτων ἐξύμνησεν ὡς πάσαις ταῖς ἐπιστήμαις ἐπίκουρον γενομένην.* Cum utraque coniunctissima est ea quae dicitur hypothetica, qua res aliqua s. idea primum tanquam satis nota ponitur, deinde disserendo comprobatur: quod usu dialectico fit ita, ut per altiores quasque ideas assurgendo investigetur ea quae est summa et *ἀνυπόθετος*, v. Phaed. p. 101 D, Meno p. 86 E, Rep. VI, p. 511 B. Huius species est illa, quae per antinomias procedit, qua in Parmenide potissimum utitur, cf. Parmen.

p. 135 E. *χρὴ δὲ καὶ τόδε ἔτι πρὸς τούτῳ ποιεῖν, μὴ μόνον εἰ ἔστιν ἕκαστον ὑποτιθέμενον σκοπεῖν τὰ συμβαίνοντα ἐκ τῆς ὑποθέσεως, ἀλλὰ καὶ εἰ μή ἐστι τὸ αὐτο τοῦτο ὑποτίθεσθαι, εἰ βούλει μᾶλλον γυμνασθῆναι.* Cf. Stallbaum Proleg. Parm. p. 310 sqq., Brandis *Handb.* II, 1, p. 259 sqq., Prantl *Gesch. d. Logik* I, p. 80 sqq. — **d)** Videtur dicere Pythagoreos, cf. supra n. 52 sqq. Similiter enim atque illis Platoni *ἄπειρον* dicitur quod neque numero neque qualitate sibi constat h. e. *τὰ πολλά, πέρας* illud quo multa illa fluctuantia ad certum ordinem ac numerum revocantur, v. Phileb. p. 24 sqq., ut nostro loco *τὰ πέρας καὶ ἀπειρίαν ἐν αὐτοῖς ξύμφυτον ἔχοντα* pateat dici ideas unum genus et multas species in se complexas. — **e)** Proposito igitur aliquo genere singulas notiones, quae eo contineantur, ita dirimendas atque dividendas esse praecipit, ut non ab uno illo genere ad infinitam illico multitudinem cogitatione nostra festinemus, sed singulis speciebus accurate exploratis et subdivisis quot eo contineantur formae certa ratione dignoscamus. Illud turbulenter et litigiose agentium esse, hoc dialecticorum, cf. Polit. p. 285 A, ubi similiter inter Sophistas et Dialecticos distinguit: *ὃ γὰρ ἐνίοτε οἰόμενοι δή τι σοφὸν φράζειν πολλοὶ τῶν κομψῶν λέγουσιν, ὡς ἄρα μετρητικὴ περὶ πάντ' ἐστὶ τὰ γιγνόμενα, τοῦτ' αὐτὸ τὸ νῦν λεχθὲν ὂν τυγχάνει. μετρήσεως μὲν γὰρ δή τινα τρόπον πάνθ' ὁπόσα ἔντεχνα μετείληφε· διὰ δὲ τὸ μὴ κατ' εἴδη συνειθίσθαι σκοπεῖν διαιρουμένους ταῦτά τε τοσοῦτον διαφέροντα ξυμβάλλουσιν εὐθὺς εἰς ταὐτὸν ὅμοια νομίσαντες, καὶ τοὐναντίον αὖ τούτου ὁρῶσιν ἕτερα οὐ κατὰ μέρη διαιροῦντες, δέον, ὅταν μὲν τὴν τῶν πολλῶν τις πρότερον αἴσθηται κοινωνίαν, μὴ προαφίστασθαι πρὶν ἂν ἐν αὐτῇ τὰς διαφορὰς ἴδῃ πάσας, ὁπόσαιπερ ἐν εἴδεσι κεῖνται, τὰς δὲ αὖ παντοδαπὰς ἀνομοιότητας, ὅταν ἐν πλήθεσιν ὀφθῶσι, μὴ δυνατὸν εἶναι δυσωπούμενον παύεσθαι, πρὶν ἂν ξύμπαντα τὰ οἰκεῖα ἐντὸς μιᾶς ὁμοιότητος ἕρξας γένους τινὸς οὐσίᾳ περιβάληται.*

Phaed. p. 96 A. *Ἐγὼ γὰρ — νέος ὢν θαυμαστῶς ὡς* 256
ἐπεθύμησα ταύτης τῆς σοφίας, ἣν δὴ καλοῦσι περὶ φύσεως ἱστορίαν. ὑπερήφανος γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς αἰτίας ἑκάστου, διὰ τί γίγνεται ἕκαστον καὶ διὰ τί ἀπόλλυται καὶ διὰ τί ἔστι· καὶ πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον σκοπῶν πρῶτον τὰ τοιάδε, ἆρ' ἐπειδὰν τὸ θερμὸν καὶ τὸ ψυχρὸν σηπεδόνα τινὰ λάβῃ, ὥς τινες ἔλεγον, τότε δὴ τὰ ζῷα ξυντρέφεται· καὶ πότερον τὸ αἷμά ἐστιν ᾧ φρονοῦμεν, ἢ ὁ ἀὴρ ἢ τὸ πῦρ, ἤ τούτων μὲν οὐδέν, ὁ δὲ ἐγκέφαλός ἐστιν ὁ τὰς αἰσθήσεις παρέχων τοῦ ἀκούειν καὶ ὁρᾶν καὶ ὀσφραίνεσθαι, ἐκ τούτων δὲ γίγνοιτο μνήμη καὶ δόξα, ἐκ δὲ μνήμης καὶ δόξης λαβούσης τὸ ἠρεμεῖν κατὰ ταῦτα γίγνεσθαι ἐπιστήμην. καὶ αὖ τούτων τὰς φθορὰς σκοπῶν καὶ τὰ περὶ τὸν οὐρανόν τε καὶ τὴν γῆν πάθη, τελευτῶν οὕτως ἐμαυτῷ ἔδοξα πρὸς ταύτην τὴν σκέψιν ἀφυὴς

εἶναι, ὡς οὐδὲν χρῆμα[a]. p. 97 C. Ἀλλ' ἀκούσας μέν ποτε ἐκ βιβλίου τινὸς — Ἀναξαγόρου ἀναγιγνώσκοντος καὶ λέγοντος ὡς ἄρα νοῦς ἐστὶν ὁ διακοσμῶν τε καὶ πάντων αἴτιος, ταύτῃ δὴ τῇ αἰτίᾳ ἥσθην τε καὶ ἔδοξέ μοι τρόπον τινὰ εὖ ἔχειν τὸ τὸν νοῦν εἶναι πάντων αἴτιον, καὶ ἠγησάμην, εἰ τοῦθ' οὕτως ἔχει, τὸν γε νοῦν κοσμοῦντα πάντα κοσμεῖν καὶ ἕκαστον τιθέναι ταύτῃ ὅπῃ ἂν βέλτιστα ἔχῃ εἰ οὖν τις βούλοιτο τὴν αἰτίαν εὑρεῖν περὶ ἑκάστου, ὅπῃ γίγνεται ἢ ἀπόλλυται ἢ ἔστι, τοῦτο δεῖν περὶ αὐτοῦ εὑρεῖν, ὅπῃ βέλτιστον αὐτῷ ἐστὶν ἢ εἶναι ἢ ἄλλο ὁτιοῦν πάσχειν ἢ ποιεῖν· ἐκ δὲ δὴ τοῦ λόγου τούτου οὐδὲν ἄλλο σκοπεῖν προσήκειν ἀνθρώπῳ καὶ περὶ αὐτοῦ ἐκείνου καὶ περὶ τῶν ἄλλων, ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. ἀναγκαῖον δὲ εἶναι τὸν αὐτὸν τοῦτον καὶ τὸ χεῖρον εἰδέναι· τὴν αὐτὴν γὰρ εἶναι ἐπιστήμην περὶ αὐτῶν. ταῦτα δὴ λογιζόμενος ἄσμενος εὑρηκέναι ᾠμην διδάσκαλον τῆς αἰτίας περὶ τῶν ὄντων κατὰ νοῦν ἐμαυτῷ, τὸν Ἀναξαγόραν, καί μοι φράσειν πρῶτον μὲν πότερον ἡ γῆ πλατεῖά ἐστιν ἢ στρογγύλη, ἐπειδὴ δὲ φράσειεν, ἐπεκδιηγήσεσθαι τὴν αἰτίαν καὶ τὴν ἀνάγκην, λέγοντα τὸ ἄμεινον καὶ ὅτι αὐτὴν ἄμεινον ἦν τοιαύτην εἶναι· καὶ εἰ ἐν μέσῳ φαίη εἶναι αὐτήν, ἐπεκδιηγήσεσθαι ὡς ἄμεινον ἦν αὐτὴν ἐν μέσῳ εἶναι· καὶ εἴ μοι ταῦτα ἀποφαίνοιτο, παρεσκευάσμην ὡς οὐκέτι ποθεσόμενος αἰτίας ἄλλο εἶδος. καὶ δὴ καὶ περὶ ἡλίου οὕτω παρεσκευάσμην ὡσαύτως πευσόμενος, καὶ σελήνης καὶ τῶν ἄλλων ἄστρων, τάχους τε πέρι πρὸς ἄλληλα καὶ τροπῶν καὶ τῶν ἄλλων παθημάτων, πῇ ποτὲ ταῦτ' ἄμεινόν ἐστιν ἕκαστον καὶ ποιεῖν καὶ πάσχειν ἃ πάσχει. οὐ γὰρ ἄν ποτε αὐτὸν ᾠμην, φάσκοντά γε ὑπὸ νοῦ αὐτὰ κεκοσμῆσθαι, ἄλλην τινὰ αὐτοῖς αἰτίαν ἐπενεγκεῖν ἢ ὅτι βέλτιστον αὐτὰ οὕτως ἔχειν ἐστὶν ὥσπερ ἔχει· ἑκάστῳ οὖν αὐτὸν ἀποδιδόντα τὴν αἰτίαν καὶ κοινῇ πᾶσι τὸ ἑκάστῳ βέλτιστον ᾠμην καὶ τὸ κοινὸν πᾶσιν ἐπεκδιηγήσεσθαι ἀγαθόν· καὶ οὐκ ἂν ἀπεδόμην πολλοῦ τὰς ἐλπίδας, ἀλλὰ πάνυ σπουδῇ λαβὼν τὰς βίβλους ὡς τάχιστα οἷός τ' ἦν ἀνεγίγνωσκον, ἵν' ὡς τάχιστα εἰδείην τὸ βέλτιστον καὶ τὸ χεῖρον[b].

a) Loquitur de iis philosophis, qui principia et causas rerum omnium in materia et natura quaerebant, cf. Arist. Met. *A*, 3. *τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ᾠήθησαν ἀρχὰς εἶναι πάντων* etc. (n. 9), singula simul placita Ionicorum atque etiam Empedoclis significans. Horum lectione se ita denique perturbatum fuisse

significat, ut ne de elementis scientiae quidem neque de iis quae sensibus percipiuntur sibi amplius constiterit, cf. Arist. Met. *A*, 6 (n. 251), ubi Plato iuvenis inter Heracliteos fuisse perhibetur. — **b)** In sequentibus narrat se apud ipsum Anaxagoram longe aliter omnia reperisse, pro intellectu, qui vere dici possit, h. e. secundum principia boni omnia moderante, nihil nisi vim motricem et principia materialia, aerem, aetherem, aquam etc., v. supra n. 123, not. d. Deinde similiter sibi Anaxagoram rem suam egisse visum esse dicit atque eum, qui Socratem per omnem vitam usque ad carcerem rationem ducem secutum esse demonstraturus inciperet ab hoc, ut causas materiales cur in carcere consedisset requireret, similiterque mentione de sermonibus Socratis iniecta enumeraret causas materiales loquendi, veluti vocem emissam, aerem percussum etc. Denique sic pergit p. 99 A. *ἀλλ' αἴτια μὲν τὰ τοιαῦτα καλεῖν λίαν ἄτοπον. εἰ δέ τις λέγοι ὅτι ἄνευ τοῦ τὰ τοιαῦτα ἔχειν καὶ ὀστᾶ καὶ νεῦρα καὶ ὅσα ἄλλα ἔχω* (loquitur Socrates), *οὐκ ἂν οἷός τ' ἦν ποιεῖν τὰ δόξαντά μοι, ἀληθῆ ἂν λέγοι· ὡς μέντοι διὰ ταῦτα ποιῶ ἃ ποιῶ καὶ ταῦτα νῷ πράττω, ἀλλ' οὐ τῇ τοῦ βελτίστου αἱρέσει, πολλὴ ἂν καὶ μακρὰ ῥᾳθυμία εἴη τοῦ λόγου. τὸ γὰρ μὴ διελέσθαι οἷόν τ' εἶναι ὅτι ἄλλο μέν τί ἐστι τὸ αἴτιον τῷ ὄντι, ἄλλο δ' ἐκεῖνο ἄνευ οὗ τὸ αἴτιον οὐκ ἄν ποτ' εἴη αἴτιον· ὃ δή μοι φαίνονται ψηλαφῶντες οἱ πολλοὶ ὥσπερ ἐν σκότει, ἀλλοτρίῳ ὀνόματι προσχρώμενοι, ὡς αἴτιον αὐτὸ προσαγορεύειν. διὸ δὴ καὶ ὁ μέν τις δίνην περιτιθεὶς τῇ γῇ ὑπὸ τοῦ οὐρανοῦ μένειν δὴ ποιεῖ τὴν γῆν, ὁ δὲ ὥσπερ καρδόπῳ πλατείᾳ βάθρον τὸν ἀέρα ὑπερείδει· τὴν δὲ τοῦ ὡς οἷόν τε βέλτιστα αὐτὰ τεθῆναι δύναμιν οὕτω νῦν κεῖσθαι, ταύτην οὔτε ζητοῦσιν οὔτε τινὰ οἴονται δαιμονίαν ἰσχὺν ἔχειν, ἀλλὰ ἡγοῦνται τούτου* (h. e. ea causa quae ex optima rerum omnium condicione repetitur) *Ἄτλαντα ἄν ποτε ἰσχυρότερον καὶ ἀθανατώτερον καὶ μᾶλλον ἅπαντα ξυνέχοντα ἐξευρεῖν, καὶ ὡς ἀληθῶς τἀγαθὸν καὶ δέον ξυνδεῖν καὶ ξυνέχειν οὐδὲν οἴονται.* Requirit igitur praeter causam materialem vel necessariam quam dicit in Timaeo (n. 261) aliam, quam putaverat esse intellectum Anaxagorae, h. e. causam aliquam divinam creatricem atque moderatricem, quae vere causa dici possit, h. e. quae id quod bonum in rebus inesse conspiciatur cum ratione atque arte effecerit; veluti ab Aristotele De An. III, 5 distinguitur inter *τὸ ποιοῦν* et *τὸ πάσχον*. Et similiter etiam ipse Plato loco seq.

Phileb. p. 30 A. *Τὸ παρ' ἡμῖν σῶμα ἆρ' οὐ ψυχὴν φήσομεν ἔχειν; ΠΡΩ. Δῆλον ὅτι φήσομεν. ΣΩ. Πόθεν, ὦ φίλε Πρώταρχε, λαβόν, εἴπερ μὴ τό γε τοῦ παντὸς σῶμα ἔμψυχον ὂν ἐτύγχανε, ταὐτά γε ἔχον τούτῳ καὶ ἔτι πάντῃ καλλίονα; ΠΡΩ. Δῆλον ὡς οὐδαμόθεν ἄλλοθεν, ὦ Σώκρατες. ΣΩ. Οὐ γάρ που δοκοῦμέν γε, ὦ Πρώταρχε, τὰ τέτταρα ἐκεῖνα, πέρας καὶ ἄπειρον καὶ κοινὸν καὶ τὸ τῆς αἰτίας γένος, ἐν ἅπασι τέταρτον ἐνόν*[a], *τοῦτο ἐν μὲν τοῖς παρ' ἡμῖν ψυχήν τε παρέχον* 253

καὶ σωμασκίαν ἐμποιοῦν καὶ πταίσαντος σώματος ἰατρικὴν καὶ ἐν ἄλλοις ἄλλα συντιθὲν καὶ ἀκούμενον πᾶσαν καὶ ποντοίαν σοφίαν ἐπικαλεῖσθαι, τῶν δ᾽ αὐτῶν τούτων ὄντων ἐν ὅλῳ τε οὐρανῷ καὶ κατὰ μεγάλα μέρη, καὶ προσέτι καλῶν καὶ εἰλικρινῶν, ἐν τούτοις δ᾽ οὐκ ἄρα μεμηχανῆσθαι τὴν τῶν καλλίστων καὶ τιμιωτάτων φύσιν; ΠΡΩ. Ἀλλ᾽ οὐδαμῶς τοῦτό γ᾽ ἂν λόγον ἔχοι. ΣΩ. Οὐκοῦν εἰ μὴ τοῦτο, μετ᾽ ἐκείνου τοῦ λόγου ἂν ἑπόμενοι βέλτιον λέγοιμεν, ὡς ἔστιν, ἃ πολλάκις εἰρήκαμεν, ἄπειρόν τε ἐν τῷ παντὶ πολύ, καὶ πέρας ἱκανόν, καί τις ἐπ᾽ αὐτοῖς αἰτία οὐ φαύλη, κοσμοῦσά τε καὶ συντάττουσα ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας, σοφία καὶ νοῦς λεγομένη δικαιότατ᾽ ἄν. ΠΡΩ. Δικαιότατα δῆτα. ΣΩ. Σοφία μὴν καὶ νοῦς ἄνευ ψυχῆς οὐκ ἄν ποτε γενοίσθην[b]. ΠΡΩ. Οὐ γὰρ οὖν. ΣΩ. Οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δὲ ἄλλοις ἄλλα καλά, καθ᾽ ὃ φίλον ἑκάστοις λέγεσθαι[c]; ΠΡΩ. Μάλα γε. ΣΩ. Τοῦτον δὴ τὸν λόγον ἡμᾶς μή τι μάτην δόξῃς, ὦ Πρώταρχε, εἰρηκέναι, ἀλλ᾽ ἔστι τοῖς πάλαι ἀποφηναμένοις, ὡς ἀεὶ τοῦ παντὸς νοῦς ἄρχει, ξύμμαχος ἐκείνοις[d].

a) Sensus: Sicut in nobis inest τὸ τῆς αἰτίας γένος optima quaeque praestans, mentem et animum et corporis vires et sapientiam, ita etiam in mundo necesse est insit intellectus omnia gubernans, cf. supra in Socrate n. 197. In antecedentibus p. 23 D sqq. quatuor genera esse posuerat, τὸ ἄπειρον h. e. materiam (cf. n. 255, not. d), τὸ πέρας h. e. numeros (n. 263, not. b), τὸ μικτὸν ἐκ τούτοιν ἀμφοῖν, ex finito scilicet et infinito, h. e. mundum (n. 261, not. b), denique τὸ ποιοῦν καὶ τὸ αἴτιον h. e. deum creatorem, quo omnium rerum causae continentur. Eum deinceps summum intellectum esse demonstrat. — {Ritterum et Zellerum minus recte τὸ πέρας ad *numeros* referre in libro *Stud. z. Gesch. d. Begr.*, p. 256—265 demonstrare conatus sum. Τὸ πέρας idearum locum obtinere elucet, quum τὰ τέτταρα ἐκεῖνα Platonis (cf. supra Phileb. p. 30 A) cum quattuor principiis Aristotelis comparantur.} — **b)** Cf. Sophist. p. 249 A, qui locus legitur in n. 254, ubi τῷ παντελῶς ὄντι h. e. ideis omnibus similiter tribuitur intellectus et vita ἐν ψυχῇ h. e. ita ut sit ἔμψυχον. Adde Tim. p. 30 B. νοῦν δ᾽ αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δ᾽ ἐν σώματι συνιστὰς τὸ πᾶν ξυνετεκταίνετο. — **c)** Cf. Phaedr. p. 246 E. ὁ μὲν δὴ μέγας ἡγεμὼν ἐν οὐρανῷ Ζεὺς ἐλαύνων πτηνὸν ἅρμα πρῶτος πορεύεται, διακοσμῶν πάντα καὶ ἐπιμελούμενος —, τῶν δὲ ἄλλων ὅσοι ἐν τῷ τῶν δώδεκα ἀριθμῷ τεταγμένοι θεοὶ ἄρχοντες ἡγοῦνται κατὰ τάξιν ἣν ἕκαστος ἐτάχθη —, πράττων ἕκαστος αὐτῶν

τὰ αὑτοῦ. Eodem facit quod, sicubi de deo et de rebus divinis sermo est, modo ὁ θεὸς modo οἱ θεοὶ nominantur, cf. Legg. X, p. 899 D sqq. Sed revera eum nonnisi unum deum statuisse satis inde apparet, quod eum simplicem et aeternum et puram mentem esse statuebat, vulgaribus poetarum traditionibus acerrime adversatus, cf. Tim. p. 37 D, 52 A, Conviv. p. 208 B, De Rep. II, p. 377 D sqq., 380 D. — **d)** Significat Anaxagoram, cf. Cratyl. p. 413 C. εἶναι δὲ τὸ δίκαιον ὃ λέγει Ἀναξαγόρας, νοῦν εἶναι τοῦτο· αὐτοκράτορα γὰρ αὐτὸν ὄντα καὶ οὐδενὶ μεμιγμένον πάντα φησὶν αὐτὸν κοσμεῖν τὰ πράγματα διὰ πάντων ἰόντα et supra in Anaxagora n. 123. τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, νόος δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατές κτλ., cui loco etiam Aristoteles plurimum tribuit De An. III, 4.

Aliis locis deus omnium idearum, maximarum minimarum, causa esse significatur, Rep. X, p. 597 B. C, aliis omnium rerum principium et finis atque mensura appellatur, Legg. IV, p. 715 E, 716 C. Aliis deo absolutam scientiam tribuit (n. 245), aliis omne bonum ab eo repetendum esse dicit, Rep. II, p. 380 D sq., aliis eum τὸν ἀληθινὸν ἅμα καὶ θεῖον νοῦν appellat et idem esse atque bonum diserte pronuntiat, v. Phileb. p. 22 C. Denique ipsius intellectus divini motum a nobis cerni non posse proptereaque ex motibus corporum coelestium de eo existimandum esse censet Legg. X, p. 897 D. μὴ τοίνυν ἐξ ἐναντίας οἷον εἰς ἥλιον ἀποβλέποντες, νύκτα ἐν μεσημβρίᾳ ἐπαγόμενοι, ποιησώμεθα τὴν ἀπόκρισιν, ὡς νοῦν ποτὲ θνητοῖς ὄμμασιν ὀψόμενοί τε καὶ γνωσόμενοι ἱκανῶς· πρὸς δὲ εἰκόνα τοῦ ἐρωτωμένου βλέποντας ἀσφαλέστερον ὁρᾶν: quibuscum conferenda quae similiter de idea boni disseruntur De Rep. VI, p. 508 C sqq. (in n. 259). Quapropter recte statuisse videntur qui deum atque boni ideam Platoni eodem venisse putaverunt, velut Ritterus *Gesch. d. Philos.* II, p. 313 sq.; Brandis *Handb.* II, 1, p. 323 sqq.; Bonitz disputatt. Platonicae duae, Dresd. 1837; Zeller *d. Philos. d. Griechen* II, p. 309 sq.; quamquam dissentiunt alii, velut C. F. Hermann ind. lect. Marburg. $18^{32/33}$ et Trendelenburg de Platonis Philebi consilio p. 17 sqq., qui dei naturam apud Platonem ita quidem cum idea boni conspirare existimat, ut ad hanc referat omnia, ipsum deum vero boni ideam neque dici neque facile dici posse monet. De qua re utcunque statuatur hoc satis exploratum, dei substantiam secundum Platonem bonam et absolute bonam esse, cum et mundi originem inde quod deus bonus et sine invidia sit repetat (n. 263) et quicquid mali et imperfecti in mundo insit id a deo derivari posse diserte neget, De Rep. II, p. 379 C. Οὐκ ἄρα πάντων γε αἴτιον τὸ ἀγαθόν, ἀλλὰ τῶν μὲν εὖ ἐχόντων αἴτιον, τῶν δὲ κακῶν ἀναίτιον. Παντελῶς γ', ἔφη. Οὐδ' ἄρα, ἦν δ' ἐγώ, ὁ θεός, ἐπειδὴ ἀγαθός, πάντων ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλ' ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δὲ ἀναίτιος· πολὺ γὰρ ἐλάττω τἀγαθὰ τῶν κακῶν ἡμῖν· καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Ἀληθέστατα, ἔφη, δοκεῖς μοι λέγειν. Neque aliis locis, ubi deus omnium rerum causa atque auctor esse ponitur, malum ab ipso repetitur, sed interpositis aliis

diis ab eo quasi removetur, v. Tim. p. 68 E. *ταῦτα δὴ πάντα τότε ταύτῃ πεφυκότα ἐξ ἀνάγκης ὁ τοῦ καλλίστου τε καὶ ἀρίστου δημιουργὸς ἐν τοῖς γιγνομένοις παρελάμβανεν, ἡνίκα τὸν αὐτάρκη τε καὶ τὸν τελεώτατον θεὸν* (i. e. mundum) *ἐγέννα, χρώμενος μὲν ταῖς περὶ ταῦτα αἰτίαις ὑπηρετούσαις, τὸ δὲ εὖ τεκταινόμενος ἐν πᾶσι τοῖς γιγνομένοις αὐτός*, cf. infra n. 266, not. g.

259 De Rep. VI, p. 508 C. *Ὀφθαλμοί, ἦν δ' ἐγώ, οἶσθ' ὅτι, ὅταν μηκέτι ἐπ' ἐκεῖνά τις αὐτοὺς τρέπῃ, ὧν ἂν τὰς χρόας τὸ ἡμερινὸν φῶς ἐπέχῃ, ἀλλὰ ᾧν νυκτερινὰ φέγγη, ἀμβλυώττουσί τε καὶ ἐγγὺς φαίνονται τυφλῶν, ὥσπερ οὐκ ἐνούσης καθαρᾶς ὄψεως; Καὶ μάλα, ἔφη. Ὅταν δὲ γ', οἶμαι, ὧν ὁ ἥλιος καταλάμπῃ, σαφῶς ὁρῶσι, καὶ τοῖς αὐτοῖς τούτοις ὄμμασιν ἐνοῦσα φαίνεται. Τί μήν; Οὕτω τοίνυν καὶ τὸ τῆς ψυχῆς ὧδε νόει ὅταν μέν, οὗ καταλάμπει ἀλήθειά τε καὶ τὸ ὄν, εἰς τοῦτο ἀπερείσηται, ἐνόησέ τε καὶ ἔγνω αὐτὸ καὶ νοῦν ἔχειν φαίνεται· ὅταν δὲ εἰς τὸ τῷ σκότῳ κεκραμένον, τὸ γιγνόμενόν τε καὶ ἀπολλύμενον, δοξάζει τε καὶ ἀμβλυώττει ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον καὶ ἔοικεν αὖ νοῦν οὐκ ἔχοντι. Ἔοικε γάρ. Τοῦτο τοίνυν τὸ τὴν ἀλήθειαν παρέχον τοῖς γιγνωσκομένοις καὶ τῷ γιγνώσκοντι τὴν δύναμιν ἀποδιδὸν τὴν τοῦ ἀγαθοῦ ἰδέαν φάθι εἶναι, αἰτίαν δ' ἐπιστήμης οὖσαν καὶ ἀληθείας ὡς γιγνωσκομένης μὲν διανοοῦ, οὕτω δὲ καλῶν ἀμφοτέρων ὄντων, γνώσεώς τε καὶ ἀληθείας, ἄλλο καὶ κάλλιον ἔτι τούτων ἡγούμενος αὐτὸ ὀρθῶς ἡγήσει· ἐπιστήμην δὲ καὶ ἀλήθειαν, ὥσπερ ἐκεῖ φῶς τε καὶ ὄψιν ἡλιοειδῆ μὲν νομίζειν ὀρθόν, ἥλιον δὲ ἡγεῖσθαι οὐκ ὀρθῶς ἔχει, οὕτω καὶ ἐνθάδε ἀγαθοειδῆ μὲν νομίζειν ταῦτ' ἀμφότερα ὀρθόν, ἀγαθὸν δὲ ἡγεῖσθαι ὁπότερον αὐτῶν οὐκ ὀρθόν, ἀλλ' ἔτι μειζόνως τιμητέον τὴν τοῦ ἀγαθοῦ ἕξιν. Ἀμήχανον κάλλος, ἔφη, λέγεις, εἰ ἐπιστήμην μὲν καὶ ἀλήθειαν παρέχει, αὐτὸ δ' ὑπὲρ ταῦτα κάλλει ἐστίν· οὐ γὰρ δήπου σύ γε ἡδονὴν αὐτὸ λέγεις. Εὐφήμει, ἦν δ' ἐγώ· ἀλλ' ὧδε μᾶλλον τὴν εἰκόνα αὐτοῦ ἔτι ἐπισκόπει. Πῶς; Τὸν ἥλιον τοῖς ὁρωμένοις οὐ μόνον, οἶμαι, τὴν τοῦ ὁρᾶσθαι δύναμιν παρέχειν φήσεις, ἀλλὰ καὶ τὴν γένεσιν καὶ αὔξην καὶ τροφήν, οὐ γένεσιν αὐτὸν ὄντα. Πῶς γάρ; Καὶ τοῖς γιγνωσκομένοις τοίνυν μὴ μόνον τὸ γιγνώσκεσθαι φάναι ὑπὸ τοῦ ἀγαθοῦ παρεῖναι, ἀλλὰ καὶ τὸ εἶναί τε καὶ τὴν οὐσίαν ὑπ' ἐκείνου αὐτοῖς προσεῖναι, οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας πρεσβείᾳ καὶ δυνάμει ὑπερέχοντος.*

Sicut sol luminis ac visus nostri causa sit, ita bonum omnis veritatis omnisque cognitionis causam esse dicit. Sicut oculi in tenebris caecutiunt, in lumine diurno aperiuntur, ita animus ad fluxa et mutabilia conversus hebetatur, ad bonum propensus omni scientia imbuitur. Neque vero scientia tantummodo, verum omnis substantia a bono repetenda est. Ipsum vero bonum quale sit describi non potest, neque quidquam affirmari potest nisi bonum esse summum in rebus intelligibilibus, ut sol summus est in adspectabilibus, ut ait p. 509 D. *ὥσπερ λέγομεν δύω αὐτὼ εἶναι καὶ βασιλεύειν τὸ μὲν νοητοῦ γένους τε καὶ τόπου τὸ δ' αὖ ὁρατοῦ.* Quid quod tantam boni excellentiam esse dicit, ut sit *ἐπέκεινα τῆς οὐσίας* et ut nisi per gradus assurgentes et diuturna cognitione exercitati ne intueri quidem tantum splendorem valeamus: id quod in sequentibus imagine nobilissima illustratur, ad omnem humanae scientiae rationem et processum describendum gravissima, quippe sensim sensimque ex tenebris falsisque opinionum simulacris ad lucem et ad rerum veritatem enitentis, De Rep. VII, p. 514 sqq. Denique ad ideam boni reversus ita sententiam suam complectitur p. 517 B. *τὰ δ' οὖν ἐμοὶ φαινόμενα οὕτω φαίνεται, ἐν τῷ γνωστῷ τελευταία ἡ τοῦ ἀγαθοῦ ἰδέα καὶ μόγις ὁρᾶσθαι, ὀφθεῖσα δὲ συλλογιστέα εἶναι ὡς ἄρα πᾶσι πάντων αὕτη ὀρθῶν τε καὶ καλῶν αἰτία, ἔν τε ὁρατῷ φῶς καὶ τὸν τούτου κύριον τεκοῦσα, ἔν τε νοητῷ αὐτὴ κυρία ἀλήθειαν καὶ νοῦν παρασχομένη, καὶ ὅτι δεῖ ταύτην ἰδεῖν τὸν μέλλοντα ἐμφρόνως πράξειν ἢ ἰδίᾳ ἢ δημοσίᾳ* ubi bonum non solum bonorum omnium atque intelligibilium, sed etiam lucis h. e. summae in rebus adspectabilibus causae causa esse dicitur. Adde Rep. VI, p. 504 E, et ib. VII, p. 534 E (cf. n. 247 c), ubi boni idea summum omnis scientiae propositum esse demonstratur, denique Phileb. p. 65 A, ubi bonum, quod una specie comprehendere non liceat, tribus speciebus pulchri, concinni et veri terminatur: *οὐκοῦν εἰ μὴ μιᾷ δυνάμεθα ἰδέᾳ τὸ ἀγαθὸν θηρεῦσαι, σὺν τρισὶ λαβόντες, κάλλει καὶ ξυμμετρίᾳ καὶ ἀληθείᾳ, λέγωμεν ὡς τοῦτο οἷον ἓν ὀρθότατ' ἂν αἰτιασαίμεθ' ἂν τῶν ἐν τῇ συμμίξει, καὶ διὰ τοῦτο ὡς ἀγαθὸν ὂν τοιαύτην αὐτὴν γεγονέναι.* Quamquam his omnibus ipsi ea quaestio tantummodo inchoata esse videbatur; certe constat eum inter discipulos longe explicatius de idea boni disputasse, ut mathematicis etiam et astronomicis argumentis adhibitis probaret *τὸ πέρας ὅτι ἀγαθόν ἐστιν ἕν*, cf. Aristoxenus in loco supra citato n. 242 not., et fragmenta Aristotelis ex libro *περὶ τἀγαθοῦ* inscripto, v. Brandis de perd. Aristot. libris de ideis et bono, Bonnae 1823, *Handb.* II, 2, 1, p. 84. Adde Arist. Met. *N*, 4. *τῶν δὲ τὰς ἀκινήτους οὐσίας εἶναι λεγόντων οἱ μέν φασιν αὐτὸ τὸ ἓν τὸ ἀγαθὸν αὐτὸ εἶναι· οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ ᾠοντο εἶναι μάλιστα* (cf. n. 224 not.), ubi Syrianus adnotat: *ἔστι μὲν ὑπερούσιον παρά τε τῷ Πλάτωνι τὸ ἓν καὶ τἀγαθὸν καὶ παρὰ Βροντίνῳ τῷ Πυθαγορείῳ καὶ παρὰ πᾶσιν ὡς εἰπεῖν τοῖς ἀπὸ τοῦ διδασκαλείου τοῦ τῶν Πυθαγορείων ὁρμωμένοις*: quod referendum ad Pythagoricos inferiores, cf. Brandis *Handb.* I, p. 485.

260 Aristot. Met. *A*, 6 (cf. n. 251). *Οὕτως μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν*[a]. *τὴν δὲ μέθεξιν τοὔνομα μόνον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ ζητεῖν*[b]. *ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι, τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον*[c]. *ἐπεὶ δ' αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τὰκείνων στοιχεῖα πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα*[d]. *ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι ἀρχάς, ὡς δ' οὐσίαν τὸ ἕν· ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τοῦ ἑνὸς τὰ εἴδη εἶναι τοὺς ἀριθμούς*[e].

Memorabilis hic locus quia et quo pacto Aristoteles de Platonis doctrina iudicaverit inde cernitur, et quod alii praeter dialogos fontes unde discipuli hauserint et indicantur; cf. n. 249 not; n. 251, not. c. extr.; n. 259 not.

a) *τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι* h. e. sensibilia separatim ab ideis existere, sed secundum eas appellari censebat, cf. n. 251, not. c. *τὰ πολλὰ τῶν συνωνύμων* sunt multae res eodem atque idea nomine appellatae. De *μεθέξει* cf. Conviv. p. 211 B, qui locus citatur n. 251, not. c; Phaed. p. 100 C. *φαίνεταί μοι, εἴ τί ἐστιν ἄλλο καλὸν πλὴν αὐτὸ τὸ καλόν, οὐδὲ δι' ἓν ἄλλο καλὸν εἶναι ἢ διότι μετέχει ἐκείνου τοῦ καλοῦ καὶ πάντα δὴ οὕτω λέγω.* — {Ut *παρουσίας* notionem, a Rittero neglectam, deprehendas, cf. verba sqq. *οὐκ ἄλλο τι ποιεῖ αὐτὸ καλὸν ἢ ἡ ἐκείνου τοῦ καλοῦ παρουσία εἴτε κοινωνία εἴτε ὅπῃ δὴ καὶ ὅπως προσγενομένη.*} — Sophist. p. 259 A. *τὸ μὲν ἕτερον μετασχὸν τοῦ ὄντος ἔστι μὲν διὰ ταύτην τὴν μέθεξιν.* Parmen. p. 130 B. *χωρὶς μὲν εἴδη ἄττα, χωρὶς δὲ τὰ τούτων αὖ μετέχοντα.* Res igitur idearum participes sunt quatenus notione una continentur multa et ad unam atque immutabilem substantiam respiciunt eiusque tanquam simulacra sunt in sensus cadentia: quapropter idea dicuntur esse *παραδείγματα* aeterna atque immutabilia. cf. Parmen. p. 132 D. *ἀλλ', ὦ Παρμενίδη, μάλιστα ἔμοιγε καταφαίνεται ὧδε ἔχειν· τὰ μὲν εἴδη ταῦτα ὥσπερ παραδείγματα ἑστάναι ἐν τῇ φύσει, τὰ δὲ ἄλλα τούτοις ἐοικέναι καὶ εἶναι ὁμοιώματα· καὶ ἡ μέθεξις αὕτη τοῖς ἄλλοις γίγνεσθαι τῶν εἰδῶν οὐκ ἄλλη τις ἢ εἰκασθῆναι αὐτοῖς*: ad quem locum respiciens Aristoteles Met. *A*, 9. *τὸ δὲ λέγειν* inquit *παραδείγματα αὐτὰ εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς.* Similiter Plato in Timaeo deum creatorem in ideas intuentem facit rebus

impertire id quod in eis perfectum est atque immutabile, cf. Tim. p. 28 A. 30 C. 50 D sqq. De Pythagoreis cf. supra n. 54 not. — {De ratione quae inter terminos *μέθεξιν* et *παρουσίαν* intercedit, cf. *Gesch. d. Begr. d. Parusie* p. 18.} — **b)** Nam nihil nisi esse quandam rerum mutabilium substantiam immutabilem inde explicatur, cf. Arist. Met. *A*, 6. *φανερὸν δ' ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος, τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην· τὰ γὰρ εἴδη τοῦ τί ἐστιν αἴτια τοῖς ἄλλοις, τοῖς δ' εἴδεσι τὸ ἕν*: singularum rerum naturā, ad quam Aristoteles maxime animum advertebat, minime ita expediebatur. Neque cum ideas separatim a rebus constare doceret, unde *μέθεξις* illa exstiterit perspicuum erat, v. Met. *A*, 9. *πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις, τί ποτε συμβάλλεται τὰ εἴδη ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ φθειρομένοις· οὔτε γὰρ κινήσεως οὔτε μεταβολῆς οὐδεμιᾶς ἐστὶν αἴτια αὐτοῖς*, cf. *A*, 10 extr., *M*, 9 extr. — **c)** Cf. Met. *Z*, 2. *ἔτι παρὰ τὰ αἰσθητὰ οἱ μὲν οὐκ οἴονται εἶναι οὐθὲν τοιοῦτον, οἱ δὲ πλείω καὶ μᾶλλον ὄντα ἄϊδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν.* A rebus sensibilibus mathematicae aeterna sua et immutabili natura differunt, ab ideis eo quod rerum mathematicarum eadem multarum forma est, idea vero quaelibet est una et sua, cf. Met. *B*, 6. *τὰ μὲν μαθηματικὰ τῶν δεὖρο* (i. e. *τῶν αἰσθητῶν*) *ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ πόλλ' ἄττα ὁμοειδῆ εἶναι οὐθὲν διαφέρει.* Ita quum mathematica in medio posita sint inter sensibilia et ideas, saepe ab Aristotele appellantur *τὰ μεταξύ*, cf. *A*, 9, *B*, 2. 6, *K*, 1, *M*, 2 et infra n. 263, not. b. — **d)** Respicit Platonis Phaed. p. 100 B, cf. Met. *A*, 9. *ἐν δὲ Φαίδωνι οὕτως λέγεται, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστίν*, De Gen. et Corr. II, 9. *ὥσπερ ὁ ἐν Φαίδωνι Σωκράτης· καὶ γὰρ ἐκεῖνος, ἐπιτιμήσας τοῖς ἄλλοις ὡς οὐδὲν εἰρηκόσιν, ὑποτίθεται ὅτι ἐστὶ τῶν ὄντων τὰ μὲν εἴδη τὰ δὲ μεθεκτικὰ τῶν εἰδῶν, καὶ ὅτι εἶναι μὲν ἕκαστον λέγεται κατὰ τὸ εἶδος, γίγνεσθαι δὲ κατὰ τὴν μετάληψιν καὶ φθείρεσθαι κατὰ τὴν μεταβολήν, ὥστ' εἰ ταῦτα ἀληθῆ, τὰ εἴδη οἴεται ἐξ ἀνάγκης αἴτια εἶναι καὶ γενέσεως καὶ φθορᾶς*: unde apparet eum haec colligere ex illo loco, non ipsam Platonis sententiam referre, ut solet facere in multis. — **e)** Pertinent haec ad ideas numerorum s. numeros qui vocantur ideales (*εἰδητικοί*), de quibus quamquam identidem commemorat Aristoteles, tamen admodum obscurum est, cf. Trendelenburg Plat. de ideis et numeris doctr. ex Aristotele illustr. Lips. 1826, p. 71 sqq., comm. in Arist. de An. p. 222 sqq., Brandis Mus. Rhen. II, p. 558—587, *Handb.* II, 1, p. 306 sqq.; Zeller *Platon. Stud.* p. 239 sqq., *d. Philos. d. Griechen* II, p. 211 sq. Magnum et parvum (*τὸ μέγα καὶ τὸ μικρόν*) Plato vocabat quod Pythagorei et cum illis ipse in Philebo p. 23 C sqq. dixerat infinitum h. e. materiam, quam propterea et dyadem vocabat, magno scilicet et parvo una notione comprehensis: quam dyadem cave confundas cum infinita illa dyade (*ἀόριστος δυάς*) recentioribus Pythagoreis et Platonicis admodum celebrata, cf. Trendelenburg l. c. p. 48 sqq.; Brandis *Handb.* II, 1, p. 310, et supra n. 60, not. a, infra n. 291

et 292. Hoc igitur magnum et parvum ad numeros ideales ex ideis efficiendis quodam modo pertinuerit (nam interpretatio verborum *ἐξ ἐκείνων γὰρ* etc. controversa est, cf. Bonitz ad Metaph. p. 93), numeros vero ideales deinde ideis ipsis et numeris mathematicis ita interposuit, ut et numerorum differentias et corporum spatia inde derivaret, cf. Arist. Met. *N*, 3. *τοῖς δὲ τὰς ἰδέας τιθεμένοις τοῦτο μὲν ἐκφεύγει· ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ, ἐκ μὲν τῆς δυάδος τὰ μήκη, ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεά.* Adde Arist. de An. I, 2, 7, unde etiam varios scientiae gradus ad numeros relatos esse apparet: *τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων ἐν τῷ Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ· γιγνώσκεσθαι γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον, τὰ δὲ πράγματα ἐκ τῶν ἀριθμῶν εἶναι* (cf. Zeller *Plat. Stud.* p. 213). *ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. ἔτι δὲ καὶ ἄλλως νοῦν μὲν τὸ ἕν, ἐπιστήμην* (eodem sensu dictam quo *διάνοιαν* (Rep. VI, p. 511 D) *δὲ τὰ δύο (μοναχῶς γὰρ ἐφ' ἕν), τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ· οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη αὐτὰ καὶ ἀρχαὶ ἐλέγοντο, εἰσὶ δ' ἐκ τῶν στοιχείων· κρίνεται δὲ τὰ πράγματα τὰ μὲν νῷ τὰ δ' ἐπιστήμῃ τὰ δὲ δόξῃ τὰ δ' αἰσθήσει· εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων.* A mathematicis numeris ideales ita differe docebat, ut ideales *ἀσύμβλητοι* essent neque ultra decadem procederent.

d. Physica.

261 Tim. p. 47 E. *Τὰ μὲν οὖν παρεληλυθότα τῶν εἰρημένων — ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι' ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. μεμιγμένη γὰρ οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ νοῦ συστάσεως ἐγεννήθη. νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν, ταύτῃ κατὰ ταῦτά τε δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς ἔμφρονος οὕτω κατ' ἀρχὰς ξυνίστατο τόδε τὸ πᾶν*[a]. p. 48 E. *Ἡ δ' οὖν αὖθις ἀρχὴ περὶ τοῦ παντὸς ἔστω μειζόνως τῆς πρόσθεν διῃρημένη. τότε μὲν γὰρ δύο εἰδη διειλόμεθα, νῦν δὲ τρίτον ἄλλο γένος ἡμῖν δηλωτέον, τὰ μὲν γὰρ δύο ἱκανὰ ἦν ἐπὶ τοῖς ἔμπροσθεν λεχθεῖσιν, ἓν μὲν ὡς παραδείγματος εἶδος ὑποτεθέν, νοητὸν καὶ ἀεὶ κατὰ ταὐτὰ ὄν, μίμημα δὲ παραδείγματος δεύτερον, γένεσιν ἔχον καὶ ὁρατόν*[b]*· τρίτον δὲ τότε μὲν οὐ διειλόμεθα, νομίσαντες τὰ δύο ἕξειν ἱκανῶς, νῦν δὲ ὁ λόγος ἔοικεν εἰσαναγκάζειν χαλεπὸν καὶ ἀμυδρὸν εἶδος ἐπιχειρεῖν λόγοις ἐμφανίσαι. τίν' οὖν ἔχον δύναμιν κατὰ φύσιν αὐτὸ ὑποληπτέον; τοιάνδε μάλιστα, πάσης εἶναι γενέσεως ὑποδοχὴν αὐτὴν οἷον τιθήνην*[b].

a) Cf. Tim. p. 46 D. *τὸν δὲ νοῦ καὶ ἐπιστήμης ἐραστὴν ἀνάγκη τὰς τῆς ἔμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν, ὅσαι δὲ ὑπ' ἄλλων μὲν κινουμένων ἕτερα δὲ ἐξ ἀνάγκης κινούντων γίγνονται, δευτέρας.* p. 68 E. *διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν ἅπασι ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθ' ὅσον ἡμῶν ἡ φύσις ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἐκείνων χάριν, λογιζόμενον ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα, ἐφ' οἷς σπουδάζομεν, μόνα κατανοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως πως μετασχεῖν.* Necessaria causa dicitur etiam *τὸ ξυναίτιον*, Tim. p. 46 C, Polit. p. 281 C, vel id sine quo vera causa non esset causa, v. Phaed. p. 99 A, qui locus citatur n. 256, not. b. — **b)** Ideas dicit et res sensibus apparentes, v. n. 260, not. a. Illas Tim. p. 27 D dixerat *τὸ ὂν ἀεί, γένεσιν οὐκ ἔχον, νοήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν*, has *τὸ γιγνόμενον μὲν ἀεὶ ὂν δὲ οὐδέποτε, δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστόν*: quod deinde a deo ita compositum esse fingit, ut et aeternitas idearum et certae numerorum rationes in eo conspiciantur. In Philebo p. 25 B idea dicitur *τὸ μικτὸν ἐξ ἀμφοῖν* h. e. *ἐκ τοῦ πέρατος καὶ τοῦ ἀπείρου*, p. 26 B *τὸ ἔγγονον ἅπαν*. p. 27 B *ἡ μικτὴ καὶ γεγενημένη οὐσία*: in cuius rationibus atque primordiis expediendis totus Timaeus laborat, multa fabulose narrans et probabiliter duntaxat, non ad exactam scientiam naturam rerum aperiens, quod ipse identidem monet, v. p. 29 B. *ὧδε οὖν περί τε εἰκόνος καὶ περὶ τοῦ παραδείγματος αὐτῆς διοριστέον, ὡς ἆρα τοὺς λόγους, ὧν πέρ εἰσιν ἐξηγηταί, τούτων αὐτῶν καὶ ξυγγενεῖς ὄντας κτλ.*, cf. supra n. 249, not. — **c)** Sequitur locus celeberrimus de prima materia, multis illa similibus a Platone significata magis quam descripta et definita. Primum neque quatuor illa elementa sibi ita constare demonstrat, ut certas iis qualitates attribuas; oportere tamen iis subiectum esse aliquid, unde ipsa et quae calida frigida alba nigra appellentur exstiterint h. e. veluti materiam ab artifice in multas formas affabre sculptam, ipsam tamen omni forma atque omni specie carentem, p. 50 B. *δέχεταί τε γὰρ ἀεὶ τὰ πάντα, καὶ μορφὴν οὐδεμίαν ποτὲ οὐδενὶ τῶν εἰσιόντων ὁμοίαν εἴληφεν οὐδαμῇ οὐδαμῶς· ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται, κινούμενόν τε καὶ διασχηματιζόμενον ὑπὸ τῶν εἰσιόντων, φαίνεται δὲ δι' ἐκεῖνα ἄλλοτε ἀλλοῖον.* Posse id quod omnes formas suscipiat (*τὸ δεχόμενον*) etiam cum matre comparari, causam (*τὸ δ' ὅθεν*) cum patre, res procreatas cum filio, p. 51 A. *διὸ δὴ τὴν τοῦ γεγονότος ὁρατοῦ καὶ πάντως αἰσθητοῦ μητέρα καὶ ὑποδοχὴν μήτε γῆν μήτε ἀέρα μήτε πῦρ μήτε ὕδωρ λέγωμεν, μήτε ὅσα ἐκ τούτων μήτε ἐξ ὧν ταῦτα γέγονεν· ἀλλ' ἀνόρατον εἶδός τι καὶ ἄμορφον. πανδεχές, μεταλαμβάνον δὲ ἀπορώτατά πῃ τοῦ νοητοῦ καί δυσαλωτότατον αὐτὸ λέγοντες οὐ ψευσόμεθα.* Denique etiam elementorum ideas esse affirmans iisque oppositas res sensibus apparentes, tertium genus esse dicit materiam, quae aegre tantummodo et ne vix quidem apprehendi atque enuntiari possit, p. 52 B. *τρίτον δὲ αὖ γένος ὂν τὸ τῆς χώρας ἀεί, φθορὰν οὐ προσδεχόμενον, ἕδραν δὲ παρέχον ὅσα ἔχει γένεσιν πᾶσιν, αὐτὸ δὲ μετ' ἀναισθησίας ἅπτὸν λογισμῷ τινι νόθῳ, μόγις πιστόν, πρὸς ὃ δὴ καὶ ὀνειροπολοῦμεν βλέποντες καί φαμεν ἀναγ-*

καῖον εἶναί που τὸ ὂν ἅπαν ἔν τινι τόπῳ καὶ κατέχον χώραν τινά, τὸ δὲ μήτ' ἐν γῇ μήτε που κατ' οὐρανὸν οὐδὲν εἶναι: unde satis apparet Platonem materiae minime substantiam tribuisse, quae solarum idearum est, sed speciem tantummodo fallacem, quippe quae sit nihil nisi receptaculum atque spatium rerum ea condicione procreatarum ut sint alicubi. Neque Aristoteles aliter commemorat de materia Platonis, etsi removendum quod de suo adiecit, velut nomen *ὕλην*, Phys. IV, 2. *διὸ καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ· τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν. ἄλλον δὲ τόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο*, cf. Phys. I, 9; III, 4; Met. *A*, 7; Zeller *Platon. Stud.* p. 211. 223 sqq.; Brandis *Handb.* II, 1, p. 301. Nihilominus si in rem inquiras, hanc ipsam materiam, quam ante mundum ereatum exstitisse significat Tim. p. 52 D (n. 263, not. a), necessariam illam causam esse concedas oportet, quam divinae causae opponit et unde imperfecta omnia et mala pullulasse significat, cf. not. a et infra n. 266, not. g. — {De materiae notione cf. *Stud. z. Gesch. d. Begr.* p. 302 sqq. de *τιθήνης* significatione ibid. p. 523 sqq.}

262 Tim. p. 28 B. *Ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο ὅ τί ποτε ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο τοῦθ' ἡμῖν ὠνομάσθω, σκεπτέον δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινὸς ἀρξάμενος. γέγονεν*[a]*· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δ' αἰσθητά, δόξῃ περιληπτὰ, μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γεννητὰ ἐφάνη. τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι. τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν· τόδε δ' οὖν πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς τὸ γεγονός. εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δὲ ὃ μηδ' εἰπεῖν τινὶ θέμις, πρὸς τὸ γεγονός. παντὶ δὴ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ φρονήσει περιληπτὸν καὶ κατὰ ταὐτὰ ἔχον δεδημιούργηται*[b].

a) Instat Aristoteles Phys. VIII, 1, De Coelo I, 10, cf. Simplic. ad h. l. in Schol. p. 488 b, unde Platone discipulos, nominatim Xenocratem, hunc locum ita accepisse intelligitur ut generationem illam mundi *οὐχ ὡς ἀπὸ χρόνου* dicerent *δεῖν ἀκούειν, ἀλλ' ἐξ ὑποθέσεως εἰρημένην, διδασκαλίας χάριν τῆς τάξεως τῶν ἐν αὐτῷ προτέρων τε καὶ συνθετω-*

τέρων. — **b)** Sophist. p. 265 C. Ζῷα δὴ πάντα θνητὰ καὶ φυτά, ὅσα τ' ἐπὶ γῆς ἐκ σπερμάτων καὶ ῥιζῶν φύεται καὶ ὅσα ἄψυχα ἐν γῇ ξυνίσταται σώματα τηκτὰ καὶ ἄτηκτα, μῶν ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν ὕστερον γίγνεσθαι πρότερον οὐκ ὄντα; ἢ τῷ τῶν πολλῶν δόγματι καὶ ῥήματι χρώμενοι — τὴν φύσιν αὐτὰ γεννᾶν ἀπό τινος αἰτίας αὐτομάτης καὶ ἄνευ διανοίας φυούσης, ἢ μετὰ λόγου τε καὶ ἐπιστήμης θείας ἀπὸ θεοῦ γιγνομένης; Cf. Phaed. p. 96 sqq., Phileb. p. 28 D sqq., De Legg. X, p. 885 E sqq.

Tim. p. 29 D. Λέγωμεν δὴ δι' ἣν τινα αἰτίαν γένεσιν 263
καὶ τὸ πᾶν τόδε ὁ ξυνιστὰς ξυνέστησεν. ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ' ἐκτὸς ὢν πάντα ὅ τι μάλιστα γενέσθαι ἐβουλήθη παραπλήσια ἑαυτῷ. ταύτην δὴ γενέσεως καὶ κόσμου μάλιστ' ἂν τις ἀρχὴν κυριωτάτην παρ' ἀνδρῶν φρονίμων ἀποδεχόμενος ὀρθότατα ἀποδέχοιτ' ἄν. βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν, οὕτω δὴ πᾶν ὅσον ἦν ὁρατὸν παραλαβὼν οὐχ ἡσυχίαν ἄγον ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως[a], εἰς τάξιν αὐτὸ ἤγαγεν ἐκ τῆς ἀταξίας, ἡγησάμενος ἐκεῖνο τούτου πάντως ἄμεινον. θέμις δὲ οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο πλὴν τὸ κάλλιστον· λογισάμενος οὖν εὗρισκεν ἐκ τῶν κατὰ φύσιν ὁρατῶν οὐδὲν ἀνόητον τοῦ νοῦν ἔχοντος ὅλον ὅλου κάλλιον ἔσεσθαί ποτ' ἔργον, νοῦν δ' αὖ χωρὶς ψυχῆς ἀδύνατον παραγενέσθαι τῳ. διὰ δὴ τὸν λογισμὸν τόνδε νοῦν μὲν ἐν ψυχῇ, ψυχὴν δὲ ἐν σώματι ξυνιστὰς τὸ πᾶν ξυνετεκταίνετο[b], ὅπως ὅτι κάλλιστον εἴη κατὰ φύσιν ἄριστόν τε ἔργον ἀπειργασμένος. οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα[c] δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν.

a) Dicit materiam, quam ante mundum creatum elementorum quasi vices ostendisse tumultuarie commotam narrat Tim. p. 52 D. τὴν δὲ δὴ γενέσεως τιθήνην ὑγραινομένην καὶ πυρουμένην καὶ τὰς γῆς τε καὶ ἀέρος μορφὰς δεχομένην, καὶ ὅσα ἄλλα τούτοις πάθη ξυνέπεται πάσχουσαν, ποντοδαπὴν μὲν ἰδεῖν φαίνεσθαι, διὰ δὲ τὸ μήθ' ὁμοίων δυνάμεων μήτε ἰσορρόπων ἐμπίπλασθαι κατ' οὐδὲν αὐτῆς ἰσορροπεῖν, ἀλλ' ἀνωμάλως πάντη ταλαντουμένην σείεσθαι μὲν ὑπ' ἐκείνων αὐτήν, κινουμένην δ' αὖ πάλιν ἐκεῖνα σείειν. Cf. p. 69 B, Polit. p. 273 B, ubi item chaoticam quandam materiam ante mundum a deo creatum exstitisse ponit. — {Ut Ritterus etiam Zellerus Platonem hunc in modum interpretatus est. At orationis figura in rationem inducta ab hoc vesaniae indicio Platonem purgavi. Cf. *Stud. z. Gesch. d. Begr.* p. 308. Quare nunc etiam Zellerus in ed. III *Phil. d. Griech.* p. 609 sqq. errori repudium remittit.} —

b) De intellectu nonnisi in anima existente v. supra n. 258, not. b. Anima mundi est idem quod in Philebo dicitur *τὸ πέρας*, quo infinitum ad certas numerorum proportiones revocatur, v. ib. p. 25 D. *τὴν τοῦ ἴσου καὶ διπλασίου (φύσιν) καὶ ὁπόση παύει πρὸς ἄλληλα τἀναντία διαφόρως ἔχοντα, σύμμετρα δὲ καὶ σύμφωνα ἐνθεῖσα ἀριθμὸν ἀπεργάζεται*: quo pertinent quae Aristoteles dicit *τὰ μαθηματικὰ τῶν πραγμάτων*, v. supra n. 260. Quapropter omnis eius compositio secundum mathematicas propositiones describitur, v. Tim. p. 35 A. *τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ ξυνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως καὶ τῆς θατέρου, καὶ κατὰ ταῦτα ξυνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ· καὶ τρία λαβὼν αὐτὰ ὄντα συνεκεράσατο εἰς μίαν πάντα ἰδέαν, τὴν θατέρου φύσιν δύσμικτον οὖσαν εἰς ταὐτὸν ξυναρμόττων βίᾳ· μιγνὺς δέ μετὰ τῆς οὐσίας καὶ ἐκ τριῶν ποιησάμενος ἕν, πάλιν ὅλον τοῦτο μοίρας ὅσας προσῆκε διένειμεν, ἑκάστην δὲ ἔκ τε ταὐτοῦ καὶ θατέρου καὶ τῆς οὐσίας μεμιγμένην* etc. Cf. Boeckh *über die Bildung der Weltseele im Timaeus des Platon*, in Studiis a Daub. et Creuz. edit. Vol. III (1806), p. 1—90; Bonitz Disputatt. duae Platonicae p. 47—88; Th. H. Martin *Études sur le Timée de Platon*, P. 1841, I, p. 346 sqq.; F. Ueberweg in Mus. Rhen. Philol. 1854, p. 37—84. — **c)** Cf. n. 261, not. b.

264 Tim. p. 34 A. *Οὗτος δὴ πᾶς ὄντος ἀεὶ λογισμὸς θεοῦ περὶ τὸν ποτὲ ἐσόμενον θεὸν λογισθεὶς λεῖον καὶ ὁμαλὸν πανταχῇ καὶ ἐκ μέσου ἴσον καὶ ὅλον καὶ τέλεον ἐκ τελέων σωμάτων σῶμα ἐποίησε*[a]. *ψυχὴν δὲ εἰς τὸ μέσον αὐτοῦ θεὶς διὰ παντός τε ἔτεινε καὶ ἔτι ἔξωθεν τὸ σῶμα αὐτῇ περιεκάλυψε ταύτῃ*[b], *καὶ κύκλῳ δὴ κύκλον στρεφόμενον οὐρανὸν ἕνα μόνον ἔρημον κατέστησε, δι' ἀρετὴν δὲ αὐτὸν αὑτῷ δυνάμενον ξυγγίγνεσθαι καὶ οὐδενὸς ἑτέρου προσδεόμενον, γνώριμον δὲ καὶ φίλον ἱκανῶς αὐτὸν αὑτῷ*[c]. *διὰ πάντα δὴ ταῦτα εὐδαίμονα θεὸν αὐτὸν ἐγεννήσατο.*

a) Id copiosius exponitur Tim. p. 31 B sqq. Corpora, ex quibus constat mundus, sunt quatuor elementa, quorum numerus efficitur eo quod corpus habeat quatuor superficies: quae secundum Pythagoreos referuntur ad corpora regularia, praeter quam quod dodecaedron revocatur ad globosam figuram universi; Tim. p. 31 B sq., 53 C sqq. Cf. Boeckh: Explicatur Platonica corporis mundani fabrica conflati ex elementis geometrica ratione concinnatis, Heidelb. 1809. Ita comparatus mundus nulla re eget extra se ipsum posita; oritur ex ipso quidquid vel agit vel patitur. Propterea neque membris praeditus est, ut animalia, neque dissolvi potest nisi per deum, qui dissolvet eum nunquam, quippe pulcherrimum et quo nihil potest esse concinnius, ib. p. 32 C, 38 B, 41 A. — **b)** Per totum igitur mundum animam commeare et extrinsecus etiam

circumdare eum et tanquam constringere statuit, similiter atque Philolaus, cf. Boeckh Philol. p. 151. 171. Ipsa autem, quae eius natura est *ἐκ τῆς ταὐτοῦ καὶ τῆς θατέρου φύσεως ἔκ τε οὐσίας* composita, non modo sentit sensibilia et opinatur opinabilia, sed scientiae quoque et intellectus particeps est, v. Tim. p. 36 E sqq. — c) Mundum circulari motu agitari necesse est, cum intellectus similem motum habeat, Tim. p. 34 A, p. 88 E. *τῶν δ' αὖ κινήσεων ἡ ἐν ἑαυτῷ ὑφ' ἑαυτοῦ ἀρίστη κίνησις, μάλιστα γὰρ τῇ διανοητικῇ καὶ τῇ τοῦ παντὸς κινήσει ξυγγενής.* De Legg. X, p. 897 C sqq. — Ad extrema cf. Tim. p. 92 B. *θνητὰ γὰρ καὶ ἀθάνατα ζῷα λαβὼν καὶ ξυμπληρωθεὶς ὅδε ὁ κόσμος οὕτω, ζῷον ὁρατὸν τὰ ὁρατὰ περιέχον, εἰκὼν τοῦ νοητοῦ θεὸς αἰσθητός, μέγιστος καὶ ἄριστος κάλλιστός τε καὶ τελεώτατος γέγονεν, εἷς οὐρανὸς ὅδε μονογενὴς ὤν.*

Tim. p. 37 C. *Ὡς δὲ κινηθὲν αὐτὸ καὶ ζῶν ἐνενόησε τῶν* 265
ἀϊδίων θεῶν γεγονὸς ἄγαλμα ὁ γεννήσας πατήρ, ἠγάσθη τε καὶ εὐφρανθεὶς ἔτι δὴ μᾶλλον ὅμοιον πρὸς τὸ παράδειγμα ἐπενόησεν ἀπεργάσασθαι. καθάπερ οὖν αὐτὸ τυγχάνει ζῷον ἀΐδιον, καὶ τόδε τὸ πᾶν οὕτως εἰς δύναμιν ἐπεχείρησε τοιοῦτον ἀποτελεῖν. ἡ μὲν οὖν τοῦ ζῴου φύσις ἐτύγχανεν οὖσα αἰώνιος. καὶ τοῦτο μὲν δὴ τῷ γεννητῷ παντελῶς προσάπτειν οὐκ ἦν δυνατόν· εἰκὼ δ' ἐπινοεῖ κινητόν τινα αἰῶνος ποιῆσαι, καὶ διακοσμῶν ἅμα οὐρανὸν ποιεῖ μένοντος αἰῶνος ἐν ἑνὶ κατ' ἀριθμὸν ἰοῦσαν αἰώνιον εἰκόνα, τοῦτον ὃν δὴ χρόνον ὠνομάκαμεν. Ib. p. 38 C. *Ἐξ οὖν λόγου καὶ διανοίας θεοῦ τοιαύτης πρὸς χρόνου γένεσιν, ἵνα γεννηθῇ χρόνος, ἥλιος καὶ σελήνη καὶ πέντε ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλανητά, εἰς διορισμὸν καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε.*

Tempus igitur una cum coelo ortum est. Quod ut nosceretur deus orbem fixarum stellarum fecit et solem, lunam et quinque planetas diversosque iis motus tribuit a motibus et orbibus animae mundi repetendos, p. 36 C sqq. Denique ut evidens esset mensura motum coelestium, lumen deus in sole accendit, terram vero, nostram matrem et nutricem, in medio stare voluit immotam, v. p. 39 B sqq., cf. Boeckh in libro ad Philolaum n. 68, not. b, citato et eiusd. *Untersuchungen üb. d. kosm. System des Platon,* Berl. 1852; Martin *Études sur le Timée* II, p. 86 sqq.

Tim. p. 39 E. *Καὶ τὰ μὲν ἄλλα ἤδη μέχρι χρόνου γε-* 266
νέσεως ἀπείργαστο εἰς ὁμοιότητα ᾧ περ ἀπεικάζετο, τῷ δὲ μήπω τὰ πάντα ζῷα ἐντὸς αὐτοῦ γεγενημένα περιειληφέναι, ταύτῃ ἔτι εἶχεν ἀνομοίως. τοῦτο δὴ τὸ κατάλοιπον ἀπειργάζετο αὐτοῦ πρὸς τὴν τοῦ παραδείγματος ἀποτυπούμενος φύσιν. ᾗ περ οὖν νοῦς ἐνοῦσας ἰδέας τῷ ὅ ἔστι ζῷον, οἵαί τε ἔνεισι καὶ ὅσαι, καθορᾷ,

τοιαύτας καὶ τοσαύτας διενοήθη δεῖν καὶ τόδε σχεῖν. εἰσὶ δὲ τέτταρες, μία μὲν οὐράνιον θεῶν γένος, ἄλλη δὲ πτηνὸν καὶ ἀεροπόρον, τρίτη δὲ ἔννυδρον εἶδος, πεζὸν δὲ καὶ χερσαῖον τέταρτον. Ib. p. 41 A. Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν ἔσχον[a], λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γ' ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπεί περ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔ τι μὲν δὴ λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ' ἐγίγνεσθε ξυνεδεῖσθε. νῦν οὖν ἃ λέγω πρὸς ὑμᾶς ἐνδεικνύμενος, μάθετε. θνητὰ ἔτι γένη λοιπὰ τρί' ἀγέννητα. τούτων οὖν μὴ γενομένων οὐρανὸς ἀτελὴς ἔσται· τὰ γὰρ ἅπαντα ἐν αὐτῷ γένη ζῴων οὐχ ἕξει, δεῖ δέ, εἰ μέλλει τέλεος ἱκανῶς εἶναι. δι' ἐμοῦ δὲ ταῦτα γενόμενα καὶ βίου μετασχόντα θεοῖς ἰσάζοιτ' ἄν. ἵν' οὖν θνητά τε ᾖ τό τε πᾶν τόδε ὄντως ἅπαν ᾖ, τρέπεσθε κατὰ φύσιν ὑμεῖς ἐπὶ τὴν τῶν ζῴων δημιουργίαν, μιμούμενοι τὴν ἐμὴν δύναμιν περὶ τὴν ὑμετέραν γένεσιν. καὶ καθ' ὅσον μὲν αὐτῶν ἀθανάτοις ὁμώνυμον εἶναι προσήκει, θεῖον λεγόμενον ἡγεμονοῦν τ' ἐν αὐτοῖς τῶν ἀεὶ δίκῃ καὶ ὑμῖν ἐθελόντων ἕπεσθαι, σπείρας καὶ ὑπαρξάμενος ἐγὼ παραδώσω· τὸ δὲ λοιπὸν ὑμεῖς, ἀθανάτῳ θνητὸν προσυφαίνοντες, ἀπεργάζεσθε ζῷα καὶ γεννᾶτε τροφήν τε διδόντες αὐξάνετε καὶ φθίνοντα πάλιν δέχεσθε. Ταῦτ' εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγε[b], τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δ' οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. ξυστήσας δὲ τὸ πᾶν διεῖλε ψυχὰς ἰσαρίθμους τοῖς ἄστροις ἔνειμέ θ' ἑκάστην πρὸς ἕκαστον, καὶ ἐμβιβάσας ὡς ἐς ὄχημα τὴν τοῦ παντὸς φύσιν ἔδειξε[c], νόμους τε τοὺς εἱμαρμένους εἶπεν αὐταῖς, ὅτι γένεσις πρώτη μὲν ἔσοιτο τεταγμένη μία πᾶσιν, ἵνα μή τις ἐλαττοῖτο ὑπ' αὐτοῦ, δέοι δὲ σπαρείσας αὐτὰς εἰς τὰ προσήκοντα ἑκάστοις ἕκαστα ὄργανα χρόνου φῦναι ζῴων τὸ θεοσεβέστατον, διπλῆς δὲ οὔσης τῆς ἀνθρωπίνης φύσεως τὸ κρεῖττον τοιοῦτον εἴη γένος, ὃ καὶ ἔπειτα κεκλήσοιτο ἀνήρ[d]. ὁπότε δὴ σώμασιν ἐμφυτευθεῖεν ἐξ ἀνάγκης, καὶ τὸ μὲν

προσίοι τὸ δ' ἀπίοι τοῦ σώματος αὐτῶν, πρῶτον μὲν αἴσθησιν ἀναγκαῖον εἴη μίαν πᾶσιν ἐκ βιαίων παθημάτων ξύμφυτον γίγνεσθαι, δεύτερον δὲ ἡδονῇ καὶ λύπῃ μεμιγμένον ἔρωτα, πρὸς δὲ τούτοις φόβον καὶ θυμὸν ὅσα τε ἑπόμενα αὐτοῖς καὶ ὁπόσα ἐναντίως πέφυκα διεστηκότα[e]· ὧν εἰ μὲν κρατήσειαν, ἐν δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα βιοὺς χρόνον, πάλιν εἰς τὴν τοῦ ξυννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα καὶ συνήδη ἕξοι· σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· μὴ παυόμενος δὲ ἐν τούτοις ἔτι κακίας, τρόπον ὃν κακύνοιτο, κατὰ τὴν ὁμοιότητα τῆς τοῦ τρόπου γενέσεως εἰς τινα τοιαύτην ἀεὶ μεταβαλοῖ θήρειον φύσιν[f], ἀλλάττων τε οὐ πρότερον πόνων λήξοι, πρὶν τῇ ταὐτοῦ καὶ ὁμοίου περιόδῳ τῇ ἐν αὐτῷ ξυνεπισπώμενος τὸν πολὺν ὄχλον καὶ ὕστερον προσφύντα ἐκ πυρὸς καὶ ὕδατος καὶ ἀέρος καὶ γῆς, θορυβώδη καὶ ἄλογον ὄντα λόγῳ κρατήσας εἰς τὸ τῆς πρώτης καὶ ἀρίστης ἀφίκοιτο εἶδος ἕξεως. Διαθεσμοθετήσας δὲ πάντα αὐτοῖς ταῦτα, ἵνα τῆς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος[g], ἔσπειρε τοὺς μὲν εἰς γῆν, τοὺς δ' εἰς σελήνην, τοὺς δ' εἰς τἆλλα ὅσα ὄργανα χρόνου. τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τό τε ἐπίλοιπον ὅσον ἔτ' ἦν ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάνθ' ὅσα ἀκόλουθα ἐκείνοις ἀπεργασμένους ἄρχειν, καὶ κατὰ δύναμιν ὅ τι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾷν ζῷον, ὅ τι μὴ κακῶν αὐτὸ ἑαυτῷ γίγνοιτο αἴτιον[h].

a) Duo enim genera deorum minorum esse statuit, alterum astrorum alterum deorum popularium, p. 40 A sqq. Illud genus ignitum est atque globosum motibusque concinnis atque choreis insigne, cf. De Legg. X, p. 886 sqq., XII, p. 967 A sqq., Epinom. p. 981 E, Cic. N. D. I, 12, 30, Krische *Forschungen* p. 195 sq., hoc fabulosum illud, de quo ex hymnis, theogoniis, denique ex poetis constabat ad philosophiae placita castigandis, v. De Rep. II, p. 377 sqq., III, p. 390, X, p. 606 D. Astrorum deos palam in coelo volvi et semper apparere dicit, reliquos quoties ipsis placeat. Utrumque genus creatum est sed immortale, sicuti etiam mundus, utrumque in hominibus ceterisque animalibus creandis occupatum: quo pertinet quod astra numeris suis ac motibus et vitam hominum moderari et ad liberos procreandos vim habere statuebat, v. Tim. p. 39 C sqq., Rep. VIII, p. 546. — **b)** Reliquias superioris mixtionis, unde anima mundi conflata erat, eadem ferme ratione temperavisse deum prodit, nec tamen perinde sinceras illas fuisse, sed secundas et tertias, h. e. ita compositas ut ante naturam puram praevaleret ἡ περὶ τὰ σώματα γι-

γνομένη μεριστὴ et quae ex utraque mixta erat, cf. n. 263, not. b. — **c)** Tot animas fecit quot stellas h. e. innumeras, sed quarum nūmerus neque augetur neque minuitur. Deinde deus iis tanquam vehiculo impositis monstrat naturam universi: quod eodem referendum atque illud quod fingitur in Phaedro p. 245 C sqq., animas omnes, quippe immortales et alatas, ante hanc vitam cum diis per coelum sublimes vehi aeternasque ibi ideas contemplari. Utroque argumento utitur in immortalitate animi demonstranda. De priore cf. Rep. X, p. 611 A, Phaed. p. 72 C. καὶ εἰ ἀποθνήσκοι μὲν πάντα ὅσα τοῦ ζῆν μεταλάβοι, ἐπειδὴ δὲ ἀποθάνοι μένοι ἐν τούτῳ τῷ σχήματι τὰ τεθνεῶτα καὶ μὴ πάλιν ἀναβιώσκοιτο, ἆρ' οὐ πολλὴ ἀνάγκη τελευτῶντα πάντα τεθνάναι καὶ μηδὲν ζῆν; Alterum repetitur inde quod scientia sit nihil nisi recordatio eorum, quae animus in vita illa olim cum diis acta hauserit, cf. Phaedr. p. 249 C. τοῦτο δέ ἐστιν ἀνάμνησις ἐκείνων, ἃ ποτ' εἶδεν ἡμῶν ἡ ψυχὴ συμπορευθεῖσα θεῷ καὶ ὑπεριδοῦσα ἃ νῦν εἶναί φαμεν καὶ ἀνακύψασα εἰς τὸ ὂν ὄντως, cf. Meno p. 81 B sqq., Phileb. p. 34 B, Phaed. p. 72 E. Καὶ μήν, ἔφη ὁ Κέβης ὑπολαβών, καὶ κατ' ἐκεῖνόν γε τὸν λόγον (sc. ἔστι τὸ ἀναβιώσκεσθαι καὶ ἐκ τῶν τεθνεώτων τοὺς ζῶντας γίγνεσθαι), ᾧ Σώκρατες —, ὃν σὺ εἴωθας θαμὰ λέγειν, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα, καὶ κατὰ τοῦτον ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀναμιμνησκόμεθα. De ceteris argumentis, quae in Phaedone maxime expromuntur, v. Ritter *Gesch. d. Philos.* II, p. 421 sqq.; Brandis *Handb.* II. 1, p. 433 sqq.; Zeller *d. Philos. d. Gr.* II, p. 266 sqq. — **d)** Communis haec est Graecorum de muliebri natura persuasio, cf. Conviv. p. 181 C, Legg. VI, p. 781 B. ἡ θήλεια ἡμῖν φύσις ἐστὶ πρὸς ἀρετὴν χείρων τῆς τῶν ἀρρένων. Rep. IV, p. 431 B, V, p. 451 E, 469 D, al. — **e)** Fatalis illa necessitas, qua animae in corpora inseruntur, inde repetenda est quod intellectus sine anima, haec sine corpore existere nequit, cf. n. 268. Eodem referenda ἡ αἴσθησις, de qua v. supra n. 251, not. b. De voluptate et dolore deque ceteris animi affectionibus v. infra n. 272. — **f)** Inde Tim. p. 90 E sqq. omnis reliquorum animalium origo repetitur. Principio enim nonnisi homines mares creatos esse fingit, exinde quicunque ignavi aut iniusti extiterint secunda generatione in feminas mutatos esse; quo tempore a diis etiam sexus discrimen est constitutum atque liberorum procreandorum facultas data hominibus. Porro avium genus ex hominibus levioribus procreatum, quadrúpedum ex iis qui rebus terrestribus nimium dediti erant, animalia aquatica ex stolidissimis quibusque et ignavissimis etc. Eandem vero migrationis legem easdemque animarum vicissitudines per omne aevum obtinere existimat, cf. Phaed. p. 80 E sqq., 107 B sqq., Phaedr. p. 248 C sqq., Rep. X, p. 620, Legg. X, p. 904, quibuscum conferenda quae similiter ficta sunt a Pythagoreis n. 73 et ab Empedocle n. 141. Quamquam apud Platonem eo maxime haec fabularum figmenta redeunt, ut bonum hominem post hanc vitam praemiis, nequam suppliciis affectum iri significet, cf. Gorg. p. 523 sqq., Phaed. p. 109 sqq. Rep. X, p. 614 A sqq. — **g)** Cf. supra n. 258 not. Patet etiam haec fabulose magis quam serio dici, nam dii

inferiores nihil faciunt neque creant nisi auctore deo summo. Vera autem mali atque imperfecti causa est illa necessaria, quae divinae opponitur (n. 261), h. e. materia. Inde quasi fato emergunt omnia quae in mundo insunt mala, quum deus materiae nonnisi persuasione (Tim. p. 47 E) dominetur, non imperio absoluto, neque omne malum ex mundo excluserit, sed quantum eius potentia valeret, cf. Tim. p. 30 A. *βουληθεὶς γὰρ ὁ θεὸς ἀγαθὰ μὲν πάντα, φλαῦρον δὲ μηδὲν εἶναι κατὰ δύναμιν* etc. in n. 263. Fatali enim necessitate ita mundus comparatus est ut malum tolli nequeat, sed cuique bono oppositum sit aliquid mali, v. Theaet. p. 176 A (n. 271), De Legg. X, p. 906 A. Quid quod De Legg. X, p. 896 D sqq., 898 C, 904 A etiam animae mundi, quae bona sit, alteram opponit malam: de qua doctrina cf. Zeller *Platon. Stud.* p. 43; *Philos. d. Griechen* II, p. 320. — **h)** Cf. n. 268 et n. 271, not. a.

Tim. p. 42 E. *Καὶ ὁ μὲν δὴ ἅπαντα ταῦτα διατάξας* 267
ἔμενεν ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει· μένοντος δὲ νοήσαντες οἱ παῖδες τὴν τοῦ πατρὸς διάταξιν ἐπείθοντο αὐτῇ, καὶ λαβόντες ἀθάνατον ἀρχὴν θνητοῦ ζῴου, μιμούμενοι τὸν σφέτερον δημιουργόν, πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια ὡς ἀποδοθησόμενα πάλιν, εἰς ταὐτὸν τὰ λαμβανόμενα συνεκόλλων, οὐ τοῖς ἀλύτοις οἷς αὐτοὶ ξυνείχοντο δεσμοῖς, ἀλλὰ διὰ σμικρότητα ἀοράτοις, πυκνοῖς γόμφοις ξυντήκοντες. ἓν ἐξ ἁπάντων ἀπεργαζόμενοι σώμα ἕκαστον, τὰς τῆς ἀθανάτου ψυχῆς περιόδους ἐνέδουν εἰς ἐπίρρυτον σῶμα καὶ ἀπόρρυτον[a]. p. 44 D. *Τὰς μὲν δὴ θείας περιόδους δύο οὔσας*[b], *τὸ τοῦ παντὸς σχῆμα ἀπομιμησάμενοι περιφερὲς ὄν, εἰς σφαιροειδὲς σῶμα ἐνέδησαν, τοῦτο ὃ νῦν κεφαλὴν ἐπονομάζομεν, ὃ θειότατόν τ' ἐστὶ καὶ τῶν ἐν ἡμῖν πάντων δεσποτοῦν. ᾧ καὶ πᾶν τὸ σῶμα παρέδοσαν ὑπηρεσίαν αὐτῷ ξυναθροίσαντες θεοί, κατανοήσαντες ὅτι πασῶν ὅσαι κινήσεις ἔσοιντο, μετέχοι. ἵν' οὖν μὴ κυλινδούμενον ἐπὶ γῆς ὕψη τε καὶ βάθη παντοδαπὰ ἐχούσης ἀποροῖ τὰ μὲν ὑπερβαίνειν, ἔνθεν δὲ ἐκβαίνειν, ὄχημ' αὐτῷ τοῦτο καὶ εὐπορίαν ἔδοσαν. ὅθεν δὴ μῆκος τὸ σῶμα ἔσχεν, ἐκτατά τε κῶλα καὶ καμπτὰ ἔφυσε τέτταρα θεοῦ μηχανησαμένου πορείαν, οἷς ἀντιλαμβανόμενον καὶ ἀπερειδόμενον διὰ πάντων τόπων πορεύεσθαι δυνατὸν γέγονε τὴν τοῦ θειοτάτου καὶ ἱερωτάτου φέρον οἴκησιν ἐπάνωθεν ἡμῶν. σκέλη μὲν οὖν χεῖρές τε ταύτῃ καὶ διὰ ταῦτα προσέφυ πᾶσι. τοῦ δ' ὄπισθεν τὸ πρόσθεν τιμιώτερον καὶ ἀρχικώτερον νομίζοντες θεοὶ ταύτῃ τὸ πολὺ τῆς πορείας ἡμῖν ἔδοσαν*[c].

a) H. e. in corpus, cuius natura perpetuam subiret vicissitudinem. Propterea initio animam et corpus in diversas partes agitari dicit, ut anima sensuum etiam affectionibus turbata primum desipiat, donec motibus corporis sedatis et perturbationibus illis bona educatione temperatis prudentiae ac sapientiae rursus compos fiat. — **b)** Alter motus et circa *ταὐτὸν* alter circa *θάτερον*, cf. Tim. p. 37 A sqq., 40 A. — **c)** In sequentibus caput vel maxime oculis insignitum esse dicit, quorum ope lumen et visus corpori suppetat, omnium sensuum praestantissimus, cf. p. 47 A. *ὄψις δὴ κατὰ τὸν ἐμὸν λόγον αἰτία τῆς μεγίστης ὠφελείας γέγονεν ἡμῖν, ὅτι τῶν νῦν λόγων περὶ τοῦ παντὸς λεγομένων οὐδεὶς ἂν ποτε ἐρρήθη μήτε ἄστρα μήτε ἥλιον μήτε οὐρανὸν ἰδόντων· νῦν δ' ἡμέρα τε καὶ νὺξ ὀφθεῖσαι μῆνές τε καὶ ἐνιαυτῶν περίοδοι μεμηχάνηνται μὲν ἀριθμόν, χρόνου δὲ ἔννοιαν περί τε τῆς τοῦ παντὸς φύσεως ζήτησιν ἔδοσαν· ἐξ ὧν ἐπορισάμεθα φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔτε ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν.* Similiter de ceteris sensibus aestimandum esse patet, quos inter auditus eo valet ut harmoniae et musicae participes simus, *ἡ δὲ ἁρμονία, ξυγγενεῖς ἔχουσα φορὰς ταῖς ἐν ἡμῖν τῆς ψυχῆς περιόδοις, τῷ μετὰ νοῦ προσχρωμένῳ Μούσαις οὐκ ἐφ' ἡδονὴν ἄλογον, καθάπερ νῦν, εἶναι δοκεῖ χρήσιμος, ἀλλ' ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς κατακόσμησιν καὶ συμφωνίαν ἑαυτῇ σύμμαχος ὑπὸ Μουσῶν δέδοται· καὶ ῥυθμὸς αἷ διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν ἐπίκουρος ἐπὶ ταὐτὰ ὑπὸ τῶν αὐτῶν ἐδόθη.*

268 Tim. p. 69 C. *Οἱ δὲ (θεοὶ) — παραλαβόντες ἀρχὴν ψυχῆς ἀθάνατον, τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν, ἄλλο τε εἶδος ἐν αὐτῷ ψυχῆς προσῳκοδόμουν τὸ θνητόν*[a], *δεινὰ καὶ ἀνάγκαια ἐν ἑαυτῷ παθήματα ἔχον, πρῶτον μὲν ἡδονήν, μέγιστον κακοῦ δέλεαρ, ἔπειτα λύπας, ἀγαθῶν φυγάς, ἔτι δ' αὖ θάρρος καὶ φόβον, ἄφρονε ξυμβούλω, θυμὸν δὲ δυσπαραμύθητον, ἐλπίδα δ' εὐπαράγωγον· αἰσθήσει δὲ ἀλόγῳ καὶ ἐπιχειρητῇ παντὸς ἔρωτι συγκερασάμενοι ταῦτα ἀναγκαίως τὸ θνητὸν γένος ξυνέθεσαν· καὶ διὰ ταῦτα δὴ σεβόμενοι μιαίνειν τὸ θεῖον, ὅ τι μὴ πᾶσα ἦν ἀνάγκη, χωρὶς ἐκείνου κατοικίζουσιν εἰς ἄλλην τοῦ σώματος οἴκησιν τὸ θνητόν, ἰσθμὸν καὶ ὅρον διοικοδομήσαντες τῆς τε κεφαλῆς καὶ τοῦ στήθους, αὐχένα μεταξὺ τιθέντες, ἵνα εἴη χωρίς. ἐν δὴ τοῖς στήθεσι καὶ τῷ καλουμένῳ θώρακι*[b] *τὸ τῆς ψυχῆς θνητὸν γένος ἐνέδουν. καὶ ἐπειδὴ τὸ μὲν ἄμεινον αὐτῆς τὸ δὲ χεῖρον πεφύκει, διοικοδομοῦσι τοῦ θώρακος αὖ τὸ κύτος, διορίζοντες οἷον γυναικῶν, τὴν δὲ ἀνδρῶν χωρὶς οἴκησιν, τὰς φρένας διάφραγμα εἰς τὸ μέσον αὐτῶν τιθέντες. τὸ μετέχον οὖν τῆς ψυχῆς ἀνδρίας καὶ θυμοῦ,*

φιλόνεικον ὄν, κατῴκισαν ἐγγυτέρω τῆς κεφαλῆς μεταξὺ τῶν φρενῶν τε καὶ αὐχένος, ἵνα τοῦ λόγου κατήκοον ὂν κοινῇ μετ' ἐκείνου βίᾳ τὸ τῶν ἐπιθυμιῶν κατέχοι γένος, ὁπότ' ἐκ τῆς ἀκροπόλεως τῷ ἐπιτάγματι καὶ λόγῳ μηδαμῇ πείθεσθαι ἑκὸν ἐθέλοι. Τὴν δὲ δὴ καρδίαν ἅμμα τῶν φλεβῶν καὶ πηγὴν τοῦ περιφερομένου κατὰ πάντα τὰ μέλη σφοδρῶς αἵματος εἰς τὴν δορυφορικὴν οἴκησιν κατέστησαν, ἵνα, ὅτε ζέσειε τὸ τοῦ θυμοῦ μένος τοῦ λόγου παραγγείλαντος ὡς τις ἄδικος περὶ αὐτὰ γίγνεται πρᾶξις ἐξωθεν ἢ καί τις ἀπὸ τῶν ἔνδοθεν ἐπιθυμιῶν, ὀξέως διὰ πάντων τῶν στενωπῶν πᾶν, ὅσον αἰσθητικὸν ἐν τῷ σώματι, τῶν τε παρακελεύσεων καὶ ἀπειλῶν αἰσθανόμενον γίγνοιτο ἐπήκοον καὶ ἕποιτο πάντῃ καὶ τὸ βέλτιστον οὕτως ἐν αὐτοῖς πᾶσιν ἡγεμονεῖν ἐῴη[c].

a) Cic. Tusc. I, 10, 20. *Plato triplicem finxit animum, cuius principatum i. e. rationem in capite sicut in arce posuit et duas partes ei parere voluit, iram et cupiditatem, quas locis disclusit; iram in pectore cupiditatem subter praecordia locavit.* Divisit enim Plato totum animum in duas partes, *τὸ λογιστικὸν* et *τὸ ἄλογον*, quorum alterum rursus in *τὸ θυμικὸν* et *τὸ ἐπιθυμητικὸν* descriptum voluit, v. Rep. IV, p. 436—441 C, ubi quid inter utrumque intercedat sic explicatur: *Οὐκοῦν καὶ ἄλλοθι, ἔφην, πολλαχοῦ αἰσθανόμεθα, ὅταν βιάζωνταί τινα παρὰ τὸν λογισμὸν ἐπιθυμίαι, λοιδοροῦντά τε αὐτὸν καὶ θυμούμενον τῷ βιαζομένῳ ἐν αὑτῷ, καὶ ὥσπερ δυοῖν στασιαζόντοιν ξύμμαχον τῷ λόγῳ γιγνόμενον τὸν θυμὸν τοῦ τοιούτου; ταῖς δ' ἐπιθυμίαις αὐτὸν κοινωνήσαντα, αἱροῦντος λόγου μὴ δεῖν ἀντιπράττειν, οἶμαί σε οὐκ ἂν φάναι γενομένου ποτὲ ἐν σαυτῷ τοῦ τοιούτου αἰσθέσθαι, οἶμαι δ' οὐδ' ἐν ἄλλῳ*, cf. Tim. p. 42 A, qui locus citatur supra n. 266, Rep. IX, p. 580 D, 588 B sqq., Phaedr. p. 246 sqq. Inter interpretes ambigitur utrum etiam has partes animi immortales esse putaverit Plato an solam rationalem, v. C. F. Hermann de partibus animae immortalibus secundum Platonem, Gotting. 1850. — {De animi immortalitate agens Plato quum plurimus est in enarrandis Graecorum aliorumque populorum fabulis, interpretes minus caute Platoni puerilem credulitatem imputaverunt. Quare viri divini doctrinam ab his nugarum tenebris purgare in libro *Stud. z. Geschichte d. Begr.* p. 105—222 conatus sum.} — **b)** *Θώραξ* plerumque ea pars corporis dicitur, quae complectitur humeros, pectus et scapulas; nonnunquam tamen etiam inferiora eo nomine comprehenduntur, cf. Aristot. Hist. Anim. IX, 2, 10 et I, 7, 10. In pectore sedem suam accepit *ὁ θυμός*, in stomacho habitant cupiditates et animi perturbationes; unde illa pars quasi virilis, altera muliebris esse dicitur. Deinde *φρένες* i. e. praecordia ideo vocantur *διάφραγμα*, quia ad instar septi transversi cor et pulmones a ceteris visceribus seiungunt. — **c)** Cordis igitur, ut in quo sit venarum origo et sanguinis per omnes corporis partes meantis fons, tanquam satellitium esse dicit, ut, si quando iracundiae vis ex-

candescat, rationis iussa minasque per arteriarum venarumque meatus ad totum corpus perferat.

269 Tim. p. 70 D. *Τὸ δὲ δὴ σίτων τε καὶ ποτῶν ἐπιθυμητικὸν τῆς ψυχῆς καὶ ὅσων ἔνδειαν διὰ τὴν τοῦ σώματος ἴσχει φύσιν, τοῦτο εἰς τὰ μεταξὺ τῶν τε φρενῶν καὶ τοῦ πρὸς τὸν ὀμφαλὸν ὅρου κατῴκισαν, οἷον φάτνην ἐν ἅπαντι τούτῳ τῷ τόπῳ τῇ τοῦ σώματος τροφῇ τεκτηνάμενοι· καὶ κατέδησαν δὴ τὸ τοιοῦτον ἐνταῦθα ὡς θρέμμα ἄγριον, τρέφειν δὲ ξυνημμένον ἀναγκαῖον, εἴ πέρ τι μέλλοι ποτὲ θνητὸν ἔσεσθαι γένος. ἵν' οὖν ἀεὶ νεμόμενον πρὸς φάτνῃ καὶ ὅτι πορρωτάτω τοῦ βουλευομένου κατοικοῦν, θόρυβον καὶ βοὴν ὡς ἐλαχίστην παρέχον, τὸ κράτιστον καθ' ἡσυχίαν περὶ τοῦ πᾶσι κοινῇ ξυμφέροντος ἐῷ βουλεύεσθαι, διὰ ταῦτ' ἐνταῦθα ἔδοσαν αὐτῷ τὴν τάξιν*[a]. *Εἰδότες δὲ αὐτὸ ὡς λόγου μὲν οὔτε ξυνήσειν ἔμελλεν, εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων, οὐκ ἔμφυτον αὐτῷ τὸ μέλειν τινῶν ἔσοιτο λόγων, ὑπὸ δὲ εἰδώλων καὶ φαντασμάτων νυκτός τε καὶ μεθ' ἡμέραν μάλιστα ψυχαγωγήσοιτο, τούτῳ δὴ θεὸς ἐπιβουλεύσας αὖτῷ τὴν τοῦ ἥπατος ἰδέαν ξυνέστησε καὶ ἔθηκεν εἰς τὴν ἐκείνου κατοίκησιν, πυκνὸν καὶ λεῖον καὶ λαμπρὸν καὶ γλυκὺ καὶ πικρότητα ἔχον μηχανησάμενος, ἵν' ἐν αὐτῷ τῶν διανοημάτων ἡ ἐκ τοῦ νοῦ φερομένη δύναμις, οἷον ἐν κατόπτρῳ δεχομένῳ τύπους καὶ κατιδεῖν εἴδωλα παρέχοντι, φοβοῖ μὲν αὐτό, ὁπότε μέρει τῆς πικρότητος χρωμένη ξυγγενεῖ, χαλεπὴ προσενεχθεῖσα ἀπειλῇ, κατὰ πᾶν ὑπομιγνῦσα ὀξέως τὸ ἧπαρ χολώδη χρώματα ἐμφαίνοι, ξυνάγουσά τε πᾶν ῥυσὸν καὶ τραχὺ ποιοῖ, λοβὸν δὲ καὶ δοχὰς πύλας τε τὰ μὲν ἐξ ὀρθοῦ κατακάμπτουσα καὶ ξυσπῶσα, τὰ δ' ἐμφράττουσα συγκλείουσά τε, λύπας καὶ ἄσας παρέχοι, καὶ ὅτ' αἷ τὰ ἐναντία φάσματα ἀποζωγραφοῖ πραότητός τις ἐκ διανοίας ἐπίπνοια, τῆς μὲν πικρότητος ἡσυχίαν παρέχουσα τῷ μήτε κινεῖν μήτε προσάπτεσθαι τῆς ἐναντίας ἑαυτῇ φύσεως ἐθέλειν, γλυκύτητι δὲ τῇ κατ' ἐκεῖνο ξυμφύτῳ πρὸς αὐτὸ χρωμένη καὶ πάντα ὀρθὰ καὶ λεῖα αὐτοῦ καὶ ἐλεύθερα ἀπευθύνουσα ἵλεών τε καὶ εὐήμερον ποιοῖ τὴν περὶ τὸ ἧπαρ ψυχῆς μοῖραν κατῳκισμένην, ἔν τε τῇ νυκτὶ διαγωγὴν ἔχουσαν μετρίαν, μαντείᾳ χρωμένην καθ' ὕπνον, ἐπειδὴ λόγου καὶ φρονήσεως οὐ μετεῖχε. μεμνημένοι γὰρ τῆς τοῦ πατρὸς ἐπιστολῆς οἱ ξυνιστάντες ἡμᾶς, ὅτε τὸ θνητὸν ἐπέστελλε γένος ὡς ἄριστον εἰς δύναμιν ποιεῖν, οὕτω δὴ κατορθοῦντες καὶ τὸ φαῦλον ἡμῶν,*

ἵνα ἀληθείας πῃ προσάπτοιτο, κατέστησαν ἐν τούτῳ τὸ μαντεῖον[b]. ἱκανὸν δὲ σημεῖον ὡς μαντικὴν ἀφροσύνῃ θεὸς ἀνθρωπίνῃ δέδωκεν· οὐδεὶς γὰρ ἔννους ἐφάπτεται μαντικῆς ἐνθέου καὶ ἀληθοῦς, ἀλλ' ἢ καθ' ὕπνον τὴν τῆς φρονήσεως πεδηθεὶς δύναμιν ἢ διὰ νόσον ἤ τινα ἐνθουσιασμὸν παραλλάξας.

a) Tertiae animi parti mediam dii inter praecordia et umbilicum regionem attribuunt, ne cupiditatum tumultu ratio in capite locata turbetur. Denique quo facilius haec pars rationi obediat, iecur in eadem regione locaverunt, ut in hoc vis quaedam cogitationum ex ratione descendat, quibus tanquam in speculo visis illa pars cohibeatur et deterreatur. Etenim vis illa rationis per iecur diffusa et amaritudine affecta partem male morigeram modo angit et cruciat, modo dulcioribus visis in iecinore ortis et ipsa dulcedinem per omnem regionem vicinam profundit. — **b)** Intelligit divinationem ex insomniis eamque in iecore ponit, quia iecur per somnum vim illam rationis vel maxime experiri credebatur. Distinguendum igitur inter hoc divinationis genus et illud quod ab ipsius mentis divina concitatione repetebatur h. e. enthusiasmum, cf. Phaedr. p. 244 A sqq., 265 A sqq., quamquam etiam hoc ad agendum et ad cognoscendum nihil pertinere, sed omnia vaticinia secundum rationem castiganda esse statuit, cf. quae sequuntur p. 71 E. ἀλλὰ ξυννοῆσαι μὲν ἔμφρονος τά τε ῥηθέντα ἀναμνησθέντα ὄναρ ἢ ὕπαρ ὑπὸ τῆς μαντικῆς τε καὶ ἐνθουσιαστικῆς φύσεως, καὶ ὅσα ἂν φαντάσματα ὀφθῇ, πάντα λογισμῷ διελέσθαι, ὅπῃ τι σημαίνει καὶ ὅτῳ μέλλοντος ἢ παρελθόντος ἢ παρόντος κακοῦ ἢ ἀγαθοῦ· τοῦ δὲ μανέντος ἔτι τε ἐν τούτῳ μένοντος οὐκ ἔργον τὰ φανέντα καὶ φωνηθέντα ὑφ' ἑαυτοῦ κρίνειν, ἀλλ' εὖ καὶ πάλαι λέγεται τὸ πράττειν καὶ γνῶναι τά τε αὑτοῦ καὶ ἑαυτὸν σώφρονι μόνῳ προσήκειν.

Tim. p. 87 C. Πᾶν δὴ τὸ ἀγαθὸν καλόν, τὸ δὲ καλὸν οὐκ 270
ἄμετρον[a]· καὶ ζῷον οὖν τὸ τοιοῦτον ἐσόμενον ξύμμετρον θετέον· ξυμμετριῶν δὲ τὰ μὲν σμικρὰ διαισθανόμενοι ξυλλογιζόμεθα, τὰ δὲ κυριώτατα καὶ μέγιστα ἀλογίστως ἔχομεν. πρὸς γὰρ ὑγιείας καὶ νόσους ἀρετάς τε καὶ κακίας οὐδεμία ξυμμετρία καὶ ἀμετρία μείζων ἢ ψυχῆς αὐτῆς πρὸς σῶμα αὐτό· ὧν οὐδὲν σκοποῦμεν οὐδ' ἐννοοῦμεν, ἵτι ψυχὴν ἰσχυρὰν καὶ πάντη μεγάλην ἀσθενέστερον καὶ ἔλαττον εἶδος ὅταν ὀχῇ, καὶ ὅταν αὖ τοὐναντίον ξυμπαγῆτον τούτω, οὐ καλὸν ὅλον τὸ ζῷον· ἀξύμμετρον γὰρ ταῖς μεγίσταις ξυμμετρίαις· τὸ δ' ἐναντίως ἔχον πάντων θεαμάτων τῷ δυναμένῳ καθορᾶν κάλλιστον καὶ ἐρασμιώτατον. p. 88 B. Μία δὴ σωτηρία πρὸς ἄμφω, μήτε τὴν ψυχὴν ἄνευ σώματος κινεῖν μήτε σῶμα ἄνευ ψυχῆς, ἵνα ἀμυνομένω γίγνησθον ἰσορρόπω καὶ ὑγιῆ. τὸν δὴ μαθηματικὸν ἤ τινα ἄλλην σφόδρα με-

λέτην διανοίᾳ κατεργαζόμενον καὶ τὴν τοῦ σώματος ἀποδοτέον κίνησιν, γυμναστικῇ προσομιλοῦντα, τόν τε αὖ σῶμα ἐπιμελῶς πλάττοντα τὰς τῆς ψυχῆς ἀνταποδοτέον κινήσεις, μουσικῇ καὶ πάσῃ φιλοσοφίᾳ προσχρώμενον, εἰ μέλλει δικαίως τις ἅμα μὲν καλὸς ἅμα δὲ ἀγαθὸς ὀρθῶς κεκλήσεσθαι. p. 89 E. Καθάπερ εἰπόμεν πολλάκις, ὅτι τρία τριχῇ ψυχῆς ἐν ἡμῖν εἴδη κατῴκισται[b], τυγχάνει δὲ ἕκαστον κινήσεις ἔχον, οὕτω κατὰ ταὐτὰ καὶ νῦν ὡς διὰ βραχυτάτων ῥητέον, ὅτι τὸ μὲν αὐτῶν ἐν ἀργίᾳ διάγον καὶ τῶν ἑαυτοῦ κινήσεων ἡσυχίαν ἄγον ἀσθενέστατον ἀνάγκη γίγνεσθαι, τὸ δ' ἐν γυμνασίοις ἐρρωμενέστατον· διὸ φυλακτέον ὅπως ἂν ἔχωσι τὰς κινήσεις πρὸς ἄλληλα συμμέτρους· τὸ δὲ περὶ τοῦ κυριωτάτου παρ' ἡμῖν ψυχῆς εἴδους διανοεῖσθαι δεῖ τῇδε, ὡς ἄρα αὐτὸ δαίμονα θεὸς ἑκάστῳ δέδωκε, τοῦτο ὃ δὴ φαμὲν οἰκεῖν μὲν ἡμῶν ἐπ' ἄκρῳ τῷ σώματι, πρὸς δὲ τὴν ἐν οὐρανῷ ξυγγένειαν ἀπὸ γῆς ἡμᾶς αἴρειν ὡς ὄντας φυτὸν οὐκ ἔγγειον ἀλλὰ οὐράνιον, ὀρθότατα λέγοντες· ἐκεῖθεν γὰρ, ὅθεν ἡ πρώτη τῆς ψυχῆς γένεσις ἔφυ, τὸ θεῖον τὴν κεφαλὴν καὶ ῥίζαν ἡμῶν ἀνακρεμαννὺν ὀρθοῖ πᾶν τὸ σῶμα.[c]

a) Cf. Phileb. p. 64 E sqq. Eodem spectat omnis amoris commendatio; nam amore ferimur ad pulchrum, pulchri vero admiratione atque perceptione ad bonum et verum adducimur, quod unum idemque est diversis nominibus appellatum, v. supra n. 244, not. d, n. 259, not. Hoc tamen loco sermo est de ea symmetria, quae est mentis sanae in corpore sano. ζῷον τὸ τοιοῦτον intellige καλὸν καὶ ἀγαθόν. — **b)** Cf. n. 268, not. a. — **c)** Νοῦν igitur tanquam daemonem unicuique homini additum pronuntiat, quae sententia ab aliis ad Heraclitum, ab aliis ad Anaxagoram refertur; in posterioribus cf. Marc. Antonin. V, 27. ὁ δαίμων, ὃν ἑκάστῳ παραστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν ἀπόσπασμα ἑαυτοῦ· οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος. Apud Platonem etiam hinc intelligitur omnia ad id quod summum est referri h. e. ad intellectum divinum et ideam boni, quae summa causa est et omnium rerum finis, cf. Phileb. p. 54 B. φημὶ δὴ γενέσεως μὲν ἕνεκα φάρμακά τε καὶ πάντα ὄργανα καὶ πᾶσαν ὕλην παρατίθεσθαι πᾶσιν, ἑκάστην δὲ γένεσιν ἄλλην ἄλλης οὐσίας τινὸς ἑκάστης ἕνεκα γίγνεσθαι, ξύμπασαν δὲ γένεσιν οὐσίας ἕνεκα γίγνεσθαι ξυμπάσης. Neque aliter de Platone iudicavit Aristoteles, nisi quod eum singulas res et singulas causas parum curasse et ideo in multis errasse significat, v. De Gen. et Corr. II, 9; Met. *A*, 7.

e. Ethica.

271 Theaet. p. 176 A. Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν, ὦ Θεόδωρε, ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη,

οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης[a]. *διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι*[b].

a) {De ethica Pl. doctissime et acutissime egit Thomas Maguire libro Essays on the Platonic ethics 1870.} — De malis bono in hoc quidem mundo mixtis v. n. 268, not. g. Nihilominus libero arbitrio patrocinatur, De Rep. X, p. 617 E. *ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. αἰτία ἑλομένου· θεὸς ἀναίτιος.* De Legg. X, p. 904 B. *τῆς δὲ γενέσεως τὸ ποίου τινὸς ἀφῆκε ταῖς βουλήσεσιν ἑκάστων ἡμῶν τὰς αἰτίας. ὅπῃ γὰρ ἂν ἐπιθυμῇ καὶ ὁποῖός τις ὢν τὴν ψυχήν, ταύτῃ σχεδὸν ἕκάστοτε καὶ τοιοῦτος γίγνεται ἅπας ἡμῶν ὡς τὸ πολύ.* At enimvero malum fatali quadam necessitate sicut in mundo ita etiam in singulis mortalibus inesse videtur, ipsisque invitis dum fiunt et adolescunt emergere perque naturas eorum grassari, cf. Tim. p. 86 D. *καὶ σχεδὸν δὴ πάντα, ὁπόσα ἡδονῶν ἀκράτεια καὶ ὄνειδος ὡς ἑκόντων λέγεται τῶν κακῶν, οὐκ ὀρθῶς ὀνειδίζεται· κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπείδευτον τροφὴν ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἔχθρὰ καὶ ἄκοντι προσγίγνεται.* p. 87 A. *πρὸς δὲ τούτοις, ὅταν οὕτω κακῶς παγέντων πολιτεῖαι καὶ λόγοι κατὰ πόλεις ἰδίᾳ τε καὶ δημοσίᾳ λεχθῶσιν, ἔτι δὲ μαθήματα μηδαμῇ τούτων ἰατικὰ ἐκ νέων μανθάνηται, ταύτῃ κακοὶ πάντες οἱ κακοὶ διὰ δύο ἀκουσιώτατα γιγνόμεθα· ὧν αἰτιατέον μὲν τοὺς φυτεύοντας ἀεὶ τῶν φυτευομένων μᾶλλον καὶ τοὺς τρέφοντας τῶν τρεφομένων.* Statuebat esse tempora fecundiora et infecundiora non modo corporum, sed etiam animorum et ingeniorum, quorum temporum tenor penderet ab arcanis quibusdam universi legibus, v. De Rep. VIII, p. 546 A; Polit. p. 269 C sq. De fabulis, quibus suam de universis morum atque animorum condicionibus sententiam significavit, Phaedr. p. 246 sqq., Rep. X, p. 614 sqq. cf. Trendelenburg *Histor. Beiträge* II, p. 140 sqq. — **b)** Cf. Phaedo p. 64 sqq. (n. 251, not. b), Rep. X, p. 613 A. *οὐ γὰρ δὴ ὑπό γε θεῶν ποτὲ ἀμελεῖται ὃς ἂν προθυμεῖσθαι ἐθέλῃ δίκαιος γίγνεσθαι καὶ ἐπιτηδεύων ἀρετὴν εἰς ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ.* Cf. VI, p. 500 B sqq., 504 C, Legg. IV, p. 716 C. Deo similes fiunt qui ideam boni sequuntur, quae idea et finis bonorum est cum notione dei coniunctissima, cf. n. 259. 260.

Gorg. p. 499 E. *ΣΩ. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα* 272
ἡμῖν ἔδοξε πρακτέον εἶναι εἰ μνημονεύεις ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ συνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκεν δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐχ ἐκεῖνο τῶν ἄλλων; σύμψηφος ἡμῖν εἶ καὶ σὺ ἐκ τρίτων; ΚΑΛ. Ἔγωγε. ΣΩ. Τῶν ἀγαθῶν ἄρα ἕνεκα δεῖ καὶ τἆλλα καὶ

τὰ ἡδέα πράττειν, ἀλλ᾽ οὐ τἀγαθὰ τῶν ἡδέων. ΚΑΛ. Πάνυ γε. ΣΩ. Ἆρ᾽ οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ δεῖ εἰς ἕκαστον; ΚΑΛ. Τεχνικοῦ.

Voluptas Platoni necessaria esse videbatur propter boni et mali, quae per vitam nostram obtineret, commixtionem. Efficitur voluptas dum desiderium expletur eius, quod naturae nostrae consentaneum est. Fit igitur illa, non est, neque idcirco bonis adnumerari potest, Phil. p. 53 C sqq., de Rep. IX, p. 585 D. Sed distinguendum inter voluptatem puram et impuram, quarum haec procedit ex eo dolore, quo indigentes aliqua re afficimur, ut nunquam percipiatur nisi una cum dolore, Phileb. p. 44 E sqq. Phaed. p. 60 B: pura autem voluptas doloris expers et eamque ob causam ad vitam bonam convenientior, Phileb. p. 51 A sqq. Aliud discrimen est inter bonam et malum voluptatem. Quaevis enim animi pars, ubi repletur eo quod naturae suae congruum est, voluptate afficitur, optima voluptate optima pars: haec vera voluptas est et hac omnis voluptas bona sive vera aestimatur, quae non potest percipi nisi in vita bona sive ad rationem accomodata. V. de Rep. IX, p. 580 D sqq., inprimis p. 586 E. *Τῷ φιλοσόφῳ ἄρα ἑπομένης ἀπάσης τῆς ψυχῆς καὶ μὴ στασιαζούσης ἑκάστῳ τῷ μέρει ὑπάρχει εἴς τε τἆλλα τὰ ἑαυτοῦ πράττειν καὶ δικαίῳ εἶναι, καὶ δὴ καὶ τὰς ἡδονὰς τὰς ἑαυτοῦ ἕκαστον καὶ τὰς βελτίστας καὶ εἰς τὸ δυνατὸν τὰς ἀληθεστάτας καρποῦσθαι. Κομιδῇ μὲν οὖν. Ὅταν δὲ ἄρα τῶν ἑτέρων τι κρατήσῃ, ὑπάρχει αὐτῷ μήτε τὴν ἑαυτοῦ ἡδονὴν ἐξευρίσκειν τά τε ἄλλα ἀναγκάζειν ἀλλοτρίαν καὶ μὴ ἀληθῆ ἡδονὴν διώκειν. Οὕτως, ἔφη.* De Philebo, quo in dialogo maxime de bono et de voluptate disputatur, cf. Trendelenburg de Platonis Philebi consilio, Berol. 1837, Brandis *Handb.* II, 1, p. 476 sqq.

273 De Rep. I, p. 353 B. *Ἔχε δή· ἆρ᾽ ἂν ποτε ὄμματα τὸ αὑτῶν ἔργον καλῶς ἀπεργάσαιντο μὴ ἔχοντα τὴν αὑτῶν οἰκείαν ἀρετήν, ἀλλ᾽ ἀντὶ τῆς ἀρετῆς κακίαν; Καὶ πῶς ἄν; ἔφη. — Οὐκοῦν καὶ ὦτα στερόμενα τῆς αὑτῶν ἀρετῆς κακῶς τὸ αὑτῶν ἔργον ἀπεργάσεται; Πάνυ γε. — Ἴθι δή, μετὰ ταῦτα τόδε σκέψαι· ψυχῆς ἔστι τι ἔργον, ὃ ἄλλῳ τῶν ὄντων οὐδ᾽ ἂν ἑνὶ πράξαις, οἷον τὸ τοιόνδε· τὸ ἐπιμελεῖσθαι καὶ ἄρχειν καὶ βουλεύεσθαι καὶ τὰ τοιαῦτα πάντα, ἔσθ᾽ ὅτῳ ἄλλῳ ἢ ψυχῇ δικαίως ἂν αὐτὰ ἀποδοῖμεν καὶ φαῖμεν ἴδια ἐκείνης εἶναι; Οὐδενὶ ἄλλῳ. Τί δ᾽ αὖ τὸ ζῆν; οὐ*) *ψυχῆς φήσομεν ἔργον εἶναι; Μάλιστά γ᾽, ἔφη. Οὐκοῦν καὶ ἀρετήν φαμέν τινα ψυχῆς εἶναι; Φαμέν. Ἆρ᾽ οὖν ποτέ, ὦ Θρασύμαχε, ψυχὴ τὰ αὑτῆς ἔργα εὖ ἀπεργάσεται στερομένη τῆς οἰκείας ἀρετῆς, ἢ ἀδύνατον; Ἀδύνατον.*

*) *οὐ* adiecit Stallbaum ex codd. Flor. et Stobaeo.

Ἀνάγκη ἄρα κακῇ ψυχῇ κακῶς ἄρχειν καὶ ἐπιμελεῖσθαι, τῇ δὲ ἀγαθῇ πάντα ταῦτα εὖ πράττειν.

Virtutis quae hoc loco adumbratur definitio leniter inflectitur, ubi virtus revocatur ad animi sanitatem (*ὑγίειαν*) sive vigorem (*εὐεξίαν*), De Rep. IV. p. 444 D, VIII, p. 554 E; De Legg. II, p. 653 B; Phaed. p. 93 E.

Meno p. 88 C. *Εἰ ἄρα ἀρετὴ τῶν ἐν τῇ ψυχῇ τί ἐστι καὶ* 274
ἀναγκαῖον αὐτῷ ὠφελίμῳ εἶναι, φρόνησιν αὐτὸ δεῖ εἶναι, ἐπειδήπερ πάντα τὰ κατὰ τὴν ψυχὴν αὐτὰ μὲν καθ' αὑτὰ οὔτε ὠφέλιμα οὔτε βλαβερά ἐστι, προσγενομένης δὲ φρονήσεως ἢ ἀφροσύνης βλαβερά τε καὶ ὠφέλιμα γίγνεται. κατὰ δὴ τοῦτον τὸν λόγον ὠφελιμόν γε οὖσαν τὴν ἀρετὴν φρόνησιν δεῖ τιν' εἶναι.

Sequitur ut omnis virtus in scientia posita sit et doceri possit, denique ut vera virtus attribuenda sit nemini nisi sapienti i. e. philosopho, cf. Phaed. p. 68 C sqq., inprimis haec: *Ὦ μακάριε Σιμμία, μὴ γὰρ οὐχ αὕτη ᾖ ἡ ὀρθὴ πρὸς ἀρετὴν ἀλλαγή, ἡδονὰς πρὸς ἡδονὰς καὶ λύπας πρὸς λύπας καὶ φόβον πρὸς φόβον καταλλάττεσθαι μείζω πρὸς ἐλάττω ὥσπερ νομίσματα, ἀλλ' ἦ ἐκεῖνο μόνον τὸ νόμισμα ὀρθόν, ἀνθ' οὗ δεῖ ἅπαντα ταῦτα καταλλάττεσθαι, φρόνησις, καὶ τούτου μὲν πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ καὶ ἀνδρεία καὶ σωφροσύνη καὶ δικαιοσύνη καὶ ξυλλήβδην ἀληθὴς ἀρετὴ μετὰ φρονήσεως, καὶ προσγιγνομένων καὶ ἀπογιγνομένων καὶ ἡδονῶν καὶ φόβων καὶ τῶν ἄλλων πάντων τῶν τοιούτων.* Quamquam hoc eo lenitur, quod etiam ex recta opinione virtutem procedere posse docebat, licet sit imperfecta, Meno p. 97 A, cf. supra n. 246 not. De fortitudine ad sapientiam referenda disputatur in Lachete, de temperantia in Charmide. Cf. Polit. p. 309 D. *Τί οὖν; ἀνδρεία ψυχὴ λαμβανομένη τῆς τοιαύτης ἀληθείας ἆρ' οὐχ ἥμερο*ῦ*ται καὶ τῶν δικαίων μάλιστα οὕτω κοινωνεῖν ἂν ἐθελήσειε, μὴ μεταλαβοῦσα δὲ ἀποκλίνει μᾶλλον πρὸς θηριώδη τινὰ φύσιν; § Πῶς δ' οὔ; § Τί δέ; τὸ τῆς κοσμίας φύσεως ἆρ' οὐ τούτων μὲν μεταλαβὸν τῶν δοξῶν ὄντως σῶφρον καὶ φρόνιμον ὡς γε ἐν πολιτείᾳ γίγνεται, μὴ κοινωνῆσαν δὲ ὧν λέγομεν ἐπονείδιστόν τινα εὐηθείας δικαιότατα λαμβάνει φήμην; § Πάνυ μὲν οὖν.*

De Rep. IV, p. 433 A. *Ὃ γὰρ ἐξ ἀρχῆς ἐθέμεθα δεῖν* 275
ποιεῖν διὰ παντός, ὅτε τὴν πόλιν κατῳκίζομεν, τοῦτό ἐστιν, ὡς ἐμοὶ δοκεῖ, ἤτοι τούτου τι εἶδος ἡ δικαιοσύνη. ἐθέμεθα δὲ δήπου καὶ πολλάκις ἐλέγομεν, εἰ μέμνησαι, ὅτι ἕνα ἕκαστον ἓν δέοι ἐπιτηδεύειν τῶν περὶ τὴν πόλιν, εἰς ὃ αὐτοῦ ἡ φύσις ἐπιτηδειοτάτη πεφυκυῖα εἴη. Ἐλέγομεν γάρ. Καὶ μὴν ὅτι γε τὸ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν.

Εἰρήκαμεν γάρ. Τοῦτο τοίνυν, ἦν δ' ἐγώ, ὦ φίλε, κινδυνεύει τρόπον τινὰ γιγνόμενον ἡ δικαιοσύνη εἶναι, τὸ τὰ αὑτοῦ πράττειν. οἶσθα ὅθεν τεκμαίρομαι; Οὔκ, ἀλλὰ λέγ', ἔφη. Δοκεῖ μοι, ἦν δ' ἐγώ, τὸ ὑπόλοιπον ἐν τῇ πόλει ὡς ἐσκέμμεθα, σωφροσύνης καὶ ἀνδρείας καὶ φρονήσεως, τοῦτο εἶναι, ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν ὥστε ἐγγενέσθαι, καὶ ἐγγενομένοις γε σωτηρίαν παρέχειν ἕωσπερ ἂν ἐνῇ.

Iustitia igitur in civitate ea virtus esse statuitur, quae prudentiae fortitudini temperantiae quasi vires det h. e. faciat ut illae possint esse efficaces. Cernitur enim omnis iustitia in hoc, ut unaquaeque pars suum praestet officium, cf. n. 276, similiterque in hominis animo illa virtus comparet, si sua quaeque pars animi perficit et omnes bene inter se conveniunt, cf. Rep. IV, p. 443 C. *τὸ δέ γε ἀληθὲς — ἡ δικαιοσύνη — περὶ τὴν ἐντὸς (πρᾶξιν) ὡς ἀληθῶς, περὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, μὴ ἐάσαντα τἀλλότρια πράττειν ἕκαστον ἐν αὑτῷ μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη, ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὖ θέμενον καὶ ἄρξαντα αὐτὸν αὑτοῦ καὶ κοσμήσαντα καὶ φίλον γενόμενον ἑαυτῷ καὶ ξυναρμόσαντα.* Inde nascitur ea animi concinnitas et tranquillitas, qua omnis et virtus et beatitudo constat, Rep. I, p. 350 C. *ὁ μὲν ἄρα δίκαιος ἡμῖν ἀναπέφανται ὢν ἀγαθός τε καὶ σοφός, ὁ δὲ ἄδικος ἀμαθής τε καὶ κακός.* VIII, p. 554 E. *ὁμονοητικῆς δὲ καὶ ἡρμοσμένης τῆς ψυχῆς ἀληθὴς ἀρετή.*

276 De Rep. IV, p. 441 C. *Ταῦτα μὲν ἄρα, ἦν δ' ἐγώ, μόγις διανενεύκαμεν, καὶ ἡμῖν ἐπιεικῶς ὁμολογεῖται τὰ αὐτὰ μὲν ἐν πόλει, τὰ αὐτὰ δ' ἐν ἑνὸς ἑκάστου τῇ ψυχῇ γένη ἐνεῖναι*[a], *καὶ ἴσα τὸν ἀριθμόν. Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς πόλις ἦν σοφὴ καὶ ᾗ, οὕτω καὶ τὸν ἰδιώτην καὶ τούτῳ σοφὸν εἶναι; Τί μήν; Καὶ ᾗ δὴ ἀνδρεῖος ἰδιώτης καὶ ὡς, τούτῳ καὶ πόλιν ἀνδρείαν καὶ οὕτω, καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ δίκαιον δή, ὦ Γλαύκων, οἶμαι, φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ ᾧ περ καὶ πόλις ἦν δικαία. Καὶ τοῦτο πᾶσα ἀνάγκη. Ἀλλ' οὔ πω μὴν τοῦτο ἐπλελήσμεθα, ὅτι ἐκείνη γε τῷ τὸ ἑαυτοῦ ἕκαστον ἐν αὐτῇ πράττειν τριῶν ὄντων γενῶν δικαία ἦν. Οὔ μοι δοκοῦμεν, ἔφη, ἐπιλελῆσθαι. Μνημονευτέον ἄρα ἡμῖν ὅτι καὶ ἡμῶν ἕκαστος, ὅτου ἂν τὰ αὑτοῦ ἕκαστον τῶν ἐν αὐτῷ πράττῃ, οὗτος δίκαιός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα, ἦ δ' ὅς, μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσήκει, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ ξυμμάχῳ τούτου; Πάνυ γε. Ἆρ'*

οὖν οὐχ ὥσπερ ἐλέγομεν, μουσικῆς καὶ γυμναστικῆς κρᾶσις[b] ξύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δὲ ἀνιεῖσα, παραμυθουμένη, ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ἦ δ' ὅς. Καὶ τούτω δὴ οὕτω τραφέντε καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε προστατήσετον τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ καὶ χρημάτων φύσει ἀπληστότατον· ὃ τηρήσετον, μὴ τῷ πίμπλασθαι τῶν περὶ τὸ σῶμα καλουμένων ἡδονῶν πολὺ καὶ ἰσχυρὸν γενόμενον οὐκ αὖ τὰ αὑτοῦ πράττῃ, ἀλλὰ καταδουλώσασθαι καὶ ἄρχειν ἐπιχειρήσῃ ὧν οὐ προσῆκον αὐτῷ γένει, καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψῃ. Πάνυ μὲν οὖν, ἔφη. Ἆρ' οὖν, ἦν δ' ἐγώ, καὶ τοὺς ἔξωθεν πολεμίους τούτω ἂν κάλλιστα φυλαττοίτην ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν βουλεύόμενον, τὸ δὲ προπολεμοῦν, ἑπόμενον δὲ τῷ ἄρχοντι καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα; Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασώζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν τε καὶ μή. Ὀρθῶς γ', ἔφη. Σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει, τῷ ὃ ἦρχέ τ' ἐν αὐτῷ καὶ ταῦτα παρήγγελλεν, ἔχον αὖ κἀκεῖνο ἐπιστήμην ἐν αὐτῷ τὴν τοῦ ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. Πάνυ μὲν οὖν. Τί δέ; σώφρονα οὐ τῇ φιλίᾳ καὶ ξυμφωνίᾳ τῇ αὐτῶν τούτων, ὅταν τό τε ἄρχον καὶ τὼ ἀρχομένω τὸ λογιστικὸν ὁμοδοξῶσι δεῖν ἄρχειν καὶ μὴ στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν, ἦ δ' ὅς, οὐκ ἄλλο τί ἐστιν ἢ τοῦτο, πόλεώς τε καὶ ἰδιώτου. Ἀλλὰ μὲν δὴ δίκαιός γε, ᾧ πολλάκις λέγομεν, τούτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη.

a) Tres animi partes dicit, v. n. 268, not. a, quas comparat cum tribus ordinibus civitatis, v. n. 279. — **b)** Cf. n. 270. Musica est omnium artium litterarumque tractatio, ut etiam *λόγοι καλοὶ* et *τὰ μαθήματα* ap eam referantur, De Rep. II, p. 376 E. sqq., III, p. 410 B sqq. — Universus locus est de quatuor virtutibus cardinalibus, de quibus sapientia (*σοφία φρόνησις ἐπιστήμη*) et fortitudo et temperantia pertinent ad singulas animi partes recte colendas, iustitia ad universum animum et partium convenientiam, v. n. 275. Omnes virtutes ita inter se connexae sunt et aptae, ut altera non possit esse sine altera; itemque omnes subiectae sunt sapientiae, qua et convenientia illa iustitiae efficitur et ceterae virtutes quasi luce quadam rationis illustrantur, cf. n. 274. Haec igitur virtus ad scientiam maxime pertinet, cum reliquae exercitatione colendae ad corpus magis vergant, cf. De Rep. VII, p. 518 B sqq., ubi

prae ceteris attinent haec: *αἱ μὲν τοίνυν ἄλλαι ἀρεταὶ καλούμεναι ψυχῆς κινδυνεύουσιν ἐγγύς τι εἶναι τῶν τοῦ σώματος. τῷ ὄντι γὰρ οὐκ ἐνοῦσαι πρότερον ὕστερον ἐμποιεῖσθαι ἔθεσί τε καὶ ἀσκήσεσιν· ἡ δὲ τοῦ φρονῆσαι παντὸς μάλλον θειοτέρου τινὸς τυγχάνει, ὡς ἔοικεν, οὖσα, ὃ τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμον καὶ ὠφέλιμον καὶ ἄρχηστον αὖ καὶ βλαβερὸν γίγνεται.*

277 De Rep. VI, p. 496 E. *Ἀλλά τοι, ἦ δ' ὅς, οὐ τὰ ἐλάχιστα ἂν διαπραξάμενος ἀπολλάττοιτο* (sc. *ὁ φιλόσοφος*). *Οὐδέ γε, εἶπον, τὰ μέγιστα, μὴ τυχὼν πολιτείας προσηκούσης· ἐν γὰρ προσηκούσῃ αὐτός τε μᾶλλον αὐξήσεται καὶ μετὰ τῶν ἰδίων τὰ κοινὰ σώσει*[a]. De Legg. IV, p. 707 E. *Ἀλλὰ γὰρ ἀποβλέποντες νῦν πρὸς πολιτείας ἀρετὴν καὶ χώρας φύσιν σκοπούμεθα καὶ νόμων τάξιν, οὐ τὸ σώζεσθαί τε καὶ εἶναι μόνον ἀνθρώποις τιμιώτατον ἡγούμενοι, καθάπερ οἱ πολλοί, τὸ δ' ὡς βελτίστους γίγνεσθαί τε καὶ εἶναι τοσοῦτον χρόνον ὅσον ἂν ὦσιν*[b].

a) Aliis quidem locis philosophi imago sic adumbratur, tanquam a republica prorsus abstinere debeat, velut Theaet. p. 172 C sq., De Rep. I, p. 345 E sqq., VII, p. 519 C sqq.; sed tum spectat imperfectas quae vulgo obtinerent civitatum formas et id maxime agit ut philosophum altius tendere debere, veritatem contemplari eamque protinus sequi praedicet: prae quo studio reipublicae studia necessaria illa quidem, sed parum honesta esse, De Rep. VII, p. 540 B. — **b)** Gorg. p. 515 B. *οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βουλόμενος εἰδέναι ὁντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν ἡμῖν, εἰ ἄλλου του ἆρα ἐπιμελήσει ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πόλεως πράγματα, ἢ ὅπως ὅτι βέλτιστοι οἱ πολῖται ὦμεν;* Cf. Polit. p. 309 C; Legg. I, p. 632 D; IV. p. 702 A, 705 sqq, al.

278 De Rep. II, p. 369 B. *Γίγνεται τοίνυν, ἦν δ' ἐγώ, πόλις, ὡς ἐγῷμαι, ἐπειδὴ τυγχάνει ἡμῶν ἕκαστος οὐκ αὐτάρκης ἀλλὰ πολλῶν ἐνδεής· ἢ τίν' οἴει ἀρχὴν ἄλλην πόλιν οἰκίζειν; Οὐδεμίαν, ἦ δ' ὅς. Οὕτω δὴ ἄρα παραλαμβάνων ἄλλος ἄλλον ἐπ' ἄλλου, τὸν δ' ἐπ' ἄλλου χρείᾳ, πολλῶν δεόμενοι, πολλοὺς εἰς μίαν οἴκησιν ἀγείραντες κοινωνούς τε καὶ βοηθούς, ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα. ἦ γάρ; Πάνυ μὲν οὖν.* Ibid. p. 370 A. *Ἐννοῶ γὰρ καὶ αὐτὸς εἰπόντος σοῦ ὅτι πρῶτον μὲν ἡμῶν φύεται ἕκαστος οὐ πάνυ ὅμοιος ἑκάστῳ, ἀλλὰ διαφέρων τὴν φύσιν, ἄλλος ἐπ' ἄλλου ἔργου πρᾶξιν. ἢ οὐ δοκεῖ σοι; Ἔμοιγε. Τί δέ; πότερον κάλλιον πράττοι ἄν τις εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος, ἢ ὅταν μίαν εἷς; Ὅταν, ἦ δ' ὅς, εἷς μίαν*[a]. Ib. p. 371 A. *Καὶ ἐμπόρων δὴ δεησόμεθα. Πάνυ γε. Καὶ*

ἐὰν μέν γε κατὰ θάλατταν ἡ ἐμπορία γίγνηται, συχνῶν καὶ ἄλλων προσδεήσεται τῶν ἐπιστημόνων τῆς περὶ τὴν θάλατταν ἐργασίας. Συχνῶν μέντοι. Τί δὲ δή; ἐν αὐτῇ τῇ πόλει πῶς ἀλλήλοις μεταδώσουσιν ὧν ἂν ἕκαστοι ἐργάζωνται; ὧν δὴ ἕνεκα καὶ κοινωνίαν ποιησάμενοι πάλιν ᾠκίσαμεν. Δῆλον δή, ἦ δ' ὅς, ὅτι πωλοῦντες καὶ ὠνούμενοι. Ἀγορὰ δὴ ἡμῖν καὶ νόμισμα ξύμβολον τῆς ἀλλαγῆς ἕνεκα γενήσεται ἐκ τούτου. Πάνυ μὲν οὖν Ib. p. 371 D. Αὕτη ἄρα, ἦν δ' ἐγώ, ἡ χρεία καπήλων ἡμῖν γένεσιν ἐμποιεῖ τῇ πόλει. Ib. p. 371 E. Ἆρ' οὖν, ὦ Ἀδείμαντε, ἤδη ἡμῖν ηὔξηται ἡ πόλις, ὥστ' εἶναι τελέα; Ἴσως. Ποῦ οὖν. ἂν ποτε ἐν αὐτῇ εἴη ἥ τε δικαιοσύνη καὶ ἡ ἀδικία; καὶ τίνι ἅμα ἐγγενομένη ὧν ἐσκέμμεθα; Ἐγὼ μέν, ἔφη, οὐκ ἐννοῶ, ὦ Σώκρατες, εἰ μή που ἐν αὐτῶν τούτων χρείᾳ τινὶ τῇ πρὸς ἀλλήλους. Ἀλλ' ἴσως, ἦν δ' ἐγώ, καλῶς λέγεις[b].

a) In sequentibus p. 374 A sqq. eo usque in hac munerum distributione procedit, ut militantium etiam peculiarem ordinem esse iubeat. — **b)** Veram Platonis hac de re sententiam habebis in n. subsequenti.

De Rep. IV, p. 428 E. Τῷ σμικροτάτῳ ἄρα ἔθνει καὶ 279
μέρει ἑαυτῆς καὶ τῇ ἐν τούτῳ ἐπιστήμῃ, τῷ προεστῶτι καὶ ἄρχοντι, ὅλη σοφὴ ἂν εἴη κατὰ φύσιν οἰκισθεῖσα πόλις· καὶ τοῦτο, ὡς ἔοικε, φύσει ὀλίγιστον γίγνεται γένος, ᾧ προσήκει ταύτης τῆς ἐπιστήμης μεταλαγχάνειν, ἣν μόνην δεῖ τῶν ἄλλων ἐπιστημιῶν σοφίαν καλεῖσθαι[a]. Ib. p. 429 A. Ἀλλὰ μὴν ἀνδρεία γε αὐτή τε καὶ ἐν ᾧ κεῖται τῆς πόλεως, δι' ὃ τοιαύτη κλητέα ἡ πόλις οὐ πάνυ χαλεπὸν ἰδεῖν. Πῶς δή; Τίς ἄν, ἦν δ' ἐγώ, εἰς ἄλλο τι ἀποβλέψας ἢ δειλὴν ἢ ἀνδρείαν πόλιν εἴποι, ἀλλ' ἢ εἰς τοῦτο τὸ μέρος, ὃ προπολεμεῖ τε καὶ στρατεύεται ὑπὲρ αὐτῆς; Οὐδ' ἂν εἷς, ἔφη, εἰς ἄλλο τι. Οὐ γάρ, οἶμαι, εἶπον, οἵ γε ἄλλοι ἐν αὐτῇ ἢ δειλοὶ ἢ ἀνδρεῖοι ὄντες κύριοι ἂν εἶεν ἢ τοίαν αὐτὴν εἶναι ἢ τοίαν. Οὐ γάρ. Καὶ ἀνδρεία ἄρα πόλις μέρει τινὶ ἑαυτῆς ἐστί, διὰ τὸ ἐν ἐκείνῳ ἔχειν δύναμιν τοιαύτην, ἣ διὰ παντὸς σώσει τὴν περὶ τῶν δεινῶν δόξαν, ταὐτά τε αὐτὰ εἶναι καὶ τοιαῦτα, ἃ τε καὶ οἷα ὁ νομοθέτης παρήγγειλεν ἐν τῇ παιδείᾳ. Ib. p. 431 D. Εἰ ἄρα δεῖ τινὰ πόλιν προσαγορεύειν κρείττω ἡδονῶν τε καὶ ἐπιθυμιῶν καὶ αὐτὴν αὑτῆς, καὶ ταύτην προσρητέον. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ καὶ σώφρονα κατὰ πάντα ταῦτα; Καὶ μάλα, ἔφη· Καὶ μὴν εἴπερ αὖ ἐν ἄλλῃ πόλει ἡ αὐτὴ δόξα ἔνεστι τοῖς τε ἄρχουσι καὶ ἀρχο-

μένοις περὶ τοῦ οὔστινας δεῖ ἄρχειν, καὶ ἐν ταύτῃ ἂν εἴη τοῦτο ἐνόν· ἢ οὐ δοκεῖ; Καὶ μάλα, ἔφη, σφόδρα. Ἐν ποτέροις οὖν φήσεις τῶν πολιτῶν τὸ σωφρονεῖν ἐνεῖναι, ὅταν οὕτως ἔχωσιν, ἐν τοῖς ἄρχουσιν ἢ ἐν τοῖς ἀρχομένοις; Ἐν ἀμφοτέροις που, ἔφη. Ib. p. 434 A. *Τέκτων σκυτοτόμου ἐπιχειρῶν ἔργα ἐργάζεσθαι ἢ σκυτοτόμος τέκτονος, ἢ τὰ ὄργανα μεταλαμβάνοντες ἀλλήλων ἢ τιμάς, ἢ καὶ ὁ αὐτὸς ἐπιχειρῶν ἀμφότερα πράττειν, πάντα τἆλλα μεταλλαττόμενα, ἆρά σοι ἄν τι δοκεῖ μέγα βλάψαι πόλιν; Οὐ πάνυ, ἔφη. Ἀλλ' ὅταν γε, οἶμαι, δημιουργὸς ὢν ἤ τις ἄλλος χρηματιστὴς φύσει, ἔπειτα ἐπαιρόμενος ἢ πλούτῳ ἢ πλήθει ἢ ἰσχύι ἢ ἄλλῳ τῳ τοιούτῳ εἰς τὸ τοῦ πολεμικοῦ εἶδος ἐπιχειρῇ ἰέναι, ἢ τῶν πολεμικῶν τις εἰς τὸ τοῦ βουλευτικοῦ καὶ φύλακος ἀνάξιος ὤν, καὶ τὰ ἀλλήλων οὗτοι ὄργανα μεταλαμβάνωσι καὶ τὰς τιμάς, ἢ ὅταν ὁ αὐτὸς πάντα ταῦτα ἅμα ἐπιχειρῇ πράττειν, τότε οἶμαι καὶ σοὶ δοκεῖν ταύτην τὴν τούτων μεταβολὴν καὶ πολυπραγμοσύνην ὄλεθρον εἶναι τῇ πόλει. Παντάπασι μὲν οὖν. Ἡ τριῶν ἄρα ὄντων γενῶν πολυπραγμοσύνη καὶ μεταβολὴ εἰς ἄλληλα μεγίστη τε βλάβη τῇ πόλει καὶ ὀρθότατ' ἂν προσαγορεύοιτο μάλιστα κακουργία. Κομιδῇ μὲν οὖν. Κακουργίαν δὲ τὴν μεγίστην τῆς ἑαυτοῦ πόλεως οὐκ ἀδικίαν φήσεις εἶναι; Πῶς δ' οὔ; Τοῦτο μὲν ἄρα ἀδικία. πάλιν δὲ ὧδε λέγωμεν· χρηματιστικοῦ, ἐπικουρικοῦ, φυλακικοῦ γένους οἰκειοπραγία, ἑκάστου τούτων τὸ ἑαυτοῦ πράττοντος ἐν πόλει, τοὐναντίον ἐκείνου δικαιοσύνη τ' ἂν εἴη καὶ τὴν πόλιν δικαίαν παρέχοι; Οὐκ ἄλλῃ ἐμοιγε δοκεῖ, ἦ δ' ὅς, ἔχειν ἢ ταύτῃ*[b].

a) Dicit boni scientiam h. e. philosophiam, quam nisi sapit quisquam, non potest in iusta civitate rectoris munere fungi, v. Rep. V, p. 473 C. *Ἐὰν μή, ἦν δ' ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς καὶ τοῦτο εἰς ταὐτὸν ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ' οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν.* Ceterum etiam in sapientibus munerum distributionem commendat, sed ita ut provectissimos quosque aetate et optimos militantium principes esse velit. Eodem pertinet quod servitutem suae civitati vindicat, non tamen eam qua Graeci Graecis serviant, De Rep. V, p. 469 C, sed qua barbari Graecis, ut qui careant illis ingenii dotibus, quibus constet philosophia, Polit. p. 309 A. Nomen si quaeras, quo opti-

mam istam civitatem a philosophantibus regendam appellatam voluerit, ἀριστοκρατίαν dixit, cum genuini philosophi sint οἱ ἄριστοι, Rep. III, p. 412 C sqq., VIII, p. 543 A, 544 E. Plures sint regentes an unus fere eodem venire statuebat. — **d)** Inde etiam civitatium inclinationes et ruinae repetuntur. Nam cum recta et iusta civitas consistat in eo ut omnia bene concordent et temperata sint, iniustitia et perversio civitatis cernitur in perturbatione ordinum, maxime eorum qui regunt: quod explicatius persequitur Reip. liber VIII, ubi ad illam normam castigantur singulae quae inter Graecos obtinebant civitatium formae. Denique ut rex sapiens sit optimus vir et beatus, ita tyrannum dicit esse virum iniustum et omnium miserrimum et servorum servum, Rep. IX, p. 580 B. ὅτι ὁ (λόγος) τὸν ἄριστόν τε καὶ δικαιότατον εὐδαιμονέστατον ἔκρινε, τοῦτον δ' εἶναι τὸν βασιλικώτατον βασιλεύοντα αὐτοῦ, τὸν δὲ κάκιστόν τε καὶ ἀδικώτατον ἀθλιώτατον, τοῦτον δὲ αὖ τυγχάνειν ὄντα ὃς ἂν τυραννικώτατος ὢν ἑαυτοῦ τε ὅ τι μάλιστα τυραννῇ καὶ τῆς πόλεως.

De Legg. V, p. 739 B. Πρώτη μὲν τοίνυν πόλις τέ ἐστι 280
καὶ πολιτεία καὶ νόμοι ἄριστοι, ὅπου τὸ πάλαι λεγόμενον ἂν γίγνηται κατὰ πᾶσαν τὴν πόλιν ὅ τι μάλιστα· λέγεται δὲ ὡς ὄντως ἐστὶ κοινὰ τὰ φίλων[a]. τοῦτ' οὖν εἴτε που νῦν ἔστιν εἴτ' ἔσται ποτέ, κοινὰς μὲν γυναῖκας, κοινοὺς δὲ εἶναι παῖδας, κοινὰ δὲ χρήματα ξύμπαντα, καὶ πάσῃ μηχανῇ τὸ λεγόμενον ἴδιον πανταχόθεν ἐκ τοῦ βίου ἅπαν ἐξῄρηται, μεμηχάνηται δ' εἰς τὸ δυνατὸν καὶ τὰ φύσει ἴδια κοινά ἁμῇ γέ πῃ γεγονέναι, οἷον ὄμματα καὶ ὦτα καὶ χεῖρας κοινὰ μὲν ὁρᾶν δοκεῖν καὶ ἀκούειν καὶ πράττειν, ἐπαινεῖν τε αὖ καὶ ψέγειν καθ' ἓν ὅ τι μάλιστα ξύμπαντας ἐπὶ τοῖς αὐτοῖς χαίροντας καὶ λυμπουμένους, καὶ κατὰ δύναμιν οἵτινες νόμοι μίαν ὅ τι μάλιστα πόλιν ἀπεργάζονται, τούτων ὑπερβολῇ πρὸς ἀρετὴν οὐδείς ποτε ὅρον ἄλλον θέμενος ὀρθότερον οὐδὲ βελτίω θήσεται. ἡ μὲν δὴ τοιαύτη πόλις, εἴτε που θεοὶ ἢ παῖδες θεῶν αὐτὴν οἰκοῦσι πλείους ἑνός, οὕτω διαζῶντες εὐφραινόμενοι κατοικοῦσι· διὸ δὴ παράδειγμά γε πολιτείας οὐκ ἄλλῃ χρὴ σκοπεῖν, ἀλλ' ἐχομένους ταύτης τὴν ὅ τι μάλιστα τοιαύτην ζητεῖν κατὰ δύναμιν[b].

a) Pythagoreos dicit, v. supra n. 47, not. a. Ad rem cf. Rep. V, p. 462 C. ἐν ᾗτινι δὴ πόλει πλεῖστοι ἐπὶ τὸ αὐτὸ κατὰ ταὐτὰ τοῦτο λέγουσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμόν, αὕτη ἄριστα διοικεῖται. — Καὶ ἥτις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει, οἷον ὅταν που ἡμῶν δάκτυλός του πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα πρὸς τὴν ψυχὴν τεταμένη εἰς μίαν σύνταξιν τὴν τοῦ ἄρχοντος ἐν αὐτῇ ἧσθετό τε καὶ πᾶσα ἅμα ξυνήλγησε μέρους πονήσαντος ὅλη. Ex communione bonorum et rei domestica eximuntur opifice, De Rep. IV, p. 421 C sqq.: quamquam aliter statuit in

opere de Legibus, ubi agrorum cultura militantibus imponitur, opificia autem ad peregrinos relegantur, VIII, p. 846 D sqq. — **b)** Cf. de Rep. IX, p. 592 A. *ἐν ᾗ νῦν διήλθομεν οἰκίζοντες πόλει λέγεις, τῇ ἐν λόγοις κειμένῃ, ἐπεὶ γῆς γε οὐδαμοῦ οἶμαι αὐτὴν εἶναι. Ἀλλ', ἦν δ' ἐγώ, ἐν οὐρανῷ ἴσως παράδειγμα ἀνάκειται τῷ βουλομένῳ ὁρᾷν καὶ ὁρῶντι ἑαυτὸν κατοικίζειν· διαφέρει δὲ οὐδέν, εἴτε που ἔστιν εἴτε ἔσται.* Quod cave ita accipias ac si talem civitatem omnino non posse existere putaverit, cf. Rep. V, p. 471 C, VI, p. 499 B, 502 B, VII, p. 540 D. Idem cadit in iustitiam et virum iustum, cf. ibid. V, p. 472 B sqq., Zeller *d. Phil. d. Gr.* II, p. 298 sqq. Omnino de multis aliter iudicat in libris de Republica, aliter in libris de Legibus, qui civitates ac leges vere existentes magis respiciunt et a seniore compositi necdum ab ipso editi erant (n. 244 not.), ut sint qui hos libros si non Platoni abiudicandos, tamen ab editore discipulo passim interpolatos esse iudicent, v. Zeller *Platon. Stud.* p. 3—144; *Philos. d. Gr.* II, p. 317 sqq.

281 De Legg. IX, p. 874 E. *Νόμους ἀνθρώποις ἀναγκαῖον τίθεσθαι καὶ ζῆν κατὰ νόμους, ἢ μηδὲν διαφέρειν τῶν πάντῃ ἀγριωτάτων θηρίων. ἡ δὲ αἰτία τούτων ἥδε, ὅτι φύσις ἀνθρώπων οὐδενὸς ἱκανῆ φύεται ὥστε γνῶναί τε τὰ συμφέροντα ἀνθρώποις εἰς πολιτείαν καὶ γνοῦσα τὸ βέλτιστον ἀεὶ δύνασθαί τε καὶ ἐθέλειν πράττειν. γνῶναι μὲν γὰρ πρῶτον χαλεπὸν ὅτι πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν — τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις — καὶ ὅτι ξυμφέρει τῷ κοινῷ τε καὶ ἰδίῳ, τοῖν ἀμφοῖν ἦν τὸ κοινὸν τιθῆται καλῶς μᾶλλον ἢ τὸ ἴδιον· δεύτερον δέ, ἐὰν ἄρα καὶ τὸ γνῶναί τις ὅτι ταῦτα οὕτω πέφυκε λάβῃ ἱκανῶς ἐν τέχνῃ, μετὰ δὲ τοῦτο ἀνυπεύθυνός τε καὶ αὐτοκράτωρ ἀρχῇ πόλεως, οὐκ ἄν ποτε δύναιτο ἐμμεῖναι τούτῳ τῷ δόγματι καὶ διαβιῶναι τὸ μὲν κοινὸν ἡγούμενον τρέφων ἐν τῇ πόλει, τὸ δὲ ἴδιον ἑπόμενον τῷ κοινῷ, ἀλλ' ἐπὶ πλεονεξίαν καὶ ἰδιοπραγίαν ἡ θνητὴ φύσις αὐτὸν ὁρμήσει ἀεί, φεύγουσα μὲν ἀλόγως τὴν λύπην, διώκουσα δὲ τὴν ἡδονήν, τοῦ δὲ δικαιοτέρου τε καὶ ἀμείνονος ἐπίπροσθεν ἅμφω τούτω προστήσεται, καὶ σκότος ἀπεργαζομένη ἐν αὐτῇ πάντων κακῶν ἐμπλήσει πρὸς τὸ τέλος αὐτήν τε καὶ τὴν πόλιν ὅλην. ἐπεὶ ταῦτα εἴ ποτέ τις ἀνθρώπων φύσει ἱκανός, θείᾳ μοίρᾳ γεννηθείς, παραλαβεῖν δυνατὸς εἴη, νόμων οὐδὲν ἂν δέοιτο τῶν ἀρξόντων ἑαυτοῦ· ἐπιστήμης γὰρ οὔτε νόμος οὔτε τάξις οὐδεμία κρείττων, οὐδὲ θέμις ἐστὶ νοῦν οὐδενὸς ὑπήκοον οὐδὲ δοῦλον ἀλλὰ πάντων ἄρχοντα εἶναι, ἐάνπερ ἀληθινὸς ἐλεύθερός τε ὄντως ᾖ κατὰ φύσιν. νῦν δέ — οὐ γάρ ἐστιν οὐδαμοῦ οὐδαμῶς, ἀλλ'*

ἢ κατὰ βραχύ· διὸ δὴ τὸ δεύτερον αἱρετέον, τάξιν τε καὶ νόμον, ἃ δὴ τὸ μὲν ὡς ἐπὶ τὸ πολὺ ὁρᾷ καὶ βλέπει, τὸ δ' ἐπὶ πᾶν ἀδυνατεῖ.

Cf. Polit. p. 294 A. Τὸ δ' ἄριστον οὐ τοὺς νόμους ἐστὶν ἰσχύειν, ἀλλὰ ἄνδρα τὸν μετὰ φρονήσεως βασιλικόν. Educationem puerorum ad civitatem regendam gravioris momenti quam ipsam legislationem esse arbitrabatur, De Rep. IV, p. 423 D sqq.: quocirca leges ita concipiendas esse dicit, ut institutioni simul inserviant, De Legg. IV, p. 719 E sqq., IX, p. 857 C sqq. Ipsa administratio civitatis nihil aliud ei quam educatio civium esse videbatur. Menex. p. 238 C. Πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία κακῶν.

2. Academia vetus.

Diog. L. III, 46. Μαθηταὶ δ' αὐτοῦ (τοῦ Πλάτωνος) 282
Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης Χαλκηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος Ὀπούντιος, Ἑστίαιος Περίνθιος, — Ἡρακλείδης Ποντικὸς καὶ ἄλλοι.

De placitis Speusippi et Xenocratis, qui scholam in Academia propagabant, scripserant Aristoteles et Theophrastus, v. Diog. L. V, 25. 47; de Philippo Opuntio, qui Leges Platonis ediderat adiecta Epinomide (n. 244 not.; n. 280, not. b), v. Diog. L. III, 37 et Suid. v. φιλόσοφος, ubi plures libro eo editi enumerantur, cf. Boeckh in Plat. Min. p. 73, Ed. Zeller *Platon. Stud.* p. 135 sq. Hestiaeus et Heraclides nominantur inter eos qui Platonis acroamata perscripta publicaverant, cf. n. 242 not. Heraclides Ponticus, de Platonis disciplina ad Aristotelis transgressus, varia doctrina magis quam inter philosophos notabilis erat, quamquam scripserat etiam de rebus mathematicis et astronomicis, cf. Deswert de Heraclide Pontico, Lovan. 1830, Brandis *Handb.* II, 2, 1, p. 5; Boeckh *üb. d. kosm. Syst. des Platon.* p. 127 sqq. Omnes ad Pythagoreos propensiores erant, praeeunte, ut videtur, ipso Platone seniore.

a. Speusippus.

Diog. L. IV, 1. Διεδέξατο δ' αὐτὸν (sc. Πλάτωνα) Σπεύσιππος — Ἀθηναῖος, — υἱὸς τῆς ἀδελφῆς αὐτοῦ Πωτώνης. καὶ ἐσχολάρχησεν ἔτη ὀκτώ, ἀρξάμενος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. 283

H. e. ab a. 347, quo anno discessit Plato, usque ad. a. 339. Ipse et successores, Xenocrates et Polemo, in horto Platonis prope Academiam habitabant, qui etiam inferioribus temporibus in possessione scholae mansit, v. Diog. L. IV, 1. 7; Plutarch de exil. 10; Damasc. v. Isidori 158; Suid. v. Πλάτων; Zumpt in Commentatt. Acad. Berol. 1844, p. 32 sqq.

284 Diog. L. IV. 2. *Οὗτος πρῶτος — ἐν τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν καὶ συνῳκείωσε καθόσον ἦν δυνατὸν ἀλλήλοις.*

Eodem redeunt quae scribit Themistius in Aristot. Anal. post. II, 13, Schol. in Arist. p. 248 a. *Σπεύσιππος δὲ οὐ καλῶς λέγει φάσκων ἀναγκαῖον εἶναι τὸν ὁριζόμενον πάντα εἰδέναι· δεῖ γάρ, φησίν, γιγνώσκειν τὰς διαφορὰς αὐτοῦ πάσας, αἷς τῶν ἄλλων διενήνοχεν.* Inter libros, qui recensentur ap. Diog. L. IV, 4. 5, *τὰ Ὅμοια* decem libris comprehensa et frequenter citata apud Athenaeum erant potissimum de rebus naturalibus.

285 Sext. Emp. adv. Math. VII, 145. *Σπεύσιππος δέ, ἐπεὶ τῶν πραγμάτων τὰ μὲν αἰσθητὰ τὰ δὲ νοητά, τῶν μὲν νοητῶν κριτήριον ἔλεξεν εἶναι τὸν ἐπιστημονικὸν λόγον, τῶν δὲ αἰσθητῶν τὴν ἐπιστημονικὴν αἴσθησιν. ἐπιστημονικὴν δὲ αἴσθησιν ὑπείληφε καθεστάναι τὴν μεταλαμβάνουσαν τῆς κατὰ τὸν λόγον ἀληθείας.* 146. *ὥσπερ γὰρ οἱ τοῦ αὐλητοῦ ἢ ψάλτου δάκτυλοι τεχνικὴν μὲν εἶχον ἐνέργειαν, οὐκ ἐν αὐτοῖς δὲ προηγουμένως τελειουμένην, ἀλλ' ἐκ τῆς πρὸς τὸν λογισμὸν συνασκήσεως ἀπαρτιζομένην, καὶ ὡς ἡ τοῦ μουσικοῦ αἴσθησις ἐνάργειαν μὲν εἶχεν ἀντιληπτικὴν τοῦ τε ἡρμοσμένου καὶ τοῦ ἀναρμόστου, ταύτην δὲ οὐκ αὐτοφυῆ, ἀλλ' ἐκ λογισμοῦ περιγεγονυῖαν, οὕτω καὶ ἡ ἐπιστημονικὴ αἴσθησις φυσικῶς παρὰ τοῦ λόγου τῆς ἐπιστημονικῆς μεταλαμβάνει τριβῆς πρὸς ἁπλανῆ τῶν ὑποκειμένων διάγνωσιν.*

Contrarium est inter id quod nobis innatum et semper in nobis est, velut ratio, et id quod exercitatione acquiritur, cf. Plato de Rep. VII, p. 518 supra in n. 276 not. Videtur igitur Speusippus sensibus plus quam magister tribuisse.

286 Arist. Met. *Z*, 2. *Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας (οἴεται εἶναι), τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης οὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας.*

De Platone v. supra n. 260, not. c, de Speusippo F. Ravaisson, Speusippi de primis rerum principiis placita, Paris. 1838, Brandis *Handb.* II, 2, 1, p. 10 sq. Numeros nonnisi mathematicos statuisse videtur, sublatis idealibus, v. Brandis ib. p. 15 sq.

287 Arist. Met. *Λ*, 7. *Ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν*

ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἰτία μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τούτων, οὐκ ὀρθῶς οἴονται· τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον.

Vides eum diligentissimum rerum naturalium observatorem fuisse (cf. n. 284) et perfectum non id esse statuisse, unde inciperet natura, sed quod una cum rebus naturalibus perficeretur: unde profectus non solum unum esse idem atque bonum negabat, sed ne substantiam quidem ad unum referendam esse censebat, v. Arist. Met. *N*, 5. *διὸ καὶ ἐπὶ τῶν πρώτων οὕτως ἔχειν φησίν, ὥστε μηδὲ ὄν τι εἶναι τὸ ἓν αὐτό.* Consentaneum erat ut intellectum divinum h. e. deum et ab uno et a bono separandum esse contenderet, v. Stob. Ecl. I, p. 58. *Σπεύσιππος τὸν νοῦν οὔτε τῷ ἑνὶ οὔτε τῷ ἀγαθῷ τὸν αὐτόν, ἰδιοφυῆ δέ.* Eodem faciunt quae leguntur ap. Cic. N. D. I, 13, 32. *nec multo secus Speusippus — — vim quandam dicens qua omnia regantur, eamque animalem, evellere ex animis conatur cognitionem deorum.* Cf. Krische *Forsch.* p. 250 sqq.

Seneca Ep. 85, 15. Xenocrates et Speusippus putant 288
beatum vel sola virtute fieri posse, non tamen unum bonum esse, quod honestum est. Clem. Alex. Strom. II, p. 418 D. *Σπεύσιππος — τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἥν ἕξιν ἀγαθῶν· ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στοχάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας· εἶεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί.*

Videtur vetus Academia, cuius princeps est Speusippus, bona externa aliquanti aestimasse, sed non tanti ut ea ad beate vivendum necessaria putaverit, verum ut fere similiter statuerit atque Antiochus ap. Cic. Acad. pr. II, 43. 44. Neque de moribus quidquam inter Peripateticos et veterem Academiam differre arbitrabatur Cicero de Orat. III, 18, Acad. post. I, 4.

b. Xenocrates.

Diog. L. IV, 6. *Ξενοκράτης — Χαλκηδόνιος· οὗτος ἐκ* 289
νέου Πλάτωνος ἤκουσεν, ἀλλὰ καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν. ἦν δὲ τὴν φύσιν νωθρός, ὥστε λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει· Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ[a]. 10. *πρὸς δὲ τὸν μήτε μουσικὴν μήτε γεωμετρίαν μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν· Πορεύου, ἔφη, λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας.* 14. *διεδέξατο δὲ Σπεύσιππον καὶ ἀφηγήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσι ἔτη*

ἐπὶ Λυσιμαχίδου ἀρξάμενος κατὰ τὸ δεύτερον ἔτος τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος[b].

a) Diligentia compensabat quod ingenio deerat, v. Plut. de Rect. Rat. Aud. 18. Etiam morum integritate ac severitate admodum inter cives spectabilis erat. Platonem in Siciliam proficiscentem etiam Speusippus comitatus erat, v. Plut. Dio 17. 22. — **b)** Ab a. 339 usque ad a. 315. De libris, quibus et dialecticam et physicam et moralem attigerat, inter quas philosophiae partes primus accuratius distinxisse dicitur (n. 249), v. Diog. L. IV, 11—14; Brandis *Handb.* II, 2, 1, p. 36.

290 Sext. Empir. adv. Math. VII, 147. Ξενοκράτης δὲ τρεῖς φησὶν οὐσίας εἶναι, τὴν μὲν αἰσθητήν, τὴν δὲ νοητήν, τὴν δὲ σύνθετον καὶ δοξαστήν· ὧν αἰσθητὴν μὲν εἶναι τὴν ἐντὸς οὐρανοῦ, νοητὴν δὲ πάντων τῶν ἐκτὸς οὐρανοῦ, δοξαστὴν δὲ καὶ σύνθετον τὴν αὐτοῦ τοῦ οὐρανοῦ· ὁρατὴ μὲν γάρ ἐστι τῇ αἰσθήσει, νοητὴ δὲ δι' ἀστρολογίας. 148: τούτων μέντοι τοῦτον ἐχόντων τὸν τρόπον τῆς μὲν ἐκτὸς οὐρανοῦ καὶ νοητῆς οὐσίας κριτήριον ἀπεφαίνετο τὴν ἐπιστήμην, τῆς δὲ ἐντὸς οὐρανοῦ καὶ αἰσθητῆς αἴσθησιν, τῆς δὲ μικτῆς τὴν δόξαν· καὶ τούτων κοινῶς τὸ μὲν διὰ τοῦ ἐπιστημονικοῦ λόγου κριτήριον βέβαιόν τε ὑπάρχειν καὶ ἀληθές, τὸ δὲ διὰ τῆς αἰσθήσεως ἀληθὲς μέν, οὐχ οὕτω δὲ ὡς τὸ διὰ τοῦ ἐπιστημονικοῦ λόγου, τὸ δὲ σύνθετον κοινὸν ἀληθοῦς τε καὶ ψευδοῦς ὑπάρχειν· 149. τῆς γὰρ δόξης τὴν μέν τινα ἀληθῆ εἶναι, τὴν δὲ ψευδῆ· ὅθεν καὶ τρεῖς Μοίρας παραδεδόσθαι, Ἄτροπον μὲν τὴν τῶν νοητῶν ἀμετάθετον οὖσαν, Κλωθὼ δὲ τὴν τῶν αἰσθητῶν, Λάχεσιν δὲ τὴν τῶν δοξαστῶν[a].

a) Cf. Plat. de Rep. X, p. 617 B sqq., ubi eadem facultas Atropo tribuitur, reddendi τὰ ἐπικλωθέντα ἀμετάστροφα. Facit haec doctrina eodem quo antecedentia placita, ut sensibus plus tribuatur quam Plato iis concesserat, cf. n. 285. Neque id Platonicae doctrinae consentaneum, quod inter tres illos cogitandi modos distinguitur velut inter partes discretas et separatas.

291 Stob. Ecl. I, p. 62. Ξενοκράτης — τὴν μονάδα καὶ τὴν δυάδα θεούς, τὴν μὲν ὡς ἄρρενα πατρὸς ἔχουσαν τάξιν ἐν οὐρανῷ βασιλεύουσαν, ἥντινα προσαγορεύει καὶ Ζῆνα καὶ περιττὸν καὶ νοῦν, ὅστις ἐστὶν αὐτῷ πρῶτος θεός· τὴν δὲ ὡς θήλειαν μητρὸς θεῶν δίκην τῆς ὑπὸ τὸν οὐρανὸν λήξεως ἡγουμένην, ἥτις ἐστὶν αὐτῷ ψυχὴ τοῦ παντός[a]. θεὸν δὲ εἶναι καὶ τὸν οὐρανόν, καὶ τοὺς ἀστέρας πυρώδεις Ὀλυμπίους θεούς[b], καὶ ἑτέρους ὑποσε-

λήνους δαίμονας ἀοράτους. ἀρέσκει δὲ αὐτῷ καὶ θεῶν δυνάμεις ἐνδιήκειν ἐν τοῖς ὑλικοῖς στοιχείοις*)· τούτων δὲ τὴν μὲν δι᾽ ἀέρος**) Ἥραν προσαγορεύει, τὴν δὲ διὰ τοῦ ὑγροῦ Ποσειδῶνα, τὴν δὲ διὰ τῆς γῆς φυτοσπόρου***) Δήμητραν[c], ταῦτα δὲ χορηγήσας τοῖς Στωϊκοῖς τὰ πρότερα παρὰ τοῦ Πλάτωνος μεταπέφρακεν.

a) Aliud contrarium indicatur Clem. Alex. Strom. V, p. 604 C. Ξενοκράτης — τὸν μὲν ὕπατον Δία, τὸν δὲ νέατον καλῶν ἔμφασιν πατρὸς ἀπολείπει καὶ υἱοῦ, h. e. Dei patris et Dei filii. Sequebatur in hoc Pythagoreos, sicut in multis. Ζεὺς νέατος est Pluto, cf. Lobeck Agl. p. 1098. Aliter Plutarch. Plat. Qu. IX, 1. Ξενοκράτης Δία τὸν ἐν μὲν τοῖς κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσιν ὕπατον καλεῖ, νέατον δὲ τὸν ὑπὸ σελήνην. A Platone eo differt quod dyadi divinum honorem tribuebat, tanquam fundamento rerum materialium: quo pertinet quod malos daemonas esse statuebat, lustrationibus et mysticis sacrificiis placandos, v. Plut. de Is. et Osir. 25. 26, et quod fabulam de Zagrei per Titanas dilaceratione ad animae cum corpore coniunctionem retulisse perhibetur, v. Comment. ined. in Platon. Phaed. ap. Cousin *Journ. d. Savans* 1835, p. 145. Tertull. ad Nat. II, 2. *Xenocrates Academicus bifariam facit* (formam divinitatis), *Olympios et Titanios, qui de caelo et terra.* — **b)** Cf. Cic. de Nat. Deor. I, 13, 34, Krische *Forschungen* p. 311 sqq. Paulo secus Clem. Alex. Protr. p. 44 A. Ξενοκράτης ἑπτὰ μὲν θεοὺς τοὺς πλανήτας, ὄγδοον δὲ τὸν ἐκ τῶν ἀπλανῶν†) συνεστῶτα κόσμον αἰνίττεται.— **c)** Mythologia Xenocratis prorsus alia fuisse videtur atque Platonis. De daemonibus quidem similiter statuebat, Arist. Top. II, 6. Ξενοκράτης φησὶν εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχοντα σπουδαίαν· ταύτην γὰρ ἕκάστου εἶναι δαίμονα. Stob. Serm. CIV, 24, cf. Plat. de Rep. X, p. 617 D. Sed alienum a Platone quod malos daemonas esse volebat, sacris publicis colendos, et quod daemonas per universam rerum naturam et per ipsa elementa corporum pertinere accipiebat, in quo erat superstitiosior.

Plut. de Anim. Procr. in Timaeo 1. Ἐπεὶ δὲ τῶν δοκι- 292
μωτάτων ἀνδρῶν τοὺς μὲν Ξενοκράτης προσηγάγετο, τῆς ψυχῆς τὴν οὐσίαν ἀριθμὸν αὐτὸν ὑφ᾽ ἑαυτοῦ κινούμενον ἀποφηνάμενος, οἱ δὲ Κράντορι τῷ Σολιεῖ προσέθεντο μιγνύντι τὴν ψυχὴν ἔκ τε τῆς νοητῆς καὶ τῆς περὶ τὰ αἰσθητὰ δοξαστῆς φύσεως, οἰμαί τι τὴν τούτων ἀνακαλυφθέντων σαφήνειαν ἐνδόσιμον ἡμῖν παρέχειν.

---

*) In libris est ἀρέσκεται δὲ καὶ αὐτὸς καὶ ἐνδιήκειν vel ἐνδιοικεῖν τ. ὑλ. στ. Cf. Sext. Emp. adv. Math. VIII, 41: αἱ ἐνδιήκουσαι ἐν τοῖς κατὰ μέρος κοινότητες. Paulo aliter Krische *Forsch.* p. 323. — **) Vulg. τὴν μὲν ἀειδῆ προσαγ. Emend. Heeren. — ***) Vulg. φυτο σπόρον. — †) Vulg. πάντων αὐτῶν. Emend. Dawis ad Cic. N. D. l. c.

2. οἱ μὲν γὰρ οὐδὲν ἢ γένεσιν ἀριθμοῦ δηλοῦσθαι νομίζουσι τῇ μίξει τῆς ἀμερίστου καὶ μεριστῆς οὐσίας· ἀμέριστον μὲν γὰρ εἶναι τὸ ἕν, μεριστὸν δὲ τὸ πλῆθος, ἐκ δὲ τούτων γίγνεσθαι τὸν ἀριθμὸν τοῦ ἑνὸς ὁρίζοντος τὸ πλῆθος καὶ τῇ ἀπειρίᾳ πέρας ἐντιθέντος, ἣν καὶ δυάδα καλοῦσιν ἀόριστον. — — τοῦτον δὲ μήπω ψυχὴν τὸν ἀριθμὸν εἶναι· τὸ γὰρ κινητικὸν καὶ τὸ κινητὸν ἐνδεῖν αὐτῷ. τοῦ δὲ ταὐτοῦ καὶ τοῦ ἑτέρου συμμιγέντων, ὧν τὸ μέν ἐστι κινήσεως ἀρχὴ καὶ μεταβολῆς, τὸ δὲ μονῆς, ψυχὴν γεγονέναι, μηδὲν ἧττον τοῦ ἱστάναι καὶ ἵστασθαι δύναμιν ἢ τοῦ κινεῖσθαι καὶ κινεῖν οὖσαν. οἱ δὲ περὶ τὸν Κράντορα κτλ. — — 3. ὁμαλῶς δὲ πάντες οὗτοι χρόνῳ μὲν οἴονται τὴν ψυχὴν μὴ γεγονέναι μηδ' εἶναι γεννητήν, πλείονας δὲ δυνάμεις ἔχειν, εἰς ἃς ἀναλύοντα θεωρίας ἕνεκα τὴν οὐσίαν αὐτῆς τὸν Πλάτωνα γιγνομένην ὑποτίθεσθαι καὶ συγκεραννυμένην.

Spectant haec Platonis Timaeum p. 35 A, cf. Aristot. de Coelo I, 10 cum Scholiis Simplicii (supra n. 262, not. a). Animae definitio, qua dicitur esse numerus se ipse movens, identidem commemoratur apud Aristotelem, sed Xenocrate non nominato, De An. I, 2. 4; Anal. post. II, 4. De dyade infinita cf. supra n. 60 et n. 260, not. e.

293 Clem. Alex. Strom. V, p. 590 C. Καθόλου γοῦν τὴν περὶ τοῦ θείου ἔννοιαν Ξενοκράτης ὁ Χαλκηδόνιος οὐκ ἀπελπίζει καὶ ἐν τοῖς ἀλόγοις ζῴοις.

Cf. Olympiodor. in Plat. Phaed. ap. Cousin *Journ. d. Sav.* 1835, p. 145. οἱ δὲ μέχρι τῆς ἀλογίας (ἀπαθανατίζουσιν), ὡς τῶν παλαιῶν Ξενοκράτης καὶ Σπεύσιππος: ut animalibus etiam animas immortales et divini intellectus partem tribuerit, cf. n. 287 not.

294 Simpl. Phys. fol. 30 a. Τούτῳ δὲ τῷ λόγῳ φησὶ (sc. Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς) τῷ περὶ τὰς διχοτομίας ἐνδοῦναι Ξενοκράτη τὸν Χαλκηδόνιον δεξάμενον μὲν τὸ πᾶν τὸ διαιρετὸν πολλὰ εἶναι (τὸ γὰρ μέρος ἕτερον εἶναι τοῦ ὅλου), καὶ διὰ τὸ μὴ δύνασθαι ταὐτὸν ἕν τε ἅμα καὶ πολλὰ εἶναι (διὰ τὸ μὴ συναληθεύεσθαι τὴν ἀντίφασιν) μηκέτι συγχωρεῖν πᾶν μέγεθος διαιρετὸν εἶναι καὶ μέρος ἔχειν· εἶναι γάρ τινας ἀτόμους γραμμάς, ἐφ' ὧν οὐκέτι ἀληθεύεσθαι τὸ πολλὰς ταύτας εἶναι· οὕτω γὰρ ᾤετο τὴν τοῦ ἑνὸς εὑρίσκειν φύσιν καὶ φεύγειν τὴν ἀντίφασιν διὰ τοῦ μήτε τὸ διαιρετὸν ἓν εἶναι ἀλλὰ πολλά, μήτε τὰς ἀτόμους γραμμὰς πολλὰ ἀλλ' ἓν μόνον.

Ab aliis haec de lineis insecabilibus doctrina revocatur ad dubitationes de dichotomia corporum a Zenone excitatas, v. Aristot. de Lin. Insec. in. Quas dubitationes etiamsi evitare studuerit Xenocrates, tamen non sequebatur ut assereret insecabile lineam esse: quod placitum ad eam potius Platonis doctrinam referendum videtur, qua elementa ad triangula laterum disparium revocabantur, cf. Brandis *Handb.* II, 2, 1, p. 30 sq. Ex eadem triangulorum discrepantia Xenocrates differentiam deorum et daemonum et mortalium derivandam putabat, Plut. de Orac. Def. 13.

Clem. Alex. Strom. II, p. 419 A. *Ξενοκράτης — τὴν* 295
εὐδαιμονίαν ἀποδίδωσι κτῆσιν τῆς οἰκείας ἀρετῆς καὶ τῆς ὑπηρετικῆς αὐτῇ δυνάμεως. εἶτα ὡς μὲν ἐν ᾧ γίγνεται φαίνεται λέγων τὴν ψυχήν, ὡς δ' ὑφ' ὧν τὰς ἀρετάς, ὡς δὲ ἐξ ὧν ὡς μερῶν τὰς καλὰς πράξεις καὶ τὰς σπουδαίας ἕξεις τε καὶ διαθέσεις καὶ κινήσεις καὶ σχέσεις, ὡς τούτων οὐκ ἄνευ τὰ σωματικὰ καὶ τὰ ἐκτός.

Bonam vitam et beatam vitam eodem venire putabat, v. Arist. Top. VII, 1, Cic. Tusc. V, 13, sed praeter bonas res et malas etiam tales admisit, quae neque bonae neque malae essent, Sext. Empir. adv. Math. XI, 4 sqq. Neque sapientiam (*σοφίαν*) et prudentiam (*φρόνησιν*) cum Platone eandem esse putabat, sed illam theoreticam hanc practicam, v. Clem. Alex. Strom. II, p. 369 C. *ἐπεὶ καὶ Ξενοκράτης ἐν τῷ περὶ φρονήσεως τὴν σοφίαν ἐπιστήμην τῶν πρώτων αἰτίων καὶ τῆς νοητῆς οὐσίας εἶναί φησιν, τὴν φρόνησιν ἡγούμενος διττήν, τὴν μὲν πρακτικὴν τὴν δὲ θεωρητικήν, ἣν δὴ σοφίαν ὑπάρχειν ἀνθρωπίνην. διόπερ ἡ μὲν σοφία φρόνησις, οὐ μὴν πᾶσα φρόνησις σοφία.* Cf. Cic. Acad. II, 44. Praeclara eius sententia est, *μηδὲν διαφέρειν ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι*, Aelian. V. H. XIV, 42.

c. Polemo, Crates, Crantor.

Cic. Acad. post. I, 9, 34. Speusippus autem et Xeno- 296
crates, qui primi Platonis rationem auctoritatemque susceperunt, et post hos Polemo[a] et Crates[b] unaque Crantor[c] in Academia congregati diligenter ea quae a superioribus acceperant tuebantur.

a) Polemo Atheniensis cum adolescens dissolutis moribus esset, Xenocratis gravitate ac sermonibus motus resipiscere coepit eique mox in Academia successit, Diog. L. IV, 16 sqq.; Horat. Satir. II, 3, 253 sqq.; Lucian. Bis. Accus. 16; Valer. Max. VI, 9, 15, al. Scholae praefuisse videtur ab a. 315 usque a. 270, v. Clinton F. H. ad a. 315. In doctrina nihil mutasse, sed moralem maxime partem coluisse videtur, cf. Diog. L. IV, 18. *ἔφασκε δὲ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνά-*

ζεσθαι καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς θεωρήμασι. Cic. Acad. pr. II, 42. *Honeste — vivere, fruentem rebus iis, quas primas homini natura conciliet, et vetus Academia censuit, ut indicant scripta Polemonis, quem Antiochus probat maxime, et Aristoteles* etc., cf. De Fin. II, 11. IV, 6, al. — **b)** Crates Atheniensis Polemoni coniunctissimus erat eique in schola successit, v. Diog. L. IV, 21; Clinton F. H. ad a. 287, 278. Eum in Academia secutus est Arcesilas, v. infra XI, 2. — **c)** Crantor Solensis Xenocratem una cum Polemone audiverat, sed ante Polemonem et Cratetem mortuus est, v. Diog. L. IV, 24 sqq. Hic primus librorum Platonicorum interpres fuisse dicitur, v. Procl. in Tim. p. 24 et supra n. 292. Scripserat librum celeberrimum περὶ πένθους, v. Cic. Acad. pr. II, 44, 135. *Legimus omnes Crantoris, veteris Academici, de luctu. Est enim non magnus, verum aureolus et ut Tuberoni Panaetius praecipit ad verbum ediscendus libellus.* Cf. F. Kayser de Crantore Academico, Heidelb. 1841.

Caput VII.

ARISTOTELES ET PERIPATETICI.

1. ARISTOTELES.

a. DE VITA EIUS AC SCRIPTIS.

Dionys. Hal. Ep. I ad Ammaeum c. 5. *Ἀριστοτέλης υἱὸς* 297
μὲν ἦν Νικομάχου τὸ γένος καὶ τὴν τέχνην ἀναφέροντος εἰς Μαχάονα τὸν Ἀσκληπιοῦ[a], *μητρὸς δὲ Φαιστίδος, ἀπογόνου τινὸς τῶν ἐκ Χαλκίδος τὴν ἀποικίαν ἀναγαγόντων εἰς Στάγειρα*[b]. *ἐγεννήθη δὲ κατὰ τὴν ἐννενηκοστὴν καὶ ἐννάτην Ὀλυμπιάδα, Διοτρεφοῦς Ἀθήνῃσιν ἄρχοντος*[c]. — — *ἐπὶ δὲ Πολυζήλου ἄρχοντος τελευτήσαντος τοῦ πατρὸς ὀκτωκαιδέκατον ἔτος ἔχων εἰς Ἀθήνας ἦλθε καὶ συσταθεὶς Πλάτωνι χρόνον εἰκοσαετῆ διέτριψε σὺν αὐτῷ*[d]. *ἀποθανόντος δὲ Πλάτωνος ἐπὶ Θεοφίλου ἄρχοντος ἀπῆρε πρὸς Ἑρμείαν τὸν Ἀταρνέως τύραννον*[e] *καὶ τριετῆ χρόνον παρ' αὐτοῦ τρίψας ἐπ' Εὐβούλου ἄρχοντος εἰς Μυτιλήνην ἐχωρίσθη. ἐκεῖθεν δὲ πρὸς Φίλιππον ἦρχετο, κατὰ Πυθόδοτον ἄρχοντα, καὶ διέτριψε χρόνον ὀκταετῆ παρ' αὐτῷ καθηγούμενος Ἀλεξάνδρου*[f]. *μετὰ δὲ τὴν Φιλίππου τελευτὴν ἐπ' Εὐαινέτου ἄρχοντος ἀφικόμενος εἰς Ἀθήνας ἐσχόλαζεν ἐν Λυκείῳ χρόνον ἐτῶν δώδεκα. τῷ δὲ τρισκαιδεκάτῳ μετὰ τὴν Ἀλεξάνδρου τελευτήν, ἐπὶ Κηφισοδώρου ἄρχοντος, ἐπάρας εἰς Χαλκίδα*[g] *νόσῳ τελευτᾷ, τρία πρὸς τοῖς ἑξήκοντα βιώσας ἔτη.*

a) Quae gens sequebatur professionem medicinae et physicae, ut harum artium scientia Aristoteli patria fuerit, cf. Suid. s. v. *Νικόμαχος*. Pater Aristotelis erat medicus Amyntae, regis Macedonici, Philippi patris, Diog. L. V, 1. — **b)** Inde Aristoteles Stagirita. — **c)** H. e. Ol. 99, 1, cf. Diog. L. V, 9 sq., ex quo loco apparet omnes illas notationes chronologicas ex Apollodoro sumtas esse. — **d)** Diog. L. l. l. Aristotelem perhibet decimo septimo aetatis anno ad Platonem perrexisse. Platone vero

non continuo utebatur; iste enim eo ipso anno in Siciliam ad Dionysium profectus est, neque Aristoteles inter comites nominatur, neque in secunda neque in tertia peregrinatione. Quod affirmant multi, Aristotelem in simultate cum magistro fuisse, natum videtur ex eo quod in multis postea contradicebat Platoni; invidiae vero calumniaeque, quae multa turpiter de Aristotele finxit, tribuendum quod memoratur ingrato animo in magistrum fuisse, v. Aristocl. ap. Euseb. Pr. Ev. XV, 2; Brandis *Handb.* II, 2, 1, p. 50 sqq., 63 sqq. — **e)** Hermias eunuchus erat et servus Eubuli, qui ex trapezita evaserat Atarnensium et Assensium tyrannus. Huius negotia procurans Athenas venit Hermias, ubi Platonem audiebat. Deinde Eubulum in illa tyrannide sequebatur Aristotelemque et Xenocratem ad se vocabat. Aristoteli fratris filiam in matrimonium dedit, ex qua ille filiam suscepit, qui has regiones tunc demum deseruit cum periisset Hermias per Memnonem proditus, v. Strab. XIII, p. 610; Diog. L. V, 3; Boeckh in Commentatt. Acad. Berol. 1853, p. 133 sqq. Carmen ab Aristotele in honorem Hermiae compositum servavit Diog. L. V, 7. Praeter filiam ex Pythiade susceptam filium habuit Nicomachum ex Harpyllide concubina, quam ei Hermias concessisse traditur, v. Diog. L. V, 1. 4; Suid. s. v. *Ἀριστοτέλης*. — **f)** De Alexandro ab Aristotele instituto v. Plut. V. Alex. c. 7 sqq., qui tamen magis coniecturas quam certam memoriam sequi videtur. Alexander magistrum accepit tredecim annos natus; sed non continuo eo usus esse videtur, cum Philippus mature filium ad civitatem administrandam adhiberet. Multa traduntur de beneficiis ab Alexandro in Aristotelem collatis, inprimis de praesidiis historiae naturalis, quae ei rex ex intima Asia misisse perhibetur, Plin. H. N. VIII, 16; Athen. IX, p. 398 E. Qua gratia ante mortem Alexandri excidit propter Callisthenem, v. Diog. L. V, 10; Plut. V. Alex. c. 8. 55. Sunt qui narrent venenum, quo Alexandrum necatum tradunt, ab Aristotele subministratum esse, v. Plut. V. Alex. 77. — **g)** Chalcidem, quae urbs prae ceteris litteris florebat, teste Dicaearcho fragm. p. 30 Buttm., concessisse fertur cum esset impietatis accusatus propter carmen illud in Hermiam compositum, quod paeanem dicebant accusatores, v. Phavorin. ap. Diog. L. V, 5 coll. Athen. XV, p. 696 sq., qui ipsum Aristotelem citat *ἐν τῇ ἀπολογίᾳ τῆς ἀσεβείας*, quae scriptio erat subditicia. Accusatio ista incidit in tempora belli Lamiaci, cum Aristoteles studeret partibus Antipatri, unde omnis illa invidia conflata esse videtur.

298 Gellius Noct. Att. XX, 5. Commentationum suarum artiumque, quas discipulis tradebat, Aristoteles philosophus — duas species habuisse dicitur: alia erant quae nominabat *ἐξωτερικά*, alia quae appellabat *ἀκροατικά*. *Ἐξωτερικὰ* dicebantur quae ad rhetoricas meditationes facultatumque argutiarum civiliumque rerum notitiam conducebant, *ἀκροατικὰ* autem vocabantur in quibus philosophia remotior subtiliorque agitabatur

quaeque ad naturae contemplationes disceptationesve dialecticas pertinebant. Huic disciplinae quam dixi *ἀκροατικῇ* tempus exercendae dabat in Lycio matutinum, nec ad eam quemquam temere admittebat nisi quorum ante ingenium et eruditionis elementa atque in discendo studium laboremque explorasset. Illas vero exotericas auditiones exercitiumque dicendi eodem in loco vesperi faciebat easque vulgo iuvenibus sine delectu praebebat; atque eum *δειλινὸν περίπατον* appellabat, illum alterum supra *ἑωθινόν*; utroque enim tempore ambulans disserebat. Libros quoque suos, earum omnium rerum commentarios, seorsum divisit, ut alii exoterici dicerentur, partim acroatici.

Insignis auctoritas huius loci est, quum in sequentibus provocet ad Andronicum, de quo v. loc. sq. Ad exercitationes exotericas pertinet quod dicit Cicero Orat. 14, 60. *In hac* (quaestione a propriis personis et temporibus ad universi generis orationem traducta) *Aristoteles adolescentes non ad philosophorum morem tenuiter disserendi, sed ad copiam rhetorum in utramque partem, ut ornatius et uberius dici possit, exercuit:* de quibus exercitationibus *πρὸς θέσεις* instituentis (cf. in Protagora n. 177, not. c), quibus post Aristotelem praeerat Theophrastus, cf. M. Schmidt de Theophrasto rhetore p. 28 sq. Nomen *ἐξωτερικοὶ λόγοι* identidem reperitur in libris Aristotelicis, non vero *ἀκροατικά*, *ἐσωτερικά*, vel tale quid. Ex Eth. Nic. I, 13 apparet *ἐξωτερικοὺς λόγους* esse disputationes minus accuratas, parum ad normam scientiae exactas; sed ambiguum eodem loco est utrum hi *λόγοι* fuerint perscripti an sermones extra scholam habiti, cf. Madvig ad Cic. de Fin. Exc. VII, p. 851 sqq.; Brandis l. c. p. 101 sq. Ad libros exotericos retuleris dialogos, qui erant populariter scripti, v. Cic. de Fin. V, 5; ad Att. IV, 16, 2; cf. ad Att. XIII, 19, 4; ad Famil. I, 9, 23; Plut. adv. Colot., c. 14; Ammon. Herm. ad Arist. Cat. AA, fol. 2 b Ald. A Simplicio Phys. fol. 2 b etiam historici libri Aristotelis ad exotericos referuntur, parum accurate: sed aperte fallitur Plutarchus V. Alex. c. 7, ethicam et politicam ad exoterica revocans. In universum exotericas disputationes amplexas esse dixeris encyclias disciplinas, quatenus hae ab Aristotele ad praeparationem philosophiae ipsius tractabantur, cf. Eth. Xicom. I, 3. {De hac quaestione novissimis temporibus Forchhammer, A. Stahr (Aristot. II), Thurot. (Etudes s. Arist.), J. Bernays (Dialog. d. Arist.) disputaverunt, probabiliora ostenderunt.}

Strab. XIII, p. 608 sq. *Ὁ γοῦν Ἀριστοτέλης τὴν ἑαυτοῦ* 299
(sc. *βιβλιοθήκην*) *Θεοφράστῳ παρέδωκεν, ᾧπερ καὶ τὴν σχολὴν ἀπέλιπε, πρῶτος ὧν ἴσμεν συναγαγὼν βιβλία καὶ διδάξας τοὺς ἐν Αἰγύπτῳ βασιλέας βιβλιοθήκης σύνταξιν. Θεόφραστος δὲ Νηλεῖ παρέδωκεν, ὁ δ' εἰς Σκῆψιν κομίσας τοῖς μετ' αὐτὸν*

παρέδωκεν, ἰδιώταις ἀνθρώπαις, οἳ κατάκλειστα εἶχον τὰ βιβλία οὐδ' ἐπιμελῶς κείμενα· ἐπειδὴ δὲ ἤσθοντο τὴν σπουδὴν τῶν Ἀτταλικῶν βασιλέων, ὑφ' οἷς ἦν ἡ πόλις, ζητούντων βιβλία εἰς τὴν κατασκευὴν τῆς ἐν Περγάμῳ βιβλιοθήκης, κατὰ γῆς ἔκρυψαν ἐν διώρυγί τινι· ὑπὸ δὲ νοτίας καὶ σητῶν κακωθέντα ὀψέ ποτε ἀπέδοντο οἱ ἀπὸ τοῦ γένους Ἀπελλικῶντι τῷ Τηΐῳ πολλῶν ἀργυρίων τά τε Ἀριστοτέλους καὶ τὰ τοῦ Θεοφράστου βιβλία· ἦν δὲ ὁ Ἀπελλικῶν φιλόβιβλος μᾶλλον ἢ φιλόσοφος· διὸ καὶ ζητῶν ἐπανόρθωσιν τῶν διαβρωμάτων εἰς ἀντίγραφα καινὰ μετήνεγκε τὴν γραφήν, ἀναπληρῶν οὐκ εὖ, καὶ ἐξέδωκεν ἁμαρτάδων πλήρη τὰ βιβλία. συνέβη δὲ τοῖς ἐκ τῶν περιπάτων, τοῖς μὲν πάλαι τοῖς μετὰ Θεόφραστον, οὐκ ἔχουσιν ὅλως τὰ βεβλία πλὴν ὀλίγων καὶ μάλιστα τῶν ἐξωτερικῶν, μηδὲν ἔχειν φιλοσοφεῖν πραγματικῶς, ἀλλὰ θέσεις ληκυθίζειν, τοῖς δ' ὕστερον, ἀφ' οὗ τὰ βιβλία ταῦτα προῆλθεν, ἄμεινον μὲν ἐκείνων φιλοσοφεῖν καὶ ἀριστοτελίζειν, ἀναγκάζεσθαι μέντοι τὰ πολλὰ εἰκότα λέγειν διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν. πολὺ δὲ εἰς τοῦτο καὶ ἡ Ῥώμη προσελάβετο· εὐθὺς γὰρ μετὰ τὴν Ἀπελλικῶντος τελευτὴν Σύλλας ἦρε τὴν Ἀπελλικῶντος βιβλιοθήκην ὁ τὰς Ἀθήνας ἑλών· δεῦρο*) δὲ κομισθεῖσαν Τυραννίων τε ὁ γραμματικὸς διεχειρίσατο φιλαριστοτέλης ὤν, θεραπεύσας τὸν ἐπὶ τῆς βιβλιοθήκης, καὶ βιβλιοπῶλαί τινες γραφεῦσι φαύλοις χρώμενοι καὶ οὐκ ἀντιβάλλοντες, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει τῶν εἰς πρᾶσιν γραφομένων βιβλίων, καὶ ἐνθάδε καὶ ἐν Ἀλεξανδρείᾳ. Plut. V. Sull. c. 26. Λέγεται δὲ κομισθείσης αὐτῆς (sc. τῆς Ἀπελλικῶντος βιβλιοθήκης) εἰς Ῥώμην Τυραννίωνα τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλά, καὶ παρ' αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον εὐπορήσαντα τῶν ἀντιγράφων εἰς μέσον θεῖναι, καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας.

Apellicontem Aristotelis bibliothecam possedisse narrat etiam Athenaeus V, p. 214 D. At tamen alio loco, I, p. 3 A, idem Neleum narrat Aristotelis libros Ptolemaeo Philadelpho vendidisse. Aperte falsum est quod Strabo affirmat itemque Plutarchus l. l., Peripateticos post Theophrastum Aristotelis et Theophrasti libris caruisse, v. Brandis *über die Schicksale der Aristotelischen Bücher* etc. in Mus. Rhen. Philol. I, 3, p. 236 sqq., *Handb.* l. c. p. 71 sq., Stahr Aristotelia, P. II. Secundum Ammonium Herm. in Aristot. Cat. AA, fol. 3 a b Ald.; Scholl. Aristot.

*) Romam.

p. 30 b; cf. p. 22 a, 28 a, Ptolemaeus Philadelphus studiosissimus erat in Aristotelicis libris conquirendis, habebanturqne in bibliotheca Alexandrina Analyticorum voll. XL, Categoriarum II, quae videntur diversas eiusdem operis editiones, ex parte etiam Aristotelis de iisdem rebus praelectiones comprehendisse: de quibus eae tantum editiones ad nos pervenerunt, quae posterioribus criticis ut genuinae probabantur, quamquam etiam nunc de tribus quae inter scripta Aristotelis feruntur Ethicis una tantummodo illa, quae sunt ad Nicomachum data, ab ipso Aristotele edita videntur esse. Nova igitur quam Tyrannio et Andronicus curaverunt editio, ad meliores ut videtur codices h. e. ad ipsius Aristotelis et Theophrasti antigrapha exacta, videtur id potissimum spectasse, ut suppositicia scripta discernerentur a genuinis. Ab Andronico eum insuper ordinem repetendum putamus, quem nostra librorum Aristotelicorum exemplaria sequuntur, cf. Porphyr. Vit. Plotin. 24. *ὁ δὲ* (sc. *Ἀνδρόνικος*) *τὰ Ἀριστοτέλους καὶ Θεοφράστου εἰς πραγματείας διεῖλε, τὰς οἰκείας ὑποθέσεις εἰς ταὐτὸν συναγαγών*, qui ordo longe remotus est ab confusione illa tumultuaria, qua hi libri recensentur in aliis catalogis, velut ap. Diog. L. V, 22—28; Anonym. Vit. Arist. ap. Menag. ad Diog. L. l. l.; Catal. libror. Aristot. ex Arab. translat. ap. Buhle Aristot. opp. I, p. 306. At reiecit Andronicus nonnulla quae posterioribus fidem habere videbantur, velut scriptionem de interpretatione et ex Categoriis hypotheoriam quae vocatur, v. Alex. Aphrod. in libr. I. Analyt. fol. 52 a ed. Ald. (Scholl. Arist. p. 161 b); Boethius in Categ. IV in.; Simpl. in Cat. fol. 95 Z. De catalogis librorum et libris deperditis v. Brandis *Handb.* l. c. p. 77 sqq.

b. De philosophia in genere eiusque partibus.

Met. *A*, 2. *Διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν* 300
καὶ τὸ πρῶτον ἤρξαντο φιλοσοφεῖν[a], *ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περί τε τῶν τῆς σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ περὶ ἄστρων καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως. ὁ δ' ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν. διὸ καὶ φιλόμυθος ὁ φιλόσοφός πώς ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. ὥστ' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. μαρτυρεῖ δὲ αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ πρὸς ῥᾳστώνην καὶ διαγωγὴν ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι*[b]. *δῆλον οὖν ὡς δι' οὐδεμίαν αὐτὴν ζητοῦμεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός φαμεν ἐλεύθερος ὁ αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου ὤν, οὕτω καὶ αὕτη μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν· μόνη γὰρ αὐτὴ αὐτῆς ἕνεκέν ἐστιν. διὸ καὶ δικαίως ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο*

αὐτῆς ἡ κτῆσις· πολλαχῆ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐστίν, ὥστε κατὰ Σιμωνίδην θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, ἄνδρα δ' οὐκ ἄξιον μὴ οὐ ζητεῖν τὴν καθ' αὐτὸν ἐπιστήμην. εἰ δὴ λέγουσί τι οἱ ποιηταὶ καὶ πέφυκε φθονεῖν τὸ θεῖον, ἐπὶ τούτου συμβαίνειν μάλιστα εἰκὸς καὶ δυστυχεῖς εἶναι πάντας τοὺς περιττούς[c]. ἀλλ' οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν· ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη. τοιαύτη δὲ διχῶς ἂν εἴη μόνον· ἥν τε γὰρ μάλιστ' ἂν ὁ θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστί, κἂν εἴ τις τῶν θείων εἴη. μόνη δ' αὕτη τούτων ἀμφοτέρων τετύχηκεν· ὅ τε γὰρ θεὸς δοκεῖ τῶν αἰτίων πᾶσιν εἶναι καὶ ἀρχή τις, καὶ τὴν τοιούτην ἢ μόνος ἢ μάλιστ' ἂν ἔχοι ὁ θεός[d]. ἀναγκαιότεραι μὲν οὖν πᾶσαι ταύτης, ἀμείνων δ' οὐδεμία.

a) Cf. in Platone n. 245, not. c. — **b)** H. e. cum iam suppeterent et quae necessaria sunt ad vivendum et quae ad victum et cultum pertinent. φρόνησις h. l. non multum distat ab ἐπιστήμη. — **c)** περιττοὶ sunt qui singulari quadam virtute excellunt et reliquos superant. — **d)** In antecedentibus demonstraverat sapientiam causarum cognitionem esse. Ἀλλὰ μὴν καὶ διδασκαλική γε ἡ τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς αἰτίας λέγοντες περὶ ἕκαστον. τὸ δ' εἰδέναι καὶ τὸ ἐπίστασθαι αὐτῶν ἕνεκα μάλισθ' ὑπάρχει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπιστήμῃ. ὁ γὰρ τὸ ἐπίστασθαι δι' ἑαυτὸ αἱρούμενος τὴν μάλιστα ἐπιστήμην μάλιστα αἱρήσεται, τοιαύτη δ' ἐστὶν ἡ τοῦ μάλιστα ἐπιστητοῦ, μάλιστα δ' ἐπιστητὰ τὰ πρῶτα καὶ τὰ αἴτια· διὰ γὰρ ταῦτα καὶ ἐκ τούτων τἆλλα γνωρίζεται, ἀλλ' οὐ ταῦτα διὰ τῶν ὑποκειμένων. Cf. Ethic. Nicom. VI, 7. Δεῖ ἄρα τὸν σοφὸν μὴ μόνον τὰ ἐκ τῶν ἀρχῶν εἰδέναι, ἀλλὰ καὶ περὶ τὰς ἀρχὰς ἀληθεύειν. ὥστ' εἴη ἂν ἡ σοφία νοῦς καὶ ἐπιστήμη, ὥσπερ κεφαλὴν ἔχουσα ἐπιστήμη τῶν τιμιωτάτων. Cf. n. 311.

801 Met. *Γ*, 2. Καὶ ἔστι τοῦ φιλοσόφου περὶ πάντων δύνασθαι θεωρεῖν[a]. εἰ γὰρ μὴ τοῦ φιλοσόφου, τίς ἔσται ὁ ἐπισκεψόμενος εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθήμενος, ἢ εἷς ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐστι τὸ ἐναντίον, ἢ προσαχῶς λέγεται; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἕν καὶ τοῦ ὄντος ᾗ ὄν ταῦτα καθ' αὑτά ἐστι πάθη, ἀλλ' οὐχ ᾗ ἀριθμοὶ ἢ γραμμαὶ ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς ἐπιστήμης καὶ τί ἐστι γνωρίσαι καὶ τὰ συμβεβηκότ' αὐτοῖς. — — ἐπεὶ ὥσπερ ἐστὶ καὶ ἀριθμοῦ ᾗ ἀριθμὸς ἴδια πάθη, οἷον περιττότης ἀρτιότης, συμμετρία ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ' αὑτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρχει τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ στερεῷ

καὶ ἀκινήτῳ καὶ κινουμένῳ ἀβαρεῖ τε καὶ βάρος ἔχοντι ἔστιν ἕτερα ἴδια· οὕτω καὶ τῷ ὄντι ᾗ ὂν ἔστι τινὰ ἴδια, καὶ ταῦτ' ἐστὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι τἀληθές. σημεῖον δέ· οἱ γὰρ διαλεκτικοὶ καὶ σοφισταὶ ταὐτὸν μὲν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ (ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστί, καὶ οἱ διαλεκτικοὶ διαλέγονται περὶ ἁπάντων), κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστιν. διαλέγονται δὲ περὶ τούτων δῆλον ὅτι διὰ τὸ τῆς φιλοσοφίας εἶναι αὐτὰ οἰκεῖα. περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει. ἔστι δὲ ἡ διαλεκτικὴ πειραστικὴ περὶ ὧν ἡ φιλοσοφία γνωριστική, ἡ δὲ σοφιστικὴ φαινομένη οὖσα δ' οὔ[b].

a) Omnia ac singula ut cognoscantur, *τὰ μάλιστα καθόλου* sectanda sunt, cognoscendum illa quidem difficillima. Met. *A*, 2. *τὸ μὲν πάντα ἐπίστασθαι τῷ μάλιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν· οὗτος γὰρ οἶδέ πως πάντα τὰ ὑποκείμενα. σχεδὸν δὲ καὶ χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις, τὰ μάλιστα καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν.* — **b)** Dialectica quam dicit Aristoteles non veritatem sequitur, sed verisimilia h. e. *δόξαν*, v. Top. I, 1. *διαλεκτικὸς δὲ συλλογισμὸς ὁ ἐξ ἐνδόξων συλλογιζόμενος* —, *ἔνδοξα δὲ τὰ δοκοῦντα πᾶσιν ἢ τοῖς πλείστοις ἢ τοῖς σοφοῖς*, cf. infra n. 308, not. b. De sophistica cf. Sophist. El. 1. *ἐπεὶ ἐστί τισι μᾶλλον πρὸ ἔργου τὸ δοκεῖν εἶναι σοφοῖς ἢ τὸ εἶναι καὶ μὴ δοκεῖν (ἔστι γὰρ ἡ σοφιστικὴ φαινομένη σοφία οὖσα δ' οὔ, καὶ ὁ σοφιστὴς χρηματιστὴς ἀπὸ φαινομένης σοφίας ἀλλ' οὐκ οὔσης), δῆλον ὅτι ἀναγκαῖον τούτοις καὶ τὸ τοῦ σοφοῦ ἔργον δοκεῖν ποιεῖν μᾶλλον ἢ ποιεῖν καὶ μὴ δοκεῖν.* Propterea dialecticam philosophia inferiorem esse dicit *τῷ τρόπῳ τῆς δυνάμεως* h. e. disputandi facultate, quia philosophia a veris principiis profecta ipsam cognoscit veritatem, dialectica tentat modo et experitur et profecta a vulgi opinionibus viam quasi parat philosophiae; sophisticam vero artem ipsa quaerendi voluntate, *τοῦ βίου τῇ προαιρέσει*, oppositam esse philosophiae, quia neglecta veritate nihil faciat nisi speciem veritatis captet, cf. Rhet. I, 1. *ὁ γὰρ σοφιστικὸς (συλλογισμὸς) οὐκ ἐν τῇ δυνάμει, ἀλλ' ἐν τῇ προαιρέσει.* Top. VIII, 11. *ἔστι δὲ — σόφισμα συλλογισμὸς ἐριστικός.*

Met. *E*, 1. *Εἰ δέ τί ἐστιν ἀΐδιον καὶ ἀκίνητον καὶ χω-* 302
ριστόν[a] *φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι*[b]. *οὐ μέντοι φυσικῆς γε (περὶ κινητῶν γάρ τινων ἡ φυσική), οὐδὲ μαθηματικῆς, ἀλλὰ προτέρας ἀμφοῖν. ἡ μὲν γὰρ φυσικὴ περὶ ἀχώριστα μὲν ἀλλ' οὐκ ἀκίνητα, τῆς δὲ μαθηματικῆς ἔνια περὶ ἀκίνητα μὲν οὐ χωριστὰ δ' ἴσως, ἀλλ' ὡς ἐν ὕλῃ· ἡ δὲ πρώτη καὶ περὶ χωριστὰ καὶ ἀκίνητα. ἀνάγκη δὲ πάντα μὲν τὰ αἴτια ἀΐδια εἶναι, μάλιστα*

δὲ ταῦτα· ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων[c]. ὥστε τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρητικαί, μαθηματική[d], φυσική, θεολογική. οὐ γὰρ ἄδηλον ὅτι εἴ που τὸ θεῖον ὑπάρχει, ἐν τῇ τοιαύτῃ φύσει ὑπάρχει· καὶ τὴν τιμιωτάτην δεῖ περὶ τὸ τιμιώτατον γένος εἶναι. αἱ μὲν οὖν θεωρητικαὶ τῶν ἄλλων ἐπιστημῶν αἱρετώτεραι, αὕτη δὲ τῶν θεωρητικῶν. ἀπορήσειε γὰρ ἄν τις πότερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ἢ περί τι γένος καὶ φύσιν τινὰ μίαν· οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ' ἐν ταῖς μαθηματικαῖς, ἀλλ' ἡ μὲν γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν εἰσίν, ἡ δὲ καθόλου πασῶν κοινή[e]. εἰ μὲν οὖν μή ἐστί τις ἑτέρα οὐσία παρὰ τὰς φύσει συνεστηκυίας, ἡ φυσικὴ ἂν εἴη πρώτη ἐπιστήμη· εἰ δ' ἐστί τις οὐσία ἀκίνητος, αὕτη προτέρα καὶ φιλοσοφία πρώτη, καὶ καθόλου οὕτως ὅτι πρώτη· καὶ περὶ τοῦ ὄντος ᾗ ὄν, ταύτης ἂν εἴη θεωρῆσαι, καὶ τί ἐστι καὶ τὰ ὑπάρχοντα ᾗ ὄν.

a) Τὸ χωριστὸν est τὸ οὐκ ἐν ὕλῃ, quod patet ex sequentibus. — **b)** In antecedentibus demonstraverat physicam esse theoreticam disciplinam. Τὸ θεωρεῖν enim et agendo (πράττειν) et faciendo (ποιεῖν) constanter opponitur, ita ut philosophiae etiam tria genera esse constituat, θεωρητικὸν πρακτικὸν ποιητικόν. In illo res cognitionem movent, in his contra hominis aut voluntas aut ars res moderatur, cf. Met. *K*, 7, Eth. N, V, 4, Bonitz ad Metaph. p. 281 sq. Sequitur ut omnis actio finem suum extra se positum habeat, cum cognitio et contemplatio semel mota nihil agat nisi ut sibi ipsi satisfaciat, cf. Eth. Nic. VI, 2. διάνοια δ' αὐτὴ οὐδὲν κινεῖ, ἀλλ' ἡ ἕνεκά του καὶ πρακτική. Ib. 13. ἡ μὲν γὰρ σοφία οὐδὲν θεωρεῖ ἐξ ὧν ἔσται εὐδαίμων ἄνθρωπος. Ib. X, 7. δόξαι τ' ἂν αὐτὴ μόνη (sc. ἡ φιλοσοφία) δι' αὑτὴν ἀγαπᾶσθαι· οὐδὲν γὰρ ἀπ' αὐτῆς γίγνεταί παρὰ τὸ θεωρῆσαι. — **c)** Τὰ φανερὰ τῶν θείων sunt sidera, cf. Met. *Λ*, 8; de Coelo I, 3; Meteorol. I, 3. — **d)** Cf. Met. *K*, 4. 7. Mathematica physicae affinis est, quia res mathematicae reperiuntur in natura, unde cognitione mathematica separantur quae in ea sunt immota et non sensibilia, cf. Brandis *Handb.* II, 2, 1, p. 135 sqq. — **e)** Ἡ καθόλου μαθηματικὴ est arithmetica, cf. Met. *Δ*, 2, αἱ γὰρ ἐξ ἐλαττόνων (sc. ἐπιστῆμαι) ἀκριβέστεραι τῶν ἐκ προσθέσεως λαμβανομένων, οἷον ἀριθμητικὴ γεωμετρίας. Ib. 5. ἐπεὶ δὲ τούτων (sc. μαθημάτων) οἱ ἀριθμοὶ φύσει πρῶτοι. Anal. post. I, 27.

Theoreticae igitur philosophiae tres partes sunt, physica, mathematica, theologia s. prima philosophia. Physica versatur in cognoscendis rebus sensibilibus, quae et moventur neque a materia separari possunt (n. 303), mathematica in rebus immobilibus, quae a materia cogitatione, non ipsa existentia separantur, denique prima philosophia in rebus et immobilibus et separatis a materia et per se existentibus h. e. in supremis omnium scientiarum causis atque principiis, cf. Met. *Γ*, 3; *K*, 7; Phys.

I, 9 extr.; II, 2 extr.; de Part. An. I, 1; de Anim. Mot. 6; de Gen. et Corr. I, 3. Prima philosophia appellatur theologia s. pars theologica (Met. *K*, 7), quia primus motor Aristoteli esse videbatur deus s. intellectus divinus, qui est ab omni materia secretus et immotus, v. infra n. 328 sq. Aliis locis eadem pars appellatur *Σοφία* (*A*, 1. 2), aliis philosophia per excellentiam (*K*, 3. 4). Inferioribus dicibatur Metaphysica, nomine ab eo opere quo maxime haec pars tractatur ad ipsam translato. Quod opus nonnullis partibus inchoatum magis quam absolutum neque ab ipso Aristotele editum, sed a discipulis collectum et ab Andronico Rhodio, Ciceronis aequali, Metaphysica inscriptum esse videtur; certe primo post Chr. seculo hanc inscriptionem usu receptam fuisse constat. Cf. Brandis Comment. Acad. Berol. 1834, p. 63—87, *Handb. d. Gesch. d. Philos.* II, 2. 1, p. 541; H. Bonitz Arist. Met. recogn. et enarr. 2 Voll. Bonnae 1848. 49, Vol. II, p. 10 sqq.

Met. *Z*, 11. *Τῆς φυσικῆς καὶ δευτέρας φιλοσοφίας ἔργον* 303
ἡ περὶ τὰς αἰσθητὰς οὐσίας θεωρία.

Cf. n. 302; de Anim. I, 1 extr. Physices argumenta non perinde certa et definita sunt atque primae philosophiae vel mathematicae. Met. *α*, 3. *τὴν δ' ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον, ἀλλ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. διόπερ οὐ φυσικὸς ὁ τρόπος· ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην.* Nam quae habent materiam ea possunt mutari, sunt igitur non necessaria atque absoluta: scientia vero non pertinet nisi ad necessaria, Anal. post. I, 33. Nihilominus hanc partem sicut opera ac studiis maxime excoluit, ita etiam litteris maxime elaboravit plurimisque libris editis celebravit, cf. L. Spengel *über die Reihenfolge der naturwissenschaftl. Schriften des Aristoteles*, Commentatt. Acad. Bavar. a. 1848.

{Met. 1025 b, 25. *Πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ* 304
ἢ θεωρητική.

Ad dividendam philosophiam Aristoteles et rationis et rerum rationi subiectarum divisione utitur. Cf. n. 302, a. Tria rerum genera tribus virtutibus intellectualibus comprehenduntur, prudentia (*φρονήσει*), arte (*τέχνῃ*), sapientia (*σοφίᾳ*). Cf. quae monui in libro meo *Aristotel. Forschungen* II, p. 12 sqq.}

De Ethica non aeque accurate sua demonstrante atque prima philosophia et mathematica cf. Eth. Nic. VII, 1; Eud. I, 6. De Ethicis ad Nicomachum, quae sola ipsius Aristotelis esse putantur, Eudemiis, ab Eudemo ut videtur secundum Aristotelem compositis, denique Magnis quae vocantur (cf. Trendelenburg *Hist. Beiträge* II, p. 353), quae ab inferiore

Peripatetico ex utrisque, Nicomachiis et Eudemiis, excerpta esse videntur, cf. Spengel in Commentatt. Acad. Bavar. Vol. III (1840), p. 437—541.

305 {Met. *Γ*. 3, p. 1005 b 1. *Ὅσα δ' ἐγχειροῦσι τῶν λεγόντων τινὲς περὶ τῆς ἀληθείας, ὃν τρόπον δεῖ ἀποδέχεσθαι, δι' ἀπαιδευσίαν τῶν ἀναλυτικῶν τοῦτο δρῶσιν· δεῖ γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, ἀλλὰ μὴ ἀκούοντας ζητεῖν.* Ibid. *α* 2 p. 995 a 12 *διὸ δεῖ πεπαιδεῦσθαι πῶς ἕκαστα ἀποδεκτέον, ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην καὶ τρόπον ἐπιστήμης.*} Schol. Aristot. p. 140 ed. Brandis. *Ἄξιόν ἐστι ζητῆσαι τί ἂν εἴη ἡ λογικὴ Ἀριστοτέλει, πότερον μέρος ἢ μόριον ἢ ὄργανον. καὶ (γὰρ) οἱ μὲν Στωϊκοὶ κατασκευάζουσιν ὅτι μέρος ἐστίν, οἱ δὲ Περιπατητικοὶ ὅτι ὄργανον, οἱ δὲ Ἀκαδημαϊκοὶ τὴν μέσην βαδίζοντες καὶ μέρος καὶ ὄργανον εἶναι αὐτήν φασι τῆς φιλοσοφίας.*

Cf. Ammon. Herm. ad Categ. fol. 1 a. Logicam partem philosophiae primi appellaverunt Stoici, v. infra C. X. c, h. e. logicam sensu angustiore quam nos dicimus, quos sequitur Cic. de Fin. I, 7, 22. *in altera philosophiae parte, quae est quaerendi ac disserendi, quae λογικὴ dicitur*, cf. de Fato I, 1, Prantl *Gesch. d. Logik* I, p. 535. Ipse Aristoteles *λογικὴν ἀπόδειξιν.* similia, dicit eam qua generatim tantummodo atque universe h. e. singulis non excussis disputatur, illas vero quas nos logicae tribuimus quaestiones *Analyticis* maxime explicavit, dictis illis *ἀπὸ τοῦ ἀναλύειν* h. e. id quod compositum est (cogitata et enuntiata) in elementa sua tanquam ad causas resolvere, cf. Anal. poster. I, 22. *λογικῶς μὲν οὖν ἐκ τούτων ἄν τις πιστεύσειε περὶ τοῦ λεχθέντος, ἀναλυτικῶς δὲ διὰ τῶνδε φανερὸν συντομωτέρων κτλ.*, Waitz Arist. Organon II, p. 353 sqq. Analytica et quae praeterea ab Aristotele logice disputata et scripta exstabant posterior aetas uno Organi nomine complexa est, quod logica non ipsius philosophiae pars, sed commune, quod omnibus aeque philosophiae partibus et ceteris disciplinis ad verum et falsum dignoscendum inserviret, tanquam instrumentum esse videbatur, cf. Simplic. in Schol. Arist. p. 39, 42. *ἡ δὲ λογικὴ πᾶσα τὸ ὀργανικόν ἐστι μέρος τῆς φιλοσοφίας.* Ipse Aristotcles etiam has quaestiones philosophiae esse affirmat, Met. *Γ*, 3. *ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ ερὶ πάσης τῆς οὐσίας θεωροῦντος ᾗ πέφυκεν καὶ περὶ τῶν συλλογιστικῶν ·ὧν ἐστὶν ἐπισκέψασθαι δῆλον.* Ib. *B*, 2. *καθόλου γὰρ μάλιστα καὶ ων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν. εἶτ' ἐστὶ μὴ τοῦ φιλοσόφου, τίνος περὶ αὐτῶν ἄλλου τὸ θεωρῆσαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος;* Aristo- ranon graece ed. Th. Waitz, Lips. 18[44/46]. Elementa logices Ari- ex ipsius libris excerpsit, convertit, illustravit F. A. Trendelen- 1836. Ed. 4. a. 1852. Cf. C. Prantl *Gesch. d. Logik im* I, p. 87—346.

c. Logica.

Cat. 2. *Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν*[a] *λέγεται* 306
τὰ δ' ἄνευ συμπλοκῆς. τὰ μὲν οὖν κατὰ συμπλοκὴν οἷον ἄνθρωπος τρέχει, ἄνθρωπος νικᾷ· τὰ δ' ἄνευ συμπλοκῆς οἷον ἄνθρωπος, βοῦς, τρέχει, νικᾷ. Ibid. 4. *Τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἤτοι οὐσίαν σημαίνει ἢ ποσὸν ἢ ποιὸν ἢ πρός τι ἢ ποῦ ἢ ποτὲ ἢ κεῖσθαι ἢ ἔχειν ἢ ποιεῖν ἢ πάσχειν. ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος ἵππος, ποσὸν δὲ οἷον δίπηχυ τρίπηχυ, ποιὸν δὲ οἷον λευκὸν γραμματικόν, πρός τι δὲ οἷον διπλάσιον ἥμισυ μεῖζον, ποῦ δὲ οἷον ἐν Λυκείῳ ἐν ἀγορᾷ, ποτὲ δὲ οἷον ἐχθὲς πέρυσιν, κεῖσθαι δὲ οἷον ἀνάκειται κάθηται, ἔχειν δὲ οἷον ὑποδέδεται ὥπλισται, ποιεῖν δὲ οἷον τέμνει καίει, πάσχειν δὲ οἷον τέμνεται καίεται. ἕκαστον δὲ τῶν εἰρημένων αὐτὸ μὲν καθ' αὑτὸ ἐν οὐδεμιᾷ καταφάσει λέγεται ἢ ἀποφάσει, τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ κατάφασις ἢ ἀπόφασις γίγνεται. ἅπασα γὰρ δοκεῖ κατάφασις καὶ ἀπόφασις ἤτοι ἀληθὴς ἢ ψευδὴς εἶναι· τῶν δὲ κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδός ἐστιν, οἷον ἄνθρωπος λευκόν, τρέχει νικᾷ*[b].

a) *Συμπλοκὴ* est contextus verborum, v. Plat. Soph. p. 262 D. *συμπλέκων τὰ ῥήματα τοῖς ὀνόμασι.* p. 262 C. *καὶ λόγος ἐγένετο εὐθὺς ἡ πρώτη συμπλοκή, — ὅταν εἴπῃ τις Ἄνθρωπος μανθάνει, λόγον εἶναι φῂς τοῦτον ἐλάχιστόν τε καὶ πρῶτον.* — **b)** Verum et falsum in notionibus demum coniungendis et dirimendis cernitur, nam in ipsis rebus non inest neque veritas neque falsitas, v. Met. *E*, 4. *οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθὲς τὸ δὲ κακὸν εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ.* Cf. n. 307, not. c.

Categoriae, quae Aristoteli plerumque dicuntur *τὰ γένη τῶν κατηγοριῶν, τὰ σχήματα τῆς κατηγορίας* s. *τῶν κατηγοριῶν*, sunt summa genera enuntiationum: nam *κατηγορεῖν* apud eum missa accusandi potestate generalem referendi et enuntiandi vim habet, ut *κατηγορεῖν κατά τινος* sit enuntiare aliquid de aliquo. Decem categoriae numerantur Top. I, 9. *ἔστι δὲ ταῦτα τὸν ἀριθμὸν δέκα, τί ἐστι, ποσόν, ποιόν, πρός τι, ποῦ, ποτέ, κεῖσθαι, ἔχειν, ποιεῖν, πάσχειν.* Primum locum habet *ἡ οὐσία* s. *τὸ τί ἐστιν*, quae substantiam subiectam significat (Cat. 5 in n. 309, not. b), ut reliquae nonnisi de ea praedicentur et semper eam requirant, cf. Met. Z, 1. *τὰ δ' ἄλλα λέγεται ὄντα τῷ τοῦ οὕτως ὄντος τὰ μὲν ποσότητας εἶναι, τὰ δὲ ποιότητας, τὰ δὲ πάθη, τὰ δὲ ἄλλο τι τοιοῦτον. διὸ κἂν ἀπορήσειέ τις πότερον τὸ βαδίζον καὶ τὸ ὑγιαίνειν καὶ τὸ καθῆσθαι ἕκαστον αὐτῶν ὂν ἢ μὴ ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν τοιούτων· οὐδὲν γὰρ αὐτῶν ἐστὶν οὔτε καθ' αὑτὸ πεφυκὸς οὔτε*

χωρίζεσθαι δυνατὸν τῆς οὐσίας, ἀλλὰ μᾶλλον, εἴπερ, τὸ βαδίζον τῶν ὄντων τι καὶ τὸ καθήμενον καὶ τὸ ὑγιαῖνον· ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον· τοῦτο δ' ἐστὶν ἡ οὐσία καὶ τὸ καθ' ἕκαστον, ὅπερ ἐμφαίνεται ἐν τῇ κατηγορίᾳ τῇ τοιαύτῃ. Θ, 1. περὶ μὲν οὖν τοῦ πρώτως ὄντος καὶ πρὸς ὃ πᾶσαι αἱ ἄλλαι κατηγορίαι τοῦ ὄντος ἀναφέρονται εἴρηται, περὶ τῆς οὐσίας. Ceterum hae categoriae nusquam a principiis certis derivantur, sed velut postulata ubique supponuntur; neque de omnibus accurate exposuit Aristoteles, ut multum iam inter antiquos de iis dissensum sit, v. Dexipp. in Schol. Arist. p. 39 b. 34. *σχεδὸν γὰρ κατανενόηκα ὡς οὔτε πλείους ἀντιλογίαι εἰς ἑτέραν ὑπόθεσιν γεγόνασιν οὔτε μείζους ἀγῶνες κεκίνηνται οὐ μόνον τοῖς Στωϊκοῖς καὶ Πλατωνικοῖς, σαλεύειν ἐπιχειροῦσι ταύτας τὰς Ἀριστοτέλους κατηγορίας, ἀλλὰ καὶ αὐτοῖς τοῖς Περιπατητικοῖς πρὸς ἑαυτούς, τοῖς μὲν μᾶλλον ἐφικνεῖσθαι ταῖς διανοίαις τἀνδρὸς ὑπειληφόσι, τοῖς δ' εὐπορώτερον λύειν οἰομένοις τὰ παρ' ἑτέρων ἀπορούμενα.* Inter recentiores cf. Trendelenburg *Geschichte d. Kategorienlehre, Berl. 1846,* p. 1—195; Bonitz *über die Kategorien des Aristoteles, Sitzungsber. d. philos.-histor. Cl. d. W. Ak. d. W.* X, p. 591—645.

307 De interpret. 4. *Ἔστι δὲ λόγος ἅπας μὲν σημαντικός, ἀποφαντικὸς δὲ οὐ πᾶς, ἀλλ' ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. οὐκ ἐν ἅπασι δὲ ὑπάρχει, οἷον ἡ εὐχὴ λόγος μέν, ἀλλ' οὔτε ἀληθὴς οὔτε ψευδής. οἱ μὲν οὖν ἄλλοι ἀφείσθωσαν. ῥητορικῆς γὰρ ἢ ποιητικῆς οἰκειοτέρα ἡ σκέψις· ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας*[a]. 5. *Ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις· οἱ δ' ἄλλοι πάντες συνδέσμῳ εἷς. ἀνάγκη δὲ πάντα λόγον ἀποφαντικὸν ἐκ ῥήματος εἶναι ἢ πτώσεως ῥήματος· καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος, ἐὰν μὴ τὸ ἔστιν ἢ ἦν ἢ ἔσται ἢ τι τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός*[b]. 6. *Κατάφασις δέ ἐστιν ἀπόφανσίς τινος κατά τινος, ἀπόφασις δέ ἐστιν ἀπόφανσίς τινος ἀπό τινος*[c].

a) Secus faciebant Stoici, qui logicam suam et de rhetorica et de dialectica quam dicebant esse voluerunt, v. C. X. c. *Λόγος ἀποφαντικὸς* s. *ἀπόφανσις* est enuntiatum de eo quod vel esse vel non esse statuitur: quod posteriores iudicium *(Urtheil)* appellaverunt. De eius rationibus disputatur in libro *περὶ ἑρμηνείας.* — **b)** *Φάσις* est omnis dictio, *κατάφασις* affirmatio, *ἀπόφασις* negatio. Enuntiatum simplex consistit vel ex verbo vel ex verbo et nomine, cetera enuntiata componuntur ex simplicibus, cf. De Interpr. 10. *ἔσται πᾶσα κατάφασις καὶ ἀπόφασις — ἐξ ὀνόματος καὶ ῥήματος —, ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις οὐδὲ ἀπόφασις.* Ib. 2. *ὄνομα μὲν οὖν ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον· ῥῆμα δέ ἐστι τὸ προσσημαῖνον χρόνον, οὗ μέρος οὐδὲν σημαίνει χωρίς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον.* De ceteris orationis partibus

dixit Poet. 20, cf. J. Classen de Gramm. Gr. prim. p. 59 sq. — **c)** Affirmatione ita aliquid de aliquo enuntiatur, ut ad id cogitatione referatur, negatione ita ut de eo quasi detrahatur. Rerum enim substantia iudiciis nostris non afficitur, De Interpr. 9. *δῆλον γὰρ ὅτι οὕτως ἔχει τὰ πράγματα, κἂν μὴ ὁ μὲν καταφήσῃ τι ὁ δὲ ἀποφήσῃ· οὐδὲ γὰρ διὰ τὸ καταφαθῆναι ἢ ἀποφαθῆναι ἔσται ἢ οὐκ ἔσται.* Imo veritas nostrorum iudiciorum cernitur in eo, ut cogitatio ipsam aequet naturam rerum, h. e. ea quae re coniuncta sunt cogitando pariter coniungat (*καταφάσκων*), disiuncta disiungat (*ἀποφάσκων*), ibid. *ὁμοίως οἱ λόγοι ἀληθεῖς ὥσπερ τὰ πράγματα.* Met. *Θ*, 10. *τὸ κυριώτατα ὂν ἀληθὲς ἢ ψεῦδος — ἐπὶ τῶν πραγμάτων ἐστὶ τῷ συγκεῖσθαι ἢ διῃρῆσθαι, ὥστε ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος διῃρῆσθαι καὶ τὸ συγκείμενον συγκεῖσθαι, ἔψευσται δὲ ὁ ἐναντίως ἔχων ἢ τὰ πράγματα. — οὐ γὰρ διὰ τό ἡμᾶς οἴεσθαι ἀληθῶς σε λευκὸν εἶναι εἶ σὺ λευκός, ἀλλὰ διὰ τὸ σὲ εἶναι λευκὸν ἡμεῖς οἱ φάντες τοῦτο ἀληθεύομεν.*

Analyt. pr. I, 1. *Πρότασις μὲν οὖν ἐστὶ λόγος καταφα-* 308
τικὸς ἢ ἀποφατικός τινος κατά τινος[a]. *οὗτος δὲ ἢ καθόλου ἢ ἐν μέρει ἢ ἀδιόριστος. λέγω δὲ καθόλου μὲν τὸ παντὶ ἢ μηδενὶ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἀδιόριστον δὲ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἄνευ τοῦ καθόλου, ἢ κατὰ μέρος, οἷον τὸ τῶν ἐναντίων εἶναι τὴν αὐτὴν ἐπιστήμην ἢ τὸ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν. διαφέρει δὲ ἡ ἀποδεικτικὴ πρότασις τῆς διαλεκτικῆς*[b], *ὅτι ἡ μὲν ἀποδεικτικὴ λῆψις θατέρου μορίου τῆς ἀντιφάσεώς ἐστιν) οὐ γὰρ ἐρωτᾷ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων), ἡ δὲ διαλεκτικὴ ἐρώτησις ἀντιφάσεώς ἐστιν. οὐδὲν δὲ διοίσει πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν· καὶ γὰρ ὁ ἀποδεικνύων καὶ ὁ ἐρωτῶν συλλογίζεται λαβών τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν*[c]. *ὥστε ἔσται συλλογιστικὴ μὲν πρότασις ἁπλῶς κατάφασις ἢ ἀπόφασίς τινος κατά τινος τὸν εἰρημένον τρόπον, ἀποδεικτικὴ δέ, ἐὰν ἀληθὴς ᾖ καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη, διαλεκτικὴ δὲ πυνθανομένῳ μὲν ἐρώτησις ἀντιφάσεως, συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου, καθάπερ ἐν τοῖς Τοπικοῖς εἴρηται*[d]. Met. *Γ*, 3. *τὸ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό, — αὕτη δὴ πασῶν ἐστὶ βεβαιοτάτη τῶν ἀρχῶν· — ἀδύνατον γὰρ ὁντιναοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι· — — — διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν.*

a) *Πρότασις* a verbo *προτείνειν* vel *προτείνεσθαι* est propositio ad conclusionem inde efficiendam praemissa. Omnem de conclusionibus doctrinam a se et fundatam et elaboratam esse ipse Aristoteles dicit Soph.

El. 34. *ταύτης δὲ τῆς πραγματείας οὐ τὸ μὲν ἦν τὸ δ' οὐκ ἦν προεξειργασμένον, ἀλλ' οὐδὲν παντελῶς ὑπῆρχεν*, et paulo post: *καὶ περὶ μὲν τῶν ῥητορικῶν ὑπῆρχε πολλὰ καὶ παλαιὰ τὰ λεγόμενα, περὶ δὲ τοῦ συλλογίζεσθαι παντελῶς οὐδὲν εἴχομεν πρότερον ἄλλο λέγειν, ἀλλ' ἢ τριβῇ ζητοῦντες πολὺν χρόνον ἐπονοῦμεν.* — **b)** *Διαλεκτικὴ πρότασις* est quae a probabilibus, *ἀποδεικτικὴ* quae a necessariis proficiscitur, nam *ἀπόδειξις* est demonstratio scientiae. Ad sequentia notandum *ἀντίφασιν* dici si quid simul et affirmatur et negatur, ut nonnisi, alterutrum verum esse possit, cf. De Interpr. 6, Anal. post. I, 2. *διαλεκτικὴ μὲν (πρότασις) ἡ ὁμοίως λαμβάνουσα ὁποτερονοῦν, ἀποδεικτικὴ δὲ ἡ ὡρισμένως θάτερον, ὅτι ἀληθές. — ἀντίφασις δὲ ἀντίθεσις ἧς οὐκ ἔστι μεταξὺ καθ' αὑτήν*, h. e. ubi tertium non datur. Inde summum illud omnis demonstrationis apodicticae principium quod dicitur contradictionis, cf. Met. l. c. — **c)** *Συλλογίζεσθαι* proprie est computando vel ratiocinando coniungere, cf. Plat. Phileb. p. 41 C. *συλλογίζου δὴ τὸ γιγνόμενον ἐν τούτοις* h. e. in unum collige quae ex duabus sententiis positis sequuntur. Aristoteles *συλλογισμὸν* ab ampliore hac potestate ad eam concludendi formam revocavit, in qua tres notiones ita inter se connectuntur sibique subiiciuntur ut interposita media tertia et prima in unum enuntiatum colligi possint· Latini syllogismum nonnunquam *ratiocinationem* appellant, cf. Cic. De Invent. I, 33, Quintil. V, 10, VII, 8. — **d)** *Τόποι* dicuntur loci communes ad persuadendum accomodati, quibus utitur et dialectica et rhetorica, v. Rhet. I, 1. *ἡ ῥητορικὴ ἐστιν ἀντίστροφος τῇ διαλεκτικῇ· ἀμφότεραι γὰρ περὶ τοιούτων τινῶν εἰσὶν ἃ κοινὰ τρόπον τινὰ ἁπάντων ἐστὶ γνωρίζειν καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφωρισμένης.* Ib. 2. *λέγω γὰρ διαλεκτικούς τε καὶ ῥητορικοὺς συλλογισμοὺς εἶναι περὶ ὧν τοὺς τόπους λέγομεν οὗτοι δ' εἰσὶν οἱ κοινῇ περὶ δικαίων καὶ φυσικῶν καὶ περὶ πολιτικῶν καὶ περὶ πολλῶν διαφερόντων εἴδει.* Inde dicta *τὰ Τοπικά*, quibus propositum est *μέθοδον εὑρεῖν, ἀφ' ἧς δυνησόμεθα συλλογίζεσθαι περὶ παντὸς τοῦ προτεθέντος προβλήματος ἐξ ἐνδόξων*, Top. I, 1.

309 Anal. pr. I, 1. *Συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. λέγω δὲ τῷ ταῦτα εἶναι τὸ διὰ ταῦτα συμβαίνειν, τὸ δὲ διὰ ταῦτα συμβαίνειν τὸ μηδενὸς ἔξωθεν ὅρου προσδεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον*[a]. *τέλειον μὲν οὖν καλῶ συλλογισμὸν τὸν μηδενὸς ἄλλου προσδεόμενον παρὰ τὰ εἰλημμένα πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, ἀτελῆ δὲ τὸν προσδεόμενον ἢ ἑνὸς ἢ πλειόνων, ἃ ἔστι μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων*[b], *οὐ μὴν εἴληπται διὰ προτάσεων. 4. Ὅταν οὖν ὅροι τρεῖς οὕτως ἔχωσι πρὸς ἀλλήλους, ὥστε τὸν ἔσχατον ἐν ὅλῳ εἶναι τῷ μέσῳ καὶ τὸν μέσον ἐν ὅλῳ πρώτῳ ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη τῶν ἄκρων εἶναι συλλογισμὸν τέλειον· καλῶ δὲ μέσον μὲν ὃ καὶ αὐτὸ*

ἐν ἄλλῳ καὶ ἄλλο ἐν τούτῳ ἐστίν. ὃ καὶ τῇ θέσει γίγνεται μέσον. ἄκρα δὲ τὸ αὐτὸ ἐν ἄλλῳ ὂν καὶ ἐν ᾧ ἄλλο ἐστίν. εἰ γὰρ τὸ *A* κατὰ παντὸς τοῦ *B* καὶ τὸ *B* κατὰ παντὸς τοῦ *Γ*, ἀνάγκη τὸ *A* κατὰ παντὸς τοῦ *Γ* κατηγορεῖσθαι. — καλῶ δὲ τόδε τοιοῦτον τὸ σχῆμα πρῶτον[c]. 5. Ὅταν δὲ τὸ αὐτὸ τῷ μὲν παντὶ τῷ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἑκατέρῳ παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ δεύτερον, μέσον δὲ ἐν αὐτῷ λέγω τὸ κατηγορούμενον ἀμφοῖν. — τίθεται δὲ τὸ μέσον ἔξω μὲν τῶν ἄκρων, πρῶτον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐκ ἔσται συλλογισμὸς οὐδαμῶς ἐν τούτῳ τῷ σχήματι, δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων[d]. 6. Ἐὰν δὲ τῷ αὐτῷ τὸ μὲν παντὶ τὸ δὲ μηδενὶ ὑπάρχῃ, ἢ ἄμφω παντὶ ἢ μηδενί, τὸ μὲν σχῆμα τὸ τοιοῦτον καλῶ τρίτον, μέσον δ' ἐν αὐτῷ λέγω καθ' οὗ ἄμφω τὰ κατηγορούμενα, ἄκρα δὲ τὰ κατηγορούμενα. — τίθεται τὲ τὸ μέσον ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει. τέλειος μὲν οὖν οὐ γίγνεται συλλογισμὸς οὐδ' ἐν τούτῳ τῷ σχήματι, δυνατὸς δ' ἔσται καὶ καθόλου καὶ μὴ καθόλου τῶν ὅρων ὄντων πρὸς τὸ μέσον[e].

a) Gellius N. A. XV, 26 eam definitionem sic interpretatur: *Syllogismus est oratio, in qua consensis quibusdam et concessis aliud quid quam quae concessa sint per ea quae concessa sunt necessario conficitur.* *Συμβαίνειν* in conclusione dicuntur quae necessario consequuntur. Id quod iusta ratiocinatione ex propositione et assumtione colligitur dicitur *συμπέρασμα*, Analyt. pr. I, 9, II, 6. post. II, 10. — **b)** Anal. pr. I, 1. Ὅρον (terminum) *δὲ καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις, οἷον τό τε κατηγορούμενον καὶ τὸ καθ' οὗ κατηγορεῖται* h. e. praedicatum et subiectum. Adde quod praecipit Cat. 5 ad omnem syllogisticam gravissimum: *ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται πάντα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται*, cf. Anal. pr. I, 27. 28, Top. IV, 1. Propositionibus igitur in terminos h. e. in subiectum et praedicatum solutis quicquid de praedicato dicitur etiam de subiecto dicitur: unde iam quomodo conclusio fiat apparet. Exemplo sint haec: Omnes homines sunt mortales, Cajus est homo, ergo Caius mortalis est. — **c)** Ubi tres duarum enuntiationum termini ita habent, ut tertius medio, medius primo tanquam generi subiiciatur, primus et tertius novam enuntiationis rationem inibunt, ut primus de tertio necessario enuntietur. Ἐν ὅλῳ εἶναι τῷ μέσῳ significat alterum terminum tanquam partem alteri tanquam generi esse subiectum. Medius terminus vocatur cum quod hac quidem in figura medium occupat locum, tum quod omnibus in figuris in hac notione quasi in media reliquae notiones conveniunt, cf. Anal. pr. I, 32. *μέσον δὲ θετέον τῶν ὅρων τὸν ἐν ἀμφοτέραις ταῖς προτάσεσι λεγόμενον*: unde omnino multis in locis Aristoteli *τὸ μέσον* dicitur ea notio generalis, unde velut ex termino

medio concludatur aliquid, cf. Anal. post. II, 2. *συμβαίνει ἄρα ἐν ἁπάσαις ταῖς ζητήσεσι ζητεῖν ἢ εἰ ἔστι μέσον ἢ τί ἐστι τὸ μέσον. τὸ μὲν γὰρ αἴτιον τὸ μέσον, ἐν ἅπασι δὲ τοῦτο ζητεῖται. Ἄκρα* sunt termini extremi: quorum alter summum locum obtinet, ut reliquas notiones tanquam subiectas complectatur (*ἐν ᾧ ἄλλο ἐστίν*), alter infimum, ut reliquis sit subiectus (*ἐν ἄλλῳ ὄν*). Hinc terminorum extremorum ille, qui latior est, dicitur terminus *maior*, hic, qui angustior est, terminus *minor*. — **d)** Secundae figurae exemplum esto hoc: Quicquid vivit movetur, nullus lapis movetur, ergo nullus lapis vivit. Medius terminus reliquis generalior est et primo propterea loco ponitur. Ceterum cf. quae leguntur c. 5 extr. *δῆλον δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσὶν οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί (πάντες γὰρ ἐπιτελοῦνται προσλαμβανομένων τινῶν, ἃ ἢ ἐνυπάρχει τοῖς ὅροις ἐξ ἀνάγκης ἢ τίθενται ὡς ὑποθέσεις, οἷον ὅταν διὰ τοῦ ἀδυνάτου δεικνύωμεν), καὶ ὅτι οὐ γίγνεται καταφατικὸς συλλογισμὸς διὰ τούτου τοῦ σχήματος, ἀλλὰ πάντες στερητικοί, καὶ οἱ καθόλου καὶ οἱ κατὰ μέρος.* — **e)** In tertia igitur figura terminus medius et propositionis et assumtionis subiectum est (*τῷ αὐτῷ ὑπάρχει, μέσον καθ' οὗ ἄμφω τὰ κατηγορούμενα*). Iam cum subiectum praedicato angustius esse soleat neque unquam latius, sequitur ut in hac figura terminus medius et propositionis et assumtionis praedicato angustior sit et in trium ex quibus concluditur notionum ordine ultimum locum teneat (*ἔξω μὲν τῶν ἄκρων, ἔσχατον δὲ τῇ θέσει*). Exemplum hoc esto: Omne quadratum rectos angulos habet, omne quadratum parallelogrammum est, ergo sunt parallelogramma quae rectos angulos habent. Adde quae leguntur c. 6 extr. *φανερὸν δὲ καὶ ὅτι πάντες ἀτελεῖς εἰσὶν οἱ ἐν τούτῳ τῷ σχήματι συλλογισμοί (πάντες γὰρ τελειοῦνται προσλαμβανομένων τινῶν) καὶ ὅτι συλλογίσασθαι τὸ καθόλου διὰ τούτου τοῦ σχήματος οὐκ ἔσται, οὔτε στερητικὸν οὔτε καταφατικόν.*

310 Top. I, 12. *Ἐπαγωγὴ δὲ ἡ ἀπὸ τῶν καθ' ἕκαστον ἐπὶ τὰ καθόλου ἔφοδος, οἷον εἰ ἔστι κυβερνήτης ὁ ἐπιστάμενος περὶ ἕκαστον ἄριστος καὶ ἡνίσχος καὶ ὅλως ἐστὶν ὁ ἐπιστάμενος περὶ ἕκαστον ἄζωστος. ἔστι δ' ἡ μὲν ἐπαγωγὴ πιθανώτερον καὶ σαφέστερον καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερον καὶ τοῖς πολλοῖς κοινόν, ὁ δὲ συλλογισμὸς βιαστικώτερον καὶ πρὸς τοὺς ἀντιλογικοὺς ἐναργέστερον*[a]. Anal. pr. I, 31. *Ὅτι δ' ἡ διὰ τῶν γενῶν διαίρεσις μικρόν τι μόριόν ἐστι τῆς εἰρημένης μεθόδου, ῥᾴδιον ἰδεῖν. ἔστι γὰρ ἡ διαίρεσις οἷον ἀσθενὴς συλλογισμός· ὃ μὲν γὰρ δεῖξαι, αἰτεῖται, συλλογίζεται δ' ἀεί τι τῶν ἄνωθεν. πρῶτον δ' αὐτὸ τοῦτο ἐλελήθει τοὺς χρωμένους αὐτῇ πάντας, καὶ πείθειν ἐπεχείρουν ὡς ὄντος δυνατοῦ περὶ οὐσίας ἀπόδειξιν γίγνεσθαι καὶ τοῦ τί ἐστιν. ὥστ' οὔτε ὅ τι ἐνδέχεται συλλογίσασθαι διαιρούμενοι ξυνίεσαν, οὔτε ὅτι οὕτως ἐνδέχετο ὥσπερ εἰρήκαμεν*[b].

a) Inductione Socrates potissimum utebatur, v. n. 194. 195. Ad concludendi rationem inductio revocatur Anal. p. II, 23. *Ἐπαγωγὴ μὲν οὖν ἐστὶ καὶ ᾧ ἐξ ἐπαγωγῆς συλλογισμὸς τὸ διὰ τοῦ ἑτέρου θάτερον ἄκρον τῷ μέσῳ συλλογίσασθαι, οἷον εἰ τῶν ΑΓ μέσον τὸ Β, διὰ τοῦ Γ δεῖξαι τὸ Α τῷ Β ὑπάρχειν· οὕτω γὰρ ποιούμεθα τὰς ἐπαγωγάς. — δεῖ δὲ νοεῖν τὸ Γ τὸ ἐξ ἁπάντων τῶν καθ' ἕκαστον συγκείμενον· ἡ γὰρ ἐπαγωγὴ διὰ πάντων.* Cf. quae sequuntur ibidem: *Τρόπον τινὰ ἀντίκειται ἡ ἐπαγωγὴ τῷ συλλογισμῷ· ὁ μὲν γὰρ διὰ τοῦ μέσου τὸ ἄκρον τῷ τρίτῳ δείκνυσιν, ἡ δὲ διὰ τοῦ τρίτου τὸ ἄκρον τῷ μέσῳ. φύσει μὲν οὖν πρότερος καὶ γνωριμώτερος ὁ διὰ τοῦ μέσου συλλογισμός, ἡμῖν δ' ἐναργέστερος ὁ διὰ τῆς ἐπαγωγῆς.* {De origine termini *ἐπαγωγῆς* cf. *Studien zur Gesch. d. Begr.* p 423 sqq., de syllogismo inductivo ibid. p. 418, de analogia ibid. p. 415.} — **b)** Haec ad Platonem respiciunt, qui divisioni fere tantum tribuebat qantum Aristoteles syllogismo, cf. n. 255. Platonem respicit etiam in hisce, Eth. N. I, 2. *μὴ λανθανέτω δ' ἡμᾶς ὅτι διαφέρουσιν οἱ ἀπὸ τῶν ἀρχῶν λόγοι καὶ οἱ ἐπὶ τὰς ἀρχάς. εὖ γὰρ καὶ Πλάτων ἠπόρει τοῦτο καὶ ἐζήτει πότερον ἀπὸ τῶν ἀρχῶν ἢ ἐπὶ τὰς ἀρχάς ἐστιν ἡ ὁδός, ὥσπερ ἐν τῷ σταδίῳ ἀπὸ τῶν ἀθλοθετῶν ἐπὶ τὸ πέρας ἢ ἀνάπαλιν. ἀρκτέον μὲν οὖν ἀπὸ τῶν γνωρίμων, ταῦτα δὲ διττῶς· τὰ μὲν γὰρ ἡμῖν, τὰ δ' ἁπλῶς*: ubi illa demonstratio, quae ab iis quae nobis probantur ascendit ad summa principia, est inductio.

Analyt. post. I, 1. *Πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις* 311
διανοητικὴ[a] *ἐκ προϋπαρχούσης γίγνεται γνώσεως. φανερὸν δὲ τοῦτο θεωροῦσιν ἐπὶ πασῶν· αἵ τε γὰρ μαθηματικαὶ τῶν ἐπιστημῶν διὰ τούτου τοῦ τρόπου παραγίγνονται καὶ τῶν ἄλλων ἑκάστη τεχνῶν. ὁμοίως δὲ καὶ περὶ τοὺς λόγους οἵ τε διὰ συλλογισμῶν καὶ οἱ δι' ἐπαγωγῆς· ἀμφότεροι γὰρ διὰ προγιγνωσκομένων ποιοῦνται τὴν διδασκαλίαν, οἱ μὲν λαμβάνοντες ὡς παρὰ ξυνιέντων, οἱ δὲ δεικνύντες τὸ καθόλου διὰ τοῦ δῆλον εἶναι τὸ καθ' ἕκαστον.* Ib. 2. *Ἐπίστασθαι δὲ οἰόμεθ' ἕκαστον ἁπλῶς, — — ὅταν τήν τ' αἰτίαν οἰώμεθα γιγνώσκειν δι' ἣν τὸ πρᾶγμά ἐστιν, ὅτι ἐκείνου αἰτία ἐστί, καὶ μὴ ἐνδέχεσθαι τοῦτ' ἄλλως ἔχειν. -- — εἰ μὲν οὖν καὶ ἕτερός ἐστι τοῦ ἐπίστασθαι τρόπος, ὕστερον ἐροῦμεν*[b]*, φαμὲν δὲ καὶ δι' ἀποδείξεως εἰδέναι. ἀπόδειξιν δὲ λέγω συλλογισμὸν ἐπιστημονικόν. ἐπιστημονικὸν δὲ λέγω καθ' ὃν τῷ ἔχειν αὐτὸν ἐπιστάμεθα. εἰ τοίνυν ἐστὶ τὸ ἐπίστασθαι οἷον ἔθεμεν, ἀνάγκη καὶ τὴν ἀποδεικτικὴν ἐπιστήμην ἐξ ἀληθῶν τ' εἶναι καὶ πρώτων καὶ ἀμέσων καὶ γνωριμωτέρων καὶ προτέρων καὶ αἰτίων τοῦ συμπεράσματος· οὕτω γὰρ ἔσονται καὶ αἱ ἀρχαὶ οἰκεῖαι τοῦ δεικνυμένου*[c]*. συλλογισμὸς μὲν γὰρ ἔσται καὶ ἄνευ τούτων, ἀπόδειξις δ' οὐκ ἔσται· οὐ γὰρ ποιήσει ἐπιστήμην. ἀληθῆ*

μὲν οὖν δεῖ εἶναι, ὅτι οὐκ ἔστι τὸ μὴ ὂν ἐπίστασθαι, οἷον ὅτι ἡ διάμετρος σύμμετρος. ἐκ πρώτων δ' ἀναποδείκτων, ὅτι οὐκ ἐπιστήσεται μὴ ἔχων ἀπόδειξιν αὐτῶν· τὸ γὰρ ἐπίστασθαι ὧν ἀπόδειξίς ἐστι μὴ κατὰ συμβεβηκός, τὸ ἔχειν ἀπόδειξίν ἐστιν. αἰτιά τε καὶ γνωριμώτερα δεῖ εἶναι καὶ πρότερα, αἴτια μὲν ὅτι τότε ἐπιστάμεθα ὅταν τὴν αἰτίαν εἰδῶμεν, καὶ πρότερα, εἴπερ αἴτια, καὶ προγιγνωσκόμενα οὐ μόνον τὸν ἕτερον τρόπον τῷ ξυνιέναι, ἀλλὰ καὶ τῷ εἰδέναι ὅτι ἔστιν. πρότερα δ' ἐστὶ καὶ γνωριμώτερα διχῶς· οὐ γὰρ ταὐτὸν πρότερον τῇ φύσει καὶ πρὸς ἡμᾶς πρότερον, οὐδὲ γνωριμώτερον καὶ ἡμῖν γνωριμώτερον. λέγω δὲ πρὸς ἡμᾶς μὲν πρότερα καὶ γνωριμώτερα τὰ ἐγγύτερον τῆς αἰσθήσεως, ἁπλῶς δὲ πρότερα καὶ γνωριμώτερα τὰ πορρώτερον. ἔστι δὲ πορρωτάτω μέν τὰ καθόλου μάλιστα, ἐγγυτάτω δὲ τὰ καθ' ἕκαστα. καὶ ἀντίκειται ταῦτ' ἀλλήλοις[d].

a) *Μάθησις διανοητικὴ* videtur opponi experientiae, quippe quae rationum ignara sit, Met *A*, 1. *οἱ μὲν γὰρ ἔμπειροι τὸ ὅτι μὲν ἴσασι, διότι δ' οὐκ ἴσασι.* — **b)** Cf. Anal. post. I, 3. *Ἐνίοις μὲν οὖν διὰ τὸ δεῖν τὰ πρῶτα ἐπίστασθαι οὐ δοκεῖ ἐπιστήμη εἶναι, τοῖς δ' εἶναι μέν, πάντων μέντοι ἀποδείξεις εἶναι.* — — *ἡμεῖς δέ φαμεν οὔτε πᾶσαν ἐπιστήμην ἀποδεικτικὴν εἶναι, ἀλλὰ τὴν τῶν ἀμέσων ἀναπόδεικτον. καὶ τοῦθ' ὅτι ἀναγκαῖον, φανερόν· εἰ γὰρ ἀνάγκη μὲν ἐπίστασθαι τὰ πρότερα καὶ ἐξ ὧν ἡ ἀπόδειξις, ἵσταταί δέ ποτε τὰ ἄμεσα, ταῦτ' ἀναπόδεικτα ἀνάγκη εἶναι· ταῦτά τ' οὖν οὕτω λέγομεν, καὶ οὐ μόνον ἐπιστήμην, ἀλλὰ καὶ ἀρχὴν ἐπιστήμης εἶναί τινά φαμεν, ᾗ τοὺς ὅρους γνωρίζομεν*, cf. n. 312. *Ἄμεσα* quae dicantur significat in iis quae sequuntur I, 2: *ἀρχὴ δ' ἐστὶν ἀποδείξεως πρότασις ἄμεσος, ἄμεσος δὲ ἧς μὴ ἐστιν ἄλλη προτέρα.* Esse quaedam quae per se certa sint et necessaria, unde omnis scientia pendeat, hoc valet per omnem philosophiam Aristotelis, v. Anal. post. I, 14 sqq. *τὰ δ' ἄπειρα οὐκ ἔστι διεξελθεῖν νοοῦντα.* Postulatur ut sint extremae notiones et summae et infimae. Infimae sunt individuorum, Anal. pr. I, 27, summae eae quae sunt generales et necessariae, in quibus versatur *νοῦς* et scientia *ἡ ἀναπόδεικτος* h. e. quae proficiscitur a principiis et summis et necessariis, v. Anal. post. I, 33. *τὸ δ' ἐπιστητὸν καὶ ἐπιστήμη διαφέρει τοῦ δοξαστοῦ καὶ δόξης, ὅτι ἡ μὲν ἐπιστήμη καθόλου καὶ δι' ἀναγκαίων, τὸ δ' ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως ἔχειν. ἔστι δέ τινα ἀληθῆ μὲν καὶ ὄντα, ἐνδεχόμενα δὲ καὶ ἄλλως ἔχειν. δῆλον οὖν ὅτι περὶ μὲν ταῦτα ἐπιστήμη οὐκ ἔστιν· ἔῃ γὰρ ἂν ἀδύνατα ἄλλως ἔχειν τὰ δυνατὰ ἄλλως ἔχειν. ἀλλὰ μὴν οὐδὲ νοῦς· λέγω γὰρ νοῦν ἀρχὴν ἐπιστήμης. οὐδ' ἐπιστήμη ἀναπόδεικτος· τοῦτο δ' ἐστὶν ὑπόληψις τῆς ἀμέσου προτάσεως. ἀληθὴς δ' ἐστὶ νοῦς καὶ ἐπιστήμη καὶ δόξα καὶ τὸ διὰ τούτων λέγόμενον· ὥστε λείπεται δόξαν εἶναι περὶ τὸ ἀληθὲς μὲν ἢ ψεῦδος, ἐνδεχόμενον δὲ καὶ ἄλλως ἔχειν. τοῦτο δ' ἐστὶν ὑπόληψις τῆς ἀμέσου προτάσεως καὶ μὴ ἀναγκαίας.* — **c)** Eam regulam spectare videtur, qua

postulatur ut principium demonstrationis ei scientiae proprium sit, in qua proponatur demonstratio, Anal. post. I, 7. *οὐκ ἄρα ἔστιν ἐξ ἄλλου γένους μεταβάντα δεῖξαι· — ἐκ γὰρ τοῦ αὐτοῦ γένους ἀνάγκη τὰ ἄκρα καὶ τὰ μέσα εἶναι.* Ad sequentia cf. n. 308. — **d)** Quoniam vere scire est causas scire, causae scientiam antecedant necesse est. Ita autem antecedunt, ut aut natura aut nobis priores sint. Quae sensus feriunt et in oculos incurrunt (*τὰ πρὸς ἡμᾶς πρότερα*), ea a nobis quam proxime absunt h. e. nobis priora et notiora. Illud autem generale, quo rei ratio et natura continetur, a nobis remotissimum est, cf. Met. *Δ*, 11. *κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρότερα, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα.*

Analyt. post. II, 3. *Αἱ ἀρχαὶ τῶν ἀποδείξεων ὁρισμοὶ — ἀναπόδεικτοι. — ὁρισμὸς μὲν γὰρ τοῦ τί ἐστι καὶ οὐσίας· αἱ δ' ἀποδείξεις φαίνονται πᾶσαι ὑποτιθέμεναι καὶ λαμβάνουσαι τὸ τί ἐστιν, οἷον αἱ μαθηματικαὶ τί μονὰς καὶ τί τὸ περιττόν, καὶ αἱ ἄλλαι ὁμοίως*[a]. 312 Ib. 10. *Ὁρισμὸς δ' ἐπειδὴ λέγεται εἶναι λόγος τοῦ τί ἐστι, φανερὸν ὅτι ὁ μέν τις ἔσται λόγος τοῦ τί σημαίνει τὸ ὄνομα ἢ λόγος ἕτερος ὀνοματώδης. — ἄλλος δ' ἐστὶν ὅρος λόγος ὁ δηλῶν διὰ τί ἐστιν. ὥστε ὁ μὲν πρότερος σημαίνει μὲν δείκνυσι δ' οὔ*[b], *ὁ δ' ὕστερος φανερὸν ὅτι ἔσται οἷον ἀπόδειξις τοῦ τί ἐστι, τῇ θέσει διαφέρων τῆς ἀποδείξεως. διαφέρει γὰρ εἰπεῖν διὰ τί βροντᾷ καὶ τί ἐστι βροντή· ἐρεῖ γὰρ οὕτω μὲν διότι ἀποσβέννυται τὸ πῦρ ἐν τοῖς νέφεσι, τί δ' ἐστὶ βροντή; ψόφος ἀποσβεννυμένου πυρὸς ἐν νέφεσιν, ὥστε ὁ αὐτὸς λόγος ἄλλον τρόπον λέγεται, καὶ ὡδὶ μὲν ἀπόδειξις συνεχὴς ὡδὶ δὲ ὁρισμός*[c]. Top. I, 8. *Ὁ ὁρισμὸς ἐκ γένους καὶ διαφορῶν ἐστίν*[d].

a) *Ὁρισμὸς* dicitur a definitione notionum, quibus continetur generalis rerum substantia, cf. ib. p. 90 b, 16. *ὁ ὁρισμὸς αὐσίας τις γνωρισμός.* Definiendo igitur circumscribitur et terminatur illud generale, ad quod omnis scientia et demonstratio recurrit et quod ipsum neque demonstrari neque conclusione effici potest, cf. n. 311, Anal. post. II, 8. *ὥστε συλλογισμὸς μὲν τοῦ τί ἐστιν οὐ γίγνεται οὐδ' ἀπόδειξις, δῆλον μέντοι διὰ συλλογισμοῦ καὶ δι' ἀποδείξεως.* Ib. 9. *ὥστε δῆλον ὅτι καὶ τῶν τί ἐστι τὰ μὲν ἄμεσα καὶ ἀρχαί εἰσιν, ἃ καὶ εἶναι καὶ τί ἐστιν ὑποθέσθαι δεῖ ἢ ἄλλον τρόπον φανερὰ ποιῆσαι.* {De modo quo definitiones cognoscuntur, cf. *Stud. z. Gesch. d. Begr.* p. 409 et 417.} — **b)** Eo enim differt definitio nominis et definitio rei, quod illa significat tantummodo quid rei sit, neque semper rem vere existentem spectat, cum nomina sint etiam rerum ficticiarum, Anal. post. II, 7. *ἀνάγκη γὰρ τὸν εἰδότα τὸ τί ἐστιν ἄνθρωπος ἢ ἄλλο ὁτιοῦν εἰδέναι καὶ ὅτι ἔστιν· τὸ γὰρ μὴ ὂν οὐδεὶς οἶδεν ὅ τι ἐστίν, ἀλλὰ τί μὲν σημαίνει ὁ λόγος ἢ τὸ ὄνομα, ὅταν*

εἴπω τραγέλαφος, τί δ' ἔστι τραγέλαφος ἀδύνατον εἰδέναι, et in sequentibus: τί μὲν γὰρ σημαίνει τὸ τρίγωνον ἔλαβεν ὁ γεωμέτρης, ὅτι δ' ἔστι δείκνυσιν. — **c)** Cf. Anal. post. II, 8. Ταὐτὸν τὸ εἰδέναι τί ἐστι καὶ τὸ εἰδέναι τὸ αἴτιον τοῦ τί ἐστι. Ib. 2. τί ἐστιν ἔκλειψις; στέρησις φωτὸς ἀπὸ σελήνης ὑπὸ γῆς ἀντιφράξεως. διὰ τί ἐστιν ἔκλειψις, ἢ διὰ τί ἐκλείπει ἡ σελήνη; διὰ τὸ ἀπολείπειν τὸ φῶς ἀντιφραττούσης τῆς γῆς. τί ἐστι συμφωνία; λόγος ἀριθμῶν ἐν ὀξεῖ ἢ βαρεῖ. διὰ τί συμφωνεῖ τὸ ὀξὺ τῷ βαρεῖ; διὰ τὸ λόγον ἔχειν ἀριθμῶν τὸ ὀξὺ καὶ τὸ βαρύ. — **d)** Cf. infra n. 317.

313 Analyt. post. II, 19. Ὅτι μὲν οὖν οὐκ ἐνδέχεται ἐπίστασθαι δι' ἀποδείξεως μὴ γιγνώσκοντι τὰς πρώτας ἀρχὰς τὰς ἀμέσους, εἴρηται πρότερον. τῶν δ' ἀμέσων τὴν γνῶσιν, καὶ πότερον ἡ αὐτή ἐστιν ἢ οὐχ ἡ αὐτή, διαπορήσειεν ἄν τις. — — Πάντα δὲ τὰ ζῷα ἔχει δύναμιν σύμφυτον κριτικήν, ἣν καλοῦσιν αἴσθησιν· ἐνούσης δ' αἰσθήσεως τοῖς μὲν τῶν ζῴων ἐγγίγνεται μονὴ τοῦ αἰσθήματος, τοῖς δ' οὐκ ἐγγίγνεται. ὅσοις μὲν οὖν μὴ ἐγγίγνεται, ἢ ὅλως ἢ περὶ ἃ μὴ ἐγγίγνεται, οὐκ ἔστι τούτοις γνῶσις ἔξω τοῦ αἰσθάνεσθαι· ἐν οἷς δ', ἔνεστι μὴ*) αἰσθανομένοις ἔχειν ἔτι ἐν τῇ ψυχῇ. Πολλῶν δὲ τοιούτων γιγνομένων ἤδη διαφορά τις γίγνεται, ὥστε τοῖς μὲν γίγνεσθαι λόγον ἐκ τῆς τῶν τοιούτων μονῆς, τοῖς δὲ μή. Ἐκ μὲν οὖν αἰσθήσεως γίγνεται μνήμη. ὥσπερ λέγομεν, ἐκ δὲ μνήμης πολλάκις τοῦ αὐτοῦ γιγνομένης ἐμπειρία· αἱ γὰρ πολλαὶ μνῆμαι τῷ ἀριθμῷ ἐμπειρία μία ἐστίν[a]. ἐκ δ' ἐμπειρίας ἢ ἐκ παντὸς ἠρεμήσαντος τοῦ καθόλου ἐν τῇ ψυχῇ, τοῦ ἑνὸς παρὰ τὰ πολλά[b], ὃ ἂν ἐν ἅπασιν ἓν ἐνῇ ἐκείνοις τὸ αὐτό, τέχνης ἀρχὴ καὶ ἐπιστήμης, ἐὰν μὲν περὶ γένεσιν, τέχνης, ἐὰν δὲ περὶ τὸ ὄν, ἐπιστήμης. οὔτε δὴ ἐνυπάρχουσιν ἀφωρισμέναι αἱ ἕξεις, οὔτ' ἀπ' ἄλλων ἕξεων γίγνονται γνωστικωτέρων, ἀλλ' ἀπὸ αἰσθήσεως, οἷον ἐν μάχῃ τροπῆς γενομένης ἑνὸς στάντος ἕτερος ἔστη, εἶθ' ἕτερος, ἕως ἐπὶ ἀρχὴν ἦλθεν. ἡ δὲ ψυχὴ ὑπάρχει τοιαύτη οὖσα οἷα δύνασθαι πάσχειν τοῦτο. — Στάντος γὰρ τῶν ἀδιαφόρων ἑνός[c], πρῶτον μὲν ἐν τῇ ψυχῇ καθόλου (καὶ γὰρ αἰσθάνεται μὲν τὸ καθ' ἕκαστον, ἡ δ' αἴσθησις τοῦ καθόλου ἐστίν, οἷον ἀνθρώπου, ἀλλ' οὐ Καλλίου[d] ἀνθρώπου) πάλιν ἐν τούτοις ἵσταται, ἕως ἂν τὰ ἀμερῆ στῇ καὶ τὰ καθόλου, οἷον τοιονδὶ ζῷον, ἕως ζῷον[e]· καὶ ἐν τούτῳ ὡσαύτως. δῆλον δὴ ὅτι ἡμῖν τὰ πρῶτα ἐπαγωγῇ γνωρίζειν ἀναγκαῖον· καὶ

---

*) μὴ adi. Trendelenb. Elem. Log. Arist. p. 22. Cod. D. ap. Bekk. ἔνεστιν ἢ μή.

γὰρ καὶ αἴσθησις οὕτω τὸ καθόλου ἐμποιεῖ. Ἐπεὶ δὲ τῶν περὶ τὴν διάνοιαν ἕξεων, αἷς ἀληθεύομεν, αἱ μὲν ἀεὶ ἀληθεῖς εἰσίν, αἱ δὲ ἐπιδέχονται τὸ ψεῦδος, οἷον δόξα καὶ λογισμός, ἀληθῆ δ' ἀεὶ ἐπιστήμη καὶ νοῦς, καὶ οὐδὲν ἐπιστήμης ἀκριβέστερον ἄλλο γένος ἢ νοῦς, αἱ δ' ἀρχαὶ τῶν ἀποδείξεων γνωριμώτεραι, ἐπιστήμη δ' ἅπασα μετὰ λόγου ἐστί, τῶν ἀρχῶν ἐπιστήμη μὲν οὐκ ἂν εἴη· ἐπεὶ δ' οὐδὲν ἀληθέστερον ἐνδέχεται εἶναι ἐπιστήμης ἢ νοῦν, νοῦς ἂν εἴη τῶν ἀρχῶν, ἔκ τε τούτων σκοποῦσι καὶ ὅτι ἀποδείξεως ἀρχὴ οὐκ ἀπόδειξις, ὥστ' οὐδ' ἐπιστήμης ἐπιστήμη. εἰ οὖν μηδὲν ἄλλο παρ' ἐπιστήμην γένος ἔχομεν ἀληθές, νοῦς ἂν εἴη ἐπιστήμης ἀρχή[f].

a) Cf. Met. *Δ*, 1. *γίγνεται δὲ τέχνη, ὅταν ἐκ πολλῶν τῆς ἐμπειρίας νοημάτων μία καθόλου γένηται περὶ τῶν ὁμοίων ὑπόληψις· τὸ μὲν γὰρ ἔχειν ὑπόληψιν ὅτι Καλλίᾳ κάμνοντι τηνδὶ τὴν νόσον τοδὶ συνήνεγκε καὶ Σωκράτει καὶ καθ' ἕκαστον οὕτω πολλοῖς ἐμπειρίας ἐστί, τὸ δ' ὅτι πᾶσι τοῖς τοιοῖσδε κατ' εἶδος ἓν ἀφορισθεῖσι, κάμνουσι τηνδὶ τὴν νόσον, συνήνεγκεν, οἷον τοῖς φλεγματώδεσιν ἢ χολώδεσιν ἢ πυρρέττουσι καύσῳ, τέχνης.* — **b)** *Τὸ ἓν παρὰ τὰ πολλά* est unum illud generale, quod in multis rebus inest tanquam commune et quod cogitatione tanquam unum praeter multa separatur. Cave confundas cum ideis Platonis, quae separatim etiam existere a rebus singulis ponebantur, quod ab Aristotele prorsus alienum est, cf. n. 251, not. c; n. 255, not. b; n. 260, not. a. Enimvero apud Aristotelem inde gignitur *τὸ καθόλου*, artis illud atque scientiae, principium, h. e. generale illud quod in ipsius rei natura ita inest, ut in omnibus quae eiusdem naturae et notionis sunt rebus singulis necessario inesse debeat, Anal. post. I, 4. *καθόλου δὲ λέγω ὃ ἂν κατὰ παντός τε ὑπάρχῃ καὶ καθ' αὐτὸ καὶ ᾗ αὐτό. φανερὸν ἄρα ὅτι ὅσα καθόλου ἐξ ἀνάγκης ὑπάρχει τοῖς πράγμασιν*, cf. Prantl l. c. p. 121 sq. — **c)** Cf. Anal. post. II, 13. *ζητεῖν δὲ δεῖ ἐπιβλέποντα ἐπὶ τὰ ὅμοια καὶ ἀδιάφορα πρῶτον τί ἅπαντα ταὐτὸν ἔχουσιν* h. e. quae ita similia sunt, ut differentiam qua in novas species discedant habeant nullam. — **d)** Singuli sensus in singulis rebus occupantur, universus sensus inductione efficit *τὸ καθόλου*, cf. Anal. post. I, 18. *φανερὸν δὲ καὶ ὅτι, εἴ τις αἴσθησις ἐκλέλοιπεν, ἀνάγκη καὶ ἐπιστήμην τινὰ ἐκλελοιπέναι, ἣν ἀδύνατον λαβεῖν, εἴπερ μανθάνομεν ἢ ἐπαγωγῇ ἢ ἀποδείξει. ἔστι δ' ἡ μὲν ἀπόδειξις ἐκ τῶν καθόλου ἡ δ' ἐπαγωγὴ ἐκ τῶν κατὰ μέρος· — ἐπαχθῆναι δὲ μὴ ἔχοντας αἴσθησιν ἀδύνατον.* Cf. n. 310 et n. 328, not. a. Quid quod Eth. N. VI, 12 *τὴν αἴσθησιν* etiam ad intellectum pertinere dicit: *ἐκ τῶν καθ' ἕκαστα γὰρ τὸ καθόλου. τούτων οὖν ἔχειν δεῖ αἴσθησιν, αὕτη δ' ἐστὶ νοῦς*, cf. De An. III, 7. *τῇ δὲ διανοητικῇ ψυχῇ τὰ φαντάσματα οἷον αἰσθήματα ὑπάρχει —, διὸ οὐδέποτε νοεῖ ἄνευ φαντάσματος ἡ ψυχή.* — **e)** Sensus interprete Trendelenburgio ad Arist. An. p. 172, Elem. log. p. 153 sq.: A generali aliqua notitia ad generalius proceditur, dum ad ultima per-

veniatur (*τὰ ἀμερῆ καὶ τὰ καθόλου*). Sensu animal percipitur individuum; pluribus eiusdem formae perceptis certum animalium genus cogitatur (*τοιονδὶ ζῷον*); pluribus generibus collatis ad ultimam universi animalis notitiam acceditur. *Ἀμερὲς* est id quod partibus vacat, sive spatio contineatur sive notione; nam *μέρος* etiam notionis dicitur, Met. *Δ*, 25. *ἔτι τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον καὶ ταῦτα μόρια τοῦ ὅλου· διὸ τὸ γένος τοῦ εἴδους καὶ μέρος λέγεται, ἄλλως δὲ τὸ εἶδος τοῦ γένους μέρος*, cf. *Z*, 10. Phys. II, 3. Quo quid magis generale est, eo pauciores in se ipso notas complectitur. Hae notae quoniam notionis partes sunt, summum genus *ἀμερὲς* est, reliqua vero comparate *ἀμερῆ* dici possunt. — **f)** Scientia, quoniam tota posita est in syllogismis et demonstrationibus, primum aliquid postulat unde et syllogismus et demonstratio deducatur, cf. n. 311. Ipsa igitur cum summum veritatis principium esse nequeat, veritatis fides aut nulla est aut penes intellectum, non illum quidem e sensuum comparatione et inductione pendentem et quasi patientem, sed agentem illum et divinum, de quo dicetur infra n. 323. 324. — {De intellectu patiente ut de re obscuriore interpretes multa verba faciunt. Nemo autem adhuc fidenter de hac re affirmare ausus est. Coniecturis hominum doctorum novo methodo exagitatis et Platonis dogmatis comparandis certiora ut mihi videor docere potui in libro *Stud. z. Gesch. d. Begr.* p. 443 sqq.}

d. Prima philosohhia.

314 Met. *Γ*, 1. *Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ ὑπάρχοντα καθ' αὑτό. αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμνόμεναι περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκροτάτας αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθ' αὑτήν*). εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ ὄντα**). διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν τὰς πρώτας αἰτίας ληπτέον.*

Prima philosophia in primas inquirit causas et in summa principia, cf. n. 302. Sequitur ut versetur in cognoscendis causis non accidentis cuiusquam (*κατὰ συμβεβηκός*), sed naturae cuiusdam (*φύσεώς τινος*) h. e. substantiae per se existentis. Huius igitur substantiae (*τοῦ ὄντος*) causae perinde nobis sunt investigandae atque veteres physiologi rerum omnium (*τῶν ὄντων*) quaesiverunt elementa, h. e. tanquam ultima et summa principia.

---

*) Alex. vel *καθ' αὑτὰς* vel *καθ' αὑτό* in textu habuisse videtur. — **) Bonitz comm. p. 172 scrib. censet *ᾗ ὄν*.

Met. *Γ*. 2. *Τὸ δὲ ὂν λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς* 315
ἓν καὶ μίαν τινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως, ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι δεκτικὸν αὐτῆς. — — οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι οὐσίαι ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας, ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις ἢ οὐσίας· διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν. καθάπερ οὖν καὶ τῶν ὑγιεινῶν ἁπάντων μία ἐπιστήμη ἐστίν, ὁμοίως τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιστήμης ἐστὶ θεωρῆσαι μιᾶς, ἀλλὰ καὶ τῶν πρὸς μίαν λεγομένων φύσιν· καὶ γὰρ ταῦτα τρόπον τινὰ λέγεται καθ' ἕν. δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς θεωρῆσαι ἦ ὄντα. πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη, καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται, καὶ δ' ὃ λέγονται. εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον.

In sequentibus primam philosophiam certissima omnium principia sequi debere demonstrat; certissimum autem omnium esse illud principium, quod idem eidem rei non posse simul et inesse et non inesse ponatur, n. 308. Quod principium qui verum esse infitietur, ab eo omnem rerum veritatem ac substantiam tolli, ut nihil nisi per accidens praedicari possit, Met. *Γ*, 4. *ὅλως δ' ἀναιροῦσιν οἱ τοῦτο λέγοντες οὐσίαν καὶ τὸ τί ἦν εἶναι. πάντα γὰρ ἀνάγκη συμβεβηκέναι φάσκειν αὐτοῖς, καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζώῳ εἶναι τί ἦν εἶναι μὴ εἶναι.* Inde sequi ut omnia sint idem et alia absurda.

Cat. 5. *Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ* 316
μάλιστα λεγομένη, ἥ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν, οἷον ὁ τὶς ἄνθρωπος ἢ ὁ τὶς ἵππος. δεύτεραι δὲ οὐσίαι λέγονται, ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι, ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη, οἷον ὁ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῷον· δεύτεραι οὖν αὗται λέγονται οὐσίαι, οἷον ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον. — — Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον οὐσία τὸ εἶδος τοῦ γένους· ἐγγιον γὰρ τῆς πρώτης οὐσίας ἐστίν. ἐὰν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι, γνωριμώτερον καὶ οἰκειότερον ἀποδώσει τὸ εἶδος ἀποδιδοὺς ἢπερ τὸ γένος, οἷον τὸν τινὰ ἄνθρωπον ἀποδιδοὺς γνωριμώτερον ἂν

ἀποδοίη ἄνθρωπον ἢ ζῷον ἀποδιδούς· τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινὸς ἀνθρώπου, τὸ δὲ κοινότερον. — — Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. ἐπὶ μὲν οὖν τῶν πρώτων οὐσιῶν ἀναμφισβήτητον καὶ ἀληθές ἐστιν ὅτι τόδε τι σημαίνει· ἄτομον γὰρ καὶ ἓν ἀριθμῷ τὸ δηλούμενόν ἐστιν· ἐπὶ δὲ τῶν δευτέρων οὐσιῶν φαίνεται μὲν ὁμοίως τῷ σχήματι τῆς προσηγορίας τόδε τι σημαίνειν, ὅταν εἴπῃ ἄνθρωπον ἢ ζῷον, οὐ μὴν ἀληθές γε, ἀλλὰ μᾶλλον ποιόν τι σημαίνει· οὐ γὰρ ἕν ἐστι τ' ὑποκείμενον ὥσπερ ἡ πρώτη οὐσία, ἀλλὰ κατὰ πολλῶν ὁ ἄνθρωπος λέγεται καὶ τὸ ζῷον. — — Μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν, οἷον ἐπὶ μὲν τῶν ἄλλων οὐκ ἄν ἔχοι τις τὸ τοιοῦτο προενεγκεῖν, ὅσα μή εἰσιν οὐσίαι, ὃ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων δεκτικόν ἐστιν, οἷον τὸ χρῶμα, ὃ ἐστιν ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ, οὐκ ἔσται λευκὸν καὶ μέλαν, οὐδ' ἡ αὐτὴ πρᾶξις καὶ μία τῷ ἀριθμῷ οὐκ ἔσται φαύλη καὶ σπουδαία· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, ὅσα μή εἰσιν οὐσίαι. ἡ δέ γε οὐσία ἓν καὶ ταὐτὸν ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων ἐστίν, οἷον ὁ τὶς ἄνθρωπος, εἷς καὶ ὁ αὐτὸς ὤν, ὁτὲ μὲν λευκός ὁτὲ δὲ μέλας γίγνεται, καὶ θερμὸς καὶ ψυχρός, καὶ φαῦλος καὶ σπουδαῖος.

Natura, si *ἀρχὴ κινήσεως* esse dicitur, quodam modo idem est atque *τὸ πρῶτον κινούμενον κινοῦν*, h. e. coelum, v. n. 322, not. c; n. 323, not. d, ut sit substantia se ipsam movens. Phys. l. l. Met. Z, 17. *ἐπεὶ δ' ἔνια οὐκ οὐσία τῶν πραγμάτων, ἀλλ' ὅσαι οὐσίαι κατὰ φύσιν καὶ φύσει συνεστήκασι, φανείη ἂν καὶ αὕτη ἡ φύσις οὐσία, ἣ ἐστιν οὐ στοιχεῖον ἀλλ' ἀρχή*: quibus verbis substantiam rei non in materia atque elementis, ex quibus composita est, sed in forma, qua definiuntur elementa, et in causa procreatrice positam esse significat. Aliis locis naturam cum deo et cum artifice comparat certaque eam studia atque consilia in operibus suis sequi affirmat. De Coelo I, 4 extr. *ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν.* Aliis loquitur de generali quadam universi vita, velut Phys. VIII, 1 in. De Gen. An. III, 11. *γίγνεται δ' ἐν γῇ καὶ ἐν ὑγρῷ τὰ ζῷα καὶ τὰ φυτὰ διὰ τὸ ἐν γῇ μὲν ὕδωρ ὑπάρχειν, ἐν δ' ὕδατι πνεῦμα, ἐν δὲ τούτῳ παντὶ θερμότητα ψυχικήν, ὥστε τρόπον τινὰ πάντα ψυχῆς εἶναι πλήρη.* Propterea etiam non animatis rebus *ὁρμή*, quae eas moveat, ab Aristotele tribuitur; cui subiectum esse eum motum, qui fiat per vim atque extrinsecus. De Coelo II, 13. *εἰ γὰρ μηδεμία φύσει κίνησίς ἐστιν αὐτῶν* (sc. *τῶν σωμάτων*), *οὐδὲ βίαιος ἔσται.*

Phys. II, 8. *Ὅλως δὲ ἡ τέχνη τὰ μὲν ἐπιτελεῖ ἃ ἡ φύσις* 326
ἀδυνατεῖ ἀπεργάσασθαι, τὰ δὲ μιμεῖται. εἰ οὖν τὰ κατὰ τὴν τέχνην ἕνεκά του, δῆλον ὅτι καὶ τὰ κατὰ τὴν φύσιν· ὁμοίως γὰρ ἔχει πρὸς ἄλληλα ἐν τοῖς κατὰ τέχνην καὶ ἐν τοῖς κατὰ φύσιν τὰ ὕστερα πρὸς τὰ πρότερα[a] *μάλιστα δὲ φανερὸν ἐπὶ τῶν ζῴων τῶν ἄλλων, ἃ οὔτε τέχνῃ οὔτε ζητήσαντα οὔτε βουλευσάμενα ποιεῖ· ὅθεν διαποροῦσί τινες πότερον νῷ ἢ τινι ἄλλῳ ἐργάζονται οἵ τ' ἀράχναι καὶ οἱ μύρμηκες καὶ τὰ τοιαῦτα, κατὰ*

μικρὸν δ᾽ οὕτω προϊόντι καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γιγνόμενα πρὸς τὸ τέλος, οἷον τὰ φύλλα τῆς τοῦ καρποῦ ἕνεκα σκέπης. ὥστ᾽ εἰ φύσει τε ποιεῖ καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιὰν καὶ ὁ ἀράχνης τὸ ἀράχνιον, καὶ τὰ φυτὰ τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω ἀλλὰ κάτω ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γιγνομένοις καὶ οὖσιν. καὶ ἐπεὶ ἡ φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δ᾽ ὡς μορφή, τέλος δ᾽ αὕτη, τοῦ τέλους δ᾽ ἕνεκα τἆλλα, αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα[b]*. ἁμαρτία δὲ γίγνεται καὶ ἐν τοῖς κατὰ τέχνην· ἔγραψε γὰρ οὐκ ὀρθῶς ὁ γραμματικός, καὶ ἐπότισεν οὐκ ὀρθῶς ὁ ἰατρὸς τὸ φάρμακον· ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ ἐν τοῖς κατὰ φύσιν. εἰ δή ἔστιν ἕνια κατὰ τέχνην ἐν οἷς τὸ ὀρθῶς ἕνεκά του, ἐν δὲ τοῖς ἁμαρτανομένοις ἕνεκα μέν τινος ἐπιχειρεῖται ἀλλ᾽ ἀποτυγχάνεται, ὁμοίως ἂν ἔχοι καὶ ἐν τοῖς φυσικοῖς, καὶ τὰ τέρατα ἁμαρτήματα ἐκείνου τοῦ ἕνεκά του*[c]*. — — — ἐν δὲ τοῖς φυσικοῖς ἀεὶ οὕτως, ἂν μή τι ἐμποδίσῃ. ἄτοπον δὲ τὸ μὴ ο�ίεσθαι ἕνεκά του γίγνεσθαι, ἐὰν μὴ ἴδωσι τὸ κινοῦν βουλευσάμενον. καίτοι καὶ ἡ τέχνη οὐ βουλεύεται.*

a) Met. Θ, 8. *τὰ τῇ γενέσει ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα, οἷον ἀνὴρ παιδὸς καὶ ἄνθρωπος σπέρματος. — — ὅτι ἅπαν ἐπ᾽ ἀρχὴν βαδίζει τὸ γιγνόμενον καὶ τέλος· ἀρχὴ γὰρ τὸ οὗ ἕνεκα, τοῦ τέλους δ᾽ ἕνεκα ἡ γένεσις.* Cf. de Part. An. II, 1. — **b)** Cf. n. 319, not. — **c)** Probl. X, 45. *ἡ γὰρ φύσις οὐχ ἡ πρώτη ἀλλ᾽ ἡ ἐν τέλει ἐργώδης τυχεῖν εὐθύς. — — ὥσπερ οὖν καὶ ἐπὶ τῶν τῆς τέχνης ἔργων, οὕτως ἔχει καὶ ἐπὶ τῶν τῆς φύσεως ἔργων. καὶ γὰρ ἐπὶ τούτων πάντ᾽ ἐστί φαύλως εἰργασμένα, καὶ πλείω τὰ φαῦλα, κλίνη καὶ ἱμάτιον καὶ ἄλλ᾽ ὁτιοῦν, καὶ ὃ μέν ἐστι καλόν, λαβεῖν ἔστιν ἅπαν καὶ φαῦλον, ὃ δὲ φαῦλον, οὐ πᾶν καὶ καλόν, οἷον εἴ τις ἐπὶ τῶν ἀρχαίων γραφέων καὶ ἀνδριαντοποιῶν σκοπεῖ τὰ ἔργα· οὐ γὰρ ἦν πώποτε οὐδαμῇ γραφὴ σπουδαία οὐδὲ ἀνδριάς, φαῦλα δὲ ἦν. ὁμοίως δὲ καὶ ἡ φύσις φαῦλα μὲν πάντα ποιεῖ, καὶ πλείους καὶ πλείω, σπουδαῖα δ᾽ ἐλάττω, καὶ οὐ πάντα δύναται.* Causa, cur ita sibi ipsi quasi deest natura, in materia quaerenda est, quippe opposita *τῷ τέλει*. De Gen. An. IV, 4. *ἔστι γὰρ τὸ τέρας τῶν παρὰ φύσιν τι, παρὰ φύσιν δ᾽ οὐ πᾶσαν ἀλλὰ τὴν ὡς ἐπὶ τὸ πολύ· περὶ γὰρ τὴν ἀεὶ καὶ τὴν ἐξ ἀνάγκης οὐθὲν γίγνεται παρὰ φύσιν, ἀλλ᾽ ἐν τοῖς ὡς ἐπὶ τὸ πολὺ μὲν οὕτω γιγνομένοις, ἐνδεχομένοις δὲ καὶ ἄλλως, ἐπεὶ καὶ τούτων ἐν ὅσοις συμβαίνει παρὰ τὴν τάξιν μὲν ταύτην, ἀεὶ μέντοι μὴ τυχόντως, ἧττον εἶναι δοκεῖ τέρας διὰ τὸ καὶ τὸ παρὰ φύσιν εἶναι τρόπον τινὰ κατὰ φύσιν, ὅταν μὴ κρατήσῃ τὴν κατὰ τὴν ὕλην ἡ κατὰ τὸ εἶδος φύσις.* Ceterum notandum Aristoteli femininum genus quasi mutilationem masculini esse, de Gen. An. II, 3. *τὸ γὰρ θῆλυ ὥσπερ ἄρρεν ἐστὶ πεπηρωμένον* (cf. n. 266, not. f), et cetera animalia, si cum

homine ea comparaveris, tanquam pumiliones esse videri; de Part. Animal. IV, 10. *πάντα γάρ ἐστι τὰ ζῷα νεννώδη τἆλλα παρὰ τὸν ἄνθρωπον.* Hinc illa sententia, quae reperitur in Problematis l. l., naturam in plurimis inopem ac debiliorem.

Phys. IV, 1. *Ὅτι μὲν οὖν ἔστιν ὁ τόπος, δοκεῖ δῆλον* 327 *εἶναι ἐκ τῆς ἀντιμεταστάσεως· ὅπου γάρ ἐστι νῦν ὕδωρ, ἐνταῦθα ἐξελθόντος ὥσπερ ἐξ ἀγγείου πάλιν ἀὴρ ἔνεστιν· ὅτε δὲ τὸν αὐτὸν τόπον τοῦτον ἄλλο τι τῶν σωμάτων κατέχει, τοῦτο δὴ τῶν ἐγγιγνομένων καὶ μεταβαλλόντων ἕτερον πάντων εἶναι δοκεῖ· ἐν ᾧ γὰρ ἀήρ ἐστι νῦν, ὕδωρ ἐν τούτῳ πρότερον ἦν, ὥστε δῆλον ὡς ἦν ὁ τόπος τι καὶ ἡ χώρα ἕτερον ἀμφοῖν, εἰς ἣν καὶ ἐξ ἧς μετέβαλον.* Ib. 4. *Ἔστι δ' ὥσπερ τὸ ἀγγεῖον τόπος μεταφορητός, οὕτω καὶ ὁ τόπος ἀγγεῖον ἀμετακίνητον. διὸ ὅταν μὲν ἐν κινουμένῳ τι κινῆται καὶ μεταβάλλῃ τὸ ἐντός, οἷον ἐν ποταμῷ πλοῖον, ὡς ἀγγείῳ χρῆται μᾶλλον ἢ τόπῳ τῷ περιέχοντι. βούλεται δ' ἀκίνητος εἶναι ὁ τόπος· διὸ ὁ πᾶς μᾶλλον ποταμὸς τόπος, ὅτι ἀκίνητος ὁ πᾶς. ὥστε τὸ τοῦ περιέχοντος πέρας ἀκίνητον πρῶτον, τοῦτ' ἔστιν ὁ τόπος.* Ib. 5. *Ὧι μὲν οὖν σώματι ἔστι τι ἐκτὸς σῶμα περιέχον αὐτό, τοῦτό ἐστιν ἐν τόπῳ, ᾧ δὲ μή, οὔ. — — παρὰ δὲ τὸ πᾶν καὶ ὅλον οὐδέν ἐστιν ἐξω τοῦ παντός, καὶ διὰ τοῦτο ἐν τῷ οὐρανῷ πάντα· ὁ γὰρ οὐρανὸς τὸ πᾶν ἴσως. ἔστι δ' ὁ τόπος οὐχ ὁ οὐρανός, ἀλλὰ τοῦ οὐρανοῦ τι τὸ ἔσχατον καὶ ἅπτόμενον τοῦ κινητοῦ σώματος πέρας ἠρεμοῦν· καὶ διὰ τοῖτο ἡ μὲν γῆ ἐν τῷ ὕδατι, τοῦτο δ' ἐν τῷ ἀέρι, οὗτος δ' ἐν τῷ αἰθέρι, ὁ δ' αἰθὴρ ἐν τῷ οὐρανῷ, ὁ δ' οὐρανὸς οὐκέτι ἐν ἄλλῳ*[a]*. — — καὶ ἔστιν ὁ τόπος καὶ ποῦ, οὐχ ὡς ἐν τόπῳ δέ, ἀλλ' ὡς τὸ πέρας ἐν τῷ πεπερασμένῳ. οὐ γὰρ πᾶν τὸ ὂν ἐν τόπῳ, ἀλλὰ τὸ κινητὸν σῶμα*[b].

a) Hoc referendum ad naturalem elementorum quo per mundum sive coelum dispertita sunt ordinem: de quo v. infra n. 332, not. b. — **b)** Respicit argumentum Zenonis, v. supra n. 106.

Hanc spatii notionem persequens contra eos disputat, qui ponebant vacuum esse, id neque in mundo neque extra mundum esse posse contendens. Phys. IV, 6—9.

Phys. IV, 10. *Ἐπεὶ δὲ δοκεῖ μάλιστα κίνησις εἶναι καὶ* 328 *μεταβολή τις ὁ χρόνος, τοῦτ' ἂν εἴη σκεπτέον. ἡ μὲν οὖν ἑκάστου μεταβολὴ καὶ κίνησις ἐν αὐτῷ τῷ μεταβάλλοντι μόνον ἐστίν, ἢ οὗ ἂν τύχῃ ὂν αὐτὸ τὸ κινούμενον καὶ μεταβάλλον· ὁ δὲ χρόνος ὁμοίως καὶ πανταχοῦ καὶ παρὰ πᾶσιν· ἔτι δὲ μεταβολὴ*

μέν ἐστι πᾶσα θάττων καὶ βραδυτέρα, χρόνος δ' οὐκ ἔστιν — ὅτι μὲν τοίνυν οὐκ ἔστι (sc. ὁ χρόνος) κίνησις, φανερόν· μηδὲν δὲ διαφερέτω λέγειν ἡμῖν ἐν τῷ παρόντι κίνησιν ἢ μεταβολήν. Ib. 11. Ληπτέον δέ, ἐπεὶ ζητοῦμεν τί ἐστιν ὁ χρόνος, ἐντεῦθεν ἀρχομένοις, τί τῆς κινήσεώς ἐστιν. ἅμα γὰρ κινήσεως αἰσθανόμεθα[a] καὶ χρόνου· καὶ γὰρ ἐὰν ᾖ σκότος καὶ μηδέν διὰ τοῦ σώματος πάσχωμεν, κίνησις δέ τις ἐν τῇ ψυχῇ ἐνῇ, εὐθὺς ἅμα δοκεῖ τις γεγονέναι καὶ χρόνος. ἀλλὰ μὴν καὶ ὅταν γε χρόνος δοκῇ γεγονέναι τις, ἅμα καὶ κίνησίς τις φαίνεται γεγονέναι. ὥστε ἤτοι κίνησις ἢ τῆς κινήσεώς τι ἐστὶν ὁ χρόνος. ἐπεὶ οὖν οὐ κίνησις, ἀνάγκη τῆς κινήσεώς τι εἶναι αὐτόν. — — Ἀλλὰ μὴν καὶ τὸν χρόνον γε γνωρίζομεν, ὅταν ὁρίσωμεν τὴν κίνησιν, τὸ πρότερον καὶ ὕστερον ὁρίζοντες· καὶ τότε φαμὲν γεγονέναι χρόνον, ὅταν τοῦ προτέρου καὶ ὑστέρου ἐν τῇ κινήσει αἴσθησιν λάβωμεν. ὁρίζομεν δὲ τῷ ἄλλο καὶ ἄλλο ὑπολαβεῖν αὐτά, καὶ μεταξύ τι αὐτῶν ἕτερον· ὅταν γὰρ ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύο εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν πρότερον τὸ δ' ὕστερον, τότε καὶ τοῦτό φαμεν εἶναι χρόνον. τὸ γὰρ ὁριζόμενον τῷ νῦν χρόνος εἶναι δοκεῖ· καὶ ὑποκείσθω. ὅταν μέν οὖν ὡς ἓν τὸ νῦν αἰσθανώμεθα, καὶ μὴ ἤτοι ὡς πρότερον καὶ ὕστερον ἐν τῇ κινήσει ἢ ὡς τὸ αὐτὸ μὲν προτέρου δὲ καὶ ὑστέρου τινός, οὐ δοκεῖ χρόνος γεγονέναι οὐθείς, ὅτι οὐδὲ κίνησις. ὅταν δὲ τὸ πρότερον καὶ ὕστερον, τότε λέγομεν χρόνον· τοῦτο γάρ ἐστιν ὁ χρόνος, ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερον καὶ ὕστερον. οὐκ ἄρα κίνησις ὁ χρόνος ἀλλ' ᾗ ἀριθμὸν ἔχει ἡ κίνησις. σημεῖον δέ· τὸ μὲν γὰρ πλεῖον καὶ ἔλαττον κίνομεν ἀριθμῷ, κίνησιν δὲ πλείω καὶ ἐλάττω χρόνῳ· ἀριθμὸς ἄρα τις ὁ χρόνος· ἐπεὶ δ' ἀριθμός ἐστι διχῶς (καὶ γὰρ τὸ ἀριθμούμενον καὶ τὸ ἀριθμητὸν ἀριθμὸν λέγομεν, καὶ ᾧ ἀριθμοῦμεν), ὁ δὲ χρόνος ἐστὶ τὸ ἀριθμούμενον καὶ οὐχ ᾧ ἀριθμοῦμεν. Ib. IV, 14. Πότερον δὲ μὴ οὔσης ψυχῆς εἴη ἂν ὁ χρόνος ἢ οὔ, ἀπορήσειεν ἄν τις· ἀδυνάτου γὰρ ὄντος εἶναι τοῦ ἀριθμήσοντος ἀδύνατον καὶ ἀριθμητόν τι εἶναι. ὥστε δῆλον ὅτι οὐδ' ἀριθμός· ἀριθμὸς γὰρ ἢ τὸ ἠριθμημένον ἢ τὸ ἀριθμητόν. εἰ δὲ μηδὲν ἄλλο πέφυκεν ἀριθμεῖν ἢ ψυχὴ καὶ ψυχῆς νοῦς, ἀδύνατον εἶναι χρόνον ψυχῆς μὴ οὔσης, ἀλλ' ἢ τοῦτο ὅ ποτε ὄν ἐστιν ὁ χρόνος, οἷον εἰ ἐνδέχεται κίνησιν εἶναι ἄνευ ψυχῆς.

a) Ergo tempus sensu communi a nobis apprehenditur, cf. De An. II, 6, 3. Λέγεται δὲ τὸ αἰσθητὸν τριχῶς, ὧν δύο μὲν καθ' αὑτά φαμεν

αἰσθάνεσθαι, τὸ δὲ ἓν κατὰ συμβεβηκός. τῶν δὲ δύο τό μὲν ἴδιόν ἐστιν ἑκάστης αἰσθήσεως, τὸ δὲ κοινὸν πασῶν. λέγω δ' ἴδιον μὲν ὃ μὴ ἐνδέχεται ἑτέρᾳ αἰσθήσει αἰσθάνεσθαι καὶ περὶ ὃ μὴ ἐνδέχεται ἀπατηθῆναι, οἷον ὄψις χρώματος καὶ ἀκοὴ ψόφου καὶ γεῦσις χυμοῦ — —, κοινὰ δὲ κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα, μέγεθος· τὰ γαρ τοιαῦτα οὐδεμιᾶς ἐστὶν ἴδια, ἀλλὰ κοινὰ πάσαις· καὶ γὰρ ἁφῇ κίνησίς τίς ἐστιν αἰσθητὴ καὶ ὄψει. Ib. III, 1, 5. οὐδὲ τῶν κοινῶν οἷόν τ' εἶναι εἰσθητήριόν τι ἴδιον, ᾧ ἑκάστῃ αἰσθήσει αἰσθανόμεθα κατὰ συμβεβηκός, οἷον κινήσεως, στάσεως, σχήματος. μεγέθους, ἀριθμοῦ ἑνός· ταῦτα γὰρ πάντα κινήσει αἰσθανόμεθα. Eodem revocandum quod Phys. IV, 14 intellectui facultas numerandi tribuitur, cf. n. 313, not. d.

Phys. V, 1. Ἐπεὶ δὲ πᾶσα μεταβολή ἐστιν ἔκ τινος εἴς 329
τι (δηλοῖ δὲ καὶ τοὔνομα· μετ' ἄλλο γάρ τι καὶ τὸ μὲν πρότερον δηλοῖ, τὸ δ' ὕστερον), μεταβάλλοι ἂν τὸ μεταβάλλον τετραχῶς· ἢ γὰρ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον· λέγω δὲ ὑποκείμενον τὸ καταφάσει δηλούμενον. ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων τρεῖς εἶναι μεταβολάς, τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον. ἡ γὰρ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολὴ διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν. ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ' ἀντίφασιν γένεσίς ἐστιν — —, ἡ δ' ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον φθορά· — — ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι, εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι. — — — οὐδὲ δὴ ἡ φθορὰ κίνησις· ἐναντίον μὲν γὰρ κινήσει ἡ κίνησις ἢ ἠρεμία, ἡ δὲ φθορὰ γενέσει ἐναντίον. ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δὲ αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' εἰσὶν αἱ κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν κίνησιν εἶναι μόνην[a]. — — Εἰ οὖν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ καὶ ποιότητι καὶ τῷ ποῦ καὶ τῷ ποτὲ καὶ τῷ πρός τι καὶ τῷ ποσῷ καὶ τῷ ποιεῖν ἢ πάσχειν[b], ἀνάγκη τρεῖς εἶναι κινήσεις, τήν τε τοῦ ποιοῦ καὶ τὴν τοῦ ποσοῦ καὶ τὴν κατὰ τόπον. Ib. 2. Κατ' οὐσίαν δ' οὐκ ἔστι κίνησις διὰ τὸ μηδὲν εἶναι οὐσίᾳ τῶν ὄντων ἐναντίον[c]. οὐδὲ δὴ τῷ πρός τι· ἐνδέχεται γὰρ θατέρου μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηδὲν μεταβάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ δὴ ποιοῦντος καὶ πά-

σχοντος, οὐδὲ παντὸς κινουμένου καὶ κινοῦντος, ὅτι οὐκ ἐστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ' ὅλως μεταβολὴ μεταβολῆς. — — — ἐπεὶ δέ οὔτε οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ τοῦ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ ποῦ κίνησιν εἶναι μόνον· ἐν ἑκάστῳ γάρ ἐστι τούτων ἐναντίωσις. ἡ μὲν οὖν κατὰ τὸ ποιὸν κίνησις ἀλλοίωσις ἐστω· τοῦτο γὰρ ἐπέζευκται κοινὸν ὄνομα. — — ἡ δὲ κατὰ τὸ ποσόν, τὸ μὲν κοινὸν ἀνώνυμον, καθ' ἑκάτερον δ' αὔξησις καὶ φθίσις, ἡ μὲν εἰς τὸ τέλειον μέγεθος αὔξησις, ἡ δ' ἐκ τούτου φθίσις, ἡ δὲ κατὰ τόπον καὶ τὸ κοινὸν καὶ τὸ ἴδιον ἀνώνυμος, ἐστω δὲ φορὰ καλουμένη τὸ κοινόν.

a) Ea significatione haec vox plerumque obvia est apud Aristotelem, non tamen semper, cf. Met. *K*, 11, qui locus nostro simillimus est, et de An. I, 3, 3. Aliis locis ortus atque interitus inter genera motus numerantur: Cat. 14, Phys. III, 1. — **b)** Omittuntur duae categoriae, κεῖσθαι et ἔχειν, ut minus accurate loqui vedeatur, quod tamen excusationem habet. Loco illo consimili, Met. *K*, 11, etiam categoria ποτὲ omittitur, et deest eadem in argumentatione subsequenti. — **c)** Cf. Cat. 5. Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον εἶναι. τῇ γὰρ πρώτῃ οὐσίᾳ τί ἂν εἴη ἐναντίον, οἷον τῷ τινὶ ἀνθρώπῳ ἢ τῷ τινὶ ζῴῳ; οὐδὲν γάρ ἐστιν ἐναντίον. Argumentum obscurius, quod tamen illustratur loco in n. 316 laudato: μάλιστα δὲ ἴδιον τῆς οὐσίας δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν; hoc est, dum opposita in se recipit materia, ipsa nihilominus una eademque manet.

330 Phys. VIII, 7. Σκεπτέον γὰρ πότερον ἐνδέχεταί τινα κίνησιν εἶναι συνεχῆ ἢ οὔ, καὶ εἰ ἐνδέχεται, τίς αὕτη, καὶ τίς πρώτη τῶν κινήσεων· δῆλον γὰρ ὡς εἴπερ ἀναγκαῖον μὲν ἀεὶ κίνησιν εἶναι, πρώτη δ' ἥδε καὶ συνεχής, ὅτι τὸ πρῶτον κινοῦν κινεῖ ταύτην τὴν κίνησιν, ἣν ἀναγκαῖον μίαν καὶ τὴν αὐτὴν εἶναι καὶ συνεχῆ καὶ πρώτην. τριῶν δ' οὐσῶν κινήσεων, τῆς τε κατὰ μέγεθος καὶ τῆς κατὰ πάθος[a] καὶ τῆς κατὰ τόπον, ἣν καλοῦμεν φοράν, ταύτην ἀναγκαῖον εἶναι πρώτην. ἀδύνατον γὰρ αὔξησιν εἶναι ἀλλοιώσεως μὴ προϋπαρχούσης· τὸ γὰρ αὐξανόμενον ἔστι μὲν ὡς ὁμοίῳ αὐξάνεται, ἔστι δ' ὡς ἀνομοίῳ· τροφὴ γὰρ λέγεται τῷ ἐναντίῳ τὸ ἐναντίον. προσγίγνεται δὲ πᾶν γιγνόμενον ὅμοιον ὁμοίῳ. ἀνάγκη οὖν ἀλλοίωσιν εἶναι τὴν εἰς τἀναντία μεταβολήν. ἀλλὰ μὴν εἴγε ἀλλοιοῦται, δεῖ τι εἶναι τὸ ἀλλοιοῦν καὶ ποιοῦν ἐκ τοῦ δυνάμει θερμοῦ τὸ ἐνεργείᾳ θερμόν. δῆλον οὖν ὅτι τὸ κινοῦν οὐχ ὁμοίως ἔχει, ἀλλ' ὁτὲ μὲν ἐγγύτερον ὁτὲ δὲ πορρώτερον

τοῦ ἀλλοιουμένου ἐστίν. ταῦτα δ' ἄνευ φορᾶς οὐκ ἐνδέχεται ὑπάρχειν. εἰ ἄρα ἀνάγκη ἀεὶ κίνησιν εἶναι, ἀνάγκη καὶ φορὰν ἀεὶ εἶναι πρώτην τῶν κινήσεων, καὶ φορᾶς, εἰ ἔστιν ἡ μὲν πρώτη ἡ δ' ὑστέρα, τὴν πρώτην[b]. Ib. c. 9. Ὅτι δὲ τῶν φορῶν ἡ κυκλοφορία πρώτη, δῆλον. πᾶσα γὰρ φορά, ὥσπερ καὶ πρότερον εἴπομεν[c], ἢ κύκλῳ ἢ ἐπ' εὐθείας ἢ μικτή. ταύτης δ' ἀνάγκη προτέρας εἶναι ἐκείνας· ἐξ ἐκείνων γὰρ συνέστηκεν. τῆς δ' εὐθείας ἡ κύκλῳ· ἁπλῆ γὰρ καὶ τέλειος μᾶλλον. ἄπειρον μὲν γὰρ οὐκ ἔστιν εὐθεῖαν φέρεσθαι· τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν[d]. ἀλλ' οὐδ' εἰ ἦν, ἐκινεῖτ' ἂν οὐδέν· οὐ γὰρ γίγνεται τὸ ἀδύνατον. διελθεῖν δὲ τὴν ἄπειρον ἀδύνατον. ἡ δ' ἐπὶ τῆς πεπερασμένης εὐθείας ἀνακάμπτουσα μὲν συνθετὴ καὶ δύο κινήσεις, μὴ ἀνακάμπτουσα δὲ ἀτελὴς καὶ φθαρτή. πρότερον δὲ καὶ φύσει καὶ λόγῳ καὶ χρόνῳ τὸ τέλειον μὲν τοῦ ἀτελοῦς, τοῦ φθαρτοῦ δὲ τὸ ἄφθαρτον. ἔτι προτέρα ἦν ἐνδέχεται ἀΐδιον εἶναι τῆς μὴ ἐνδεχομένης· τὴν μὲν οὖν κύκλῳ ἐνδέχεται ἀΐδιον εἶναι, τῶν δ' ἄλλων οὔτε φορὰν οὔτ' ἄλλην οὐδεμίαν· στάσιν γὰρ δεῖ γίγνεσθαι, εἰ δὲ στάσις, ἔφθαρται ἡ κίνησις[e].

a) *Πάθος* hoc loco idem est atque *ποιότης*. *Ἡ κίνησις κατὰ πάθος* est *ἡ ἀλλοίωσις*. Inde Phys. V. 2, ubi quid sit *ἀλλοίωσις* explicatur: *Λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ (καὶ γὰρ ἡ διαφορὰ ποιότης), ἀλλὰ τὸ παθητικόν.* — **b)** Adduntur alia argumenta, de quibus unum tantum memoramus, quo etiam ortum et interitum motu locali posteriores esse demonstratur. Argumentatur id inde quod animalia tum demum loco moventur, ubi adulta sunt, quia id quod natura prius est provecta demum aetate assequantur. Phys. VIII, 7. *Ἀλλ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν ἐχόντων γένεσιν τὴν φορὰν ἀναγκαῖον ὑστάτην εἶναι τῶν κινήσεων· μετὰ γὰρ τὸ γενέσθαι πρῶτον ἀλλοίωσις καὶ αὔξησις, φορὰ δ' ἤδη τετελειωμένων κίνησίς ἐστιν.* — *ὅλως δὲ φαίνεται τὸ γιγνόμενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν. ὥστε τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον εἶναι.* — **c)** Phys. VIII, 8, ubi simul demonstratur motum retrogradum non esse posse continuum, quia in quo puncto ille reverteretur, in eo paullulum consisteret necesse esset. — **d)** Hoc inter axiomata Aristotelis est, infinitum non esse actu, Phys. III, 5, 6, quod redit eo quod infinitum intellectum fugere contendebat, v. n. 311, not. b. Nihilominus, cum motum infinitum esse ponat, infinitum esse quodam modo concedit, sed ita, ut revocetur ad materiam h. e. ad id quod non est nisi secundum potentiam. Phys. III, 7. *φανερὸν ὅτι ὡς ὕλη τὸ ἄπειρόν ἐστιν αἴτιον.* Nostrum autem enuntiatum, *τὸ γὰρ οὕτως ἄπειρον οὐκ ἔστιν*, de spatii tantum infinitate est, quae esse nequit propterea quod spatio continentur fines corporum, corpus autem infinitum esse non potest, Met. *K*, 10; de Coelo I, 5. — **e)** Notandum Aristotelem ex lineis curvis in se reversis solius

circuli meminisse: quo pertinet quod globum figuram perfectissimam esse arbitrabatur. De Coelo II, 4. *Σχῆμα δ' ἀνάγκη σφαιροειδὲς ἔχειν τὸν οὐρανόν· τοῦτο γὰρ οἰκειότατόν ἐν τῇ οὐσίᾳ καὶ τῇ φύσει πρῶτον. εἴπωμεν δὲ καθόλου περὶ τῶν σχημάτων, τὸ ποῖόν ἐστι πρῶτον, καὶ ἐν ἐπιπέδοις καὶ ἐν στερεοῖς. ἅπαν δὴ σχῆμα ἐπίπεδον ἢ εὐθύγραμμόν ἐστιν ἢ περιφερόγραμμον. καὶ τὸ μὲν εὐθύγραμμον ὑπὸ πλειόνων περιέχεται γραμμῶν, τὸ δὲ περιφερόγραμμον ὑπὸ μιᾶς. ἐπεί δὲ πρότερον τῇ φύσει ἐν ἑκάστῳ γένει τὸ ἓν τῶν πολλῶν καὶ τὸ ἁπλοῦν τῶν συνθέτων, πρῶτον ἂν εἴη τῶν ἐπιπέδων σχημάτων ὁ κύκλος. — — ὡσαύτως δὲ καὶ ἡ σφαῖρα τῶν στερεῶν· μόνη γὰρ περιέχεται μιᾷ ἐπιφανείᾳ, τὰ δ' εὐθύγραμμα πλείοσιν· ὡς γὰρ ἔχει ὁ κύκλος ἐν τοῖς ἐπιπέδοις, οὕτως ἡ σφαῖρα ἐν τοῖς στερεοῖς.*

331 De Coelo I, 2. *Κύκλῳ μὲν οὖν ἐστὶν ἡ περὶ τὸ μέσον* (sc. *κίνησις*), *εὐθεῖα δ' ἡ ἄνω καὶ κάτω. λέγω δ' ἄνω μὲν τὴν ἀπὸ τοῦ μέσου, κάτω δὲ τὴν ἐπὶ τὸ μέσον. ὥστ' ἀνάγκη πᾶσαν εἶναι τὴν ἁπλῆν φορὰν τὴν μὲν ἀπὸ τοῦ μέσου, τὴν δ' ἐπὶ τὸ μέσον, τὴν δὲ περὶ τὸ μέσον. — — ἐπεὶ δὲ τῶν σωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δὲ σύνθετα ἐκ τούτων (λέγω δ' ἁπλᾶ ὅσα κινήσεως ἀρχὴν ἔχει κατὰ φύσιν, οἷον πῦρ καὶ γῆν καὶ τὰ τούτων εἴδη καὶ τὰ συγγενῆ[a] τούτοις), ἀνάγκη καὶ τὰς κινήσεις εἶναι τὰς μὲν ἁπλᾶς, τὰς δὲ μικτάς πως, καὶ τῶν μὲν ἁπλῶν ἁπλᾶς, μικτὰς δὲ τῶν συνθέτων, κινεῖσθαι δὲ κατὰ τὸ ἐπικρατοῦν. εἴπερ οὖν ἐστὶν ἁπλῆ κίνησις, ἁπλῆ δ' ἡ κύκλῳ κίνησις, καὶ τοῦ τε ἁπλοῦ σώματος ἁπλῆ ἡ κίνησις καὶ ἡ ἁπλῆ κίνησις ἁπλοῦ σώματος (καὶ γὰρ ἂν συνθέτου ᾖ, κατὰ τὸ ἐπικρατοῦν ἔσται), ἀναγκαῖον εἶναί τι σῶμα ἁπλοῦν ᾧ πέφυκε φέρεσθαι τὴν κύκλῳ κίνησιν κατὰ τὴν ἑαυτοῦ φύσιν· βίᾳ μὲν γὰρ ἐνδέχεται τὴν ἄλλου καὶ ἑτέρου, κατὰ φύσιν δὲ ἀδύνατον, εἴπερ μία ἑκάστου κίνησις ἡ κατὰ φύσιν τῶν ἁπλῶν. — — ἀλλὰ μὴν καὶ πρώτην γε ἀναγκαῖον εἶναι τὴν τοιαύτην φοράν, τὸ γὰρ τέλειον πρότερον τῇ φύσει τοῦ ἀτελοῦς. ὁ δὲ κύκλος τῶν τελείων. — — ἔκ τε δὴ τούτων φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος ἄλλη παρὰ τὰς ἐνταῦθα[a] συστάσεις, θειοτέρα καὶ προτέρα τούτων ἁπάντων.* Ib. 3. *Ὁμοίως δ' εὔλογον ὑπολαβεῖν περὶ αὐτοῦ* (sc. *τοῦ κύκλῳ φερομένου σώματος*) *καὶ ὅτι ἀγένητον καὶ ἄφθαρτον καὶ ἀναυξὲς καὶ ἀναλλοίωτον, διὰ τὸ γίγνεσθαι μὲν ἅπαν τὸ γιγνόμενον ἐξ ἐναντίου τε καὶ ὑποκειμένου τινός, καὶ φθείρεσθαι ὡσαύτως ὑποκειμένου τέ τινος καὶ ὑπ' ἐναντίου καὶ εἰς ἐναντίον, καθάπερ ἐν τοῖς πρώτοις εἴρηται λόγοις[c]. τῶν δ' ἐναντίων καὶ αἱ φοραὶ*

ἐναντίαι. εἰ δὴ τούτῳ μηδὲν ἐναντίον ἐνδέχεται εἶναι διὰ τὸ καὶ τῇ φορᾷ τῇ κύκλῳ μὴ εἶναι ἄν τιν᾽ ἐναντίαν κίνησιν[d], ὀρθῶς ἔοικεν ἡ φύσις τὸ μέλλον ἔσεσθαι ἀγένητον καὶ ἄφθαρτον ἐξελέσθαι ἐκ τῶν ἐναντίων· ἐν τοῖς ἐναντίοις γὰρ ἡ γένεσις καὶ ἡ φθορά. ἀλλὰ μὴν καὶ τὸ αὐξανόμενον ἅπαν αὐξάνεται καὶ τὸ φθῖνον φθίνει ὑπὸ συγγενοῦς προσιόντος καὶ ἀναλυομένου εἰς τὴν ὕλην· τούτῳ δ᾽ οὐκ ἔστιν ἐξ οὗ γέγονεν. εἰ δ᾽ ἐστὶ καὶ ἀναύξητον καὶ ἄφθαρτον, τῆς αὐτῆς διανοίας ἐστὶν ὑπολαβεῖν καὶ ἀναλλοίωτον εἶναι. ἔστι μὲν γὰρ ἡ ἀλλοίωσις κίνησις κατὰ τὸ ποιόν, τοῦ δὲ ποιοῦ αἱ μὲν ἕξεις καὶ διαθέσεις οὐκ ἄνευ τῶν κατὰ πάθη γίγνονται μεταβολῶν, οἷον ὑγίεια καὶ νόσος. κατὰ δὲ πάθος ὅσα μεταβάλλει τῶν φυσικῶν σωμάτων, ἔχονθ᾽ ὁρῶμεν πάντα καὶ αὔξησιν καὶ φθίσιν, οἷον τά τε τῶν ζῴων σώματα καὶ τὰ μόρια αὐτῶν καὶ τὰ τῶν φυτῶν, ὁμοίως δὲ καὶ τὰ τῶν στοιχείων· ὥστ᾽ εἴπερ τὸ κύκλῳ σῶμα μήτ᾽ αὔξησιν ἔχειν ἐνδέχεται μήτε φθίσιν, εἰκὸς καὶ ἀναλλοίωτον εἶναι. — — Συμβαίνει δὲ τοῦτο καὶ διὰ τῆς αἰσθήσεως ἱκανῶς, ὡς γε πρὸς ἀνθρωπίνην εἰπεῖν πίστιν· ἐν ἅπαντι γὰρ τῷ παρεληλυθότι χρόνῳ κατὰ τὴν παραδεδομένην ἀλλήλοις μνήμην οὐθὲν φαίνεται μεταβεβληκὸς οὔτε καθ᾽ ὅλον τὸν ἔσχατον οὐρανὸν οὔτε κατὰ μόριον αὐτοῦ τῶν οἰκείων οὐθέν. ἔοικε δὲ καὶ τοὔνομα παρὰ τῶν ἀρχαίων διαδεδόσθαι μέχρι καὶ τοῦ νῦν χρόνου, τοῦτον τὸν τρόπον ὑπολαμβανόντων ὅνπερ καὶ ἡμεῖς λέγομεν· οὐ γὰρ ἅπαξ οὐδὲ δὶς ἀλλ᾽ ἀπειράκις δεῖ νομίζειν τὰς αὐτὰς ἀφικνεῖσθαι δόξας εἰς ἡμᾶς[e]. διόπερ ὡς ἑτέρου τινὸς ὄντος τοῦ πρώτου σώματος παρὰ γῆν καὶ πῦρ καὶ ἀέρα καὶ ὕδωρ, αἰθέρα προσωνόμασαν τὸν ἀνωτάτω τόπον, ἀπὸ τοῦ θεῖν ἀεὶ τὸν ἀΐδιον χρόνον θέμενοι τὴν ἐπωνυμίαν αὐτῷ[f].

a) *Τὰ συγγενῆ τούτοις* sunt reliqua elementa. Mirum vero una cum his memorari *εἴδη* elementorum ut corpora simplicia, ubi vox *ἁπλᾶ* dicitur sensu ab Aristotele alieniore. Sed *simplex* hoc loco appellatur quod naturae animatae oppositum est. — **b)** Hic in terra. — **c)** Cf. n. 330. — **d)** De Coelo I, 4 rectum motum circulari non oppositum esse demonstratur. Notandum, quod hic animadvertere negligit, coelum mutationes subire non posse, quia hoc cetera omnia moventur. — **e)** Eadem sententia legitur Met. *Λ*, 8; Meteorol. I, 3, ubi de eadam re: *τὸ γὰρ ἀεὶ σῶμα θέον ἅμα θεῖόν τι τὴν φύσιν ἐοίκασιν ὑπολαβεῖν, καὶ διώρισαν ὀνομάζειν αἰθέρα τὸ τοιοῦτον ὡς ὂν οὐθενὶ τῶν παρ᾽ ἡμῖν τὸ αὐτό. οὐ γὰρ δὴ φήσομεν ἅπαξ οὐδὲ δὶς οὐδ᾽ ὀλιγάκις τὰς αὐτὰς δόξας ἀνακυκλεῖν γιγνομένας ἐν τοῖς ἀνθρώποις, ἀλλ᾽ ἀπειράκις.* Quae sententia

revocanda est ad doctrinam de motu sempiterno. Qua cum statueretur divinum contineri coelo, sequebatur ut coelum esset animans. De Coelo II, 2. *ὁ δ' οὐρανὸς ἔμψυχος καὶ ἔχει κινήσεως ἀρχήν.* — **f)** De aethere Aristotelis, summo coeli atque siderum omnisque caloris naturam animantis elemento, quod inferiores appellabant *τὸ πέμπτον γένος τῶν στοιχείων*, cf. Cic. Acad. post. I, 7, 26. *quintum genus, e quo essent astra mentesque*, v. Krische *Forschungen* p. 306 sq.

332 De Coelo II, 3. *Θεοῦ δ' ἐνέργεια ἀθανασία· τοῦτο δ' ἐστὶ ζωὴ ἀΐδιος*[a]. *ὥστ' ἀνάγκη τῷ θείῳ κίνησιν ἀΐδιον ὑπάρχειν. ἐπεὶ δ' ὁ οὐρανὸς τοιοῦτος (σῶμα γάρ τι θεῖον), διὰ τοῦτο ἔχει τὸ ἐγκύκλιον σῶμα, ὃ φύσει κινεῖται κύκλῳ ἀεί. διὰ τί οὖν οὐχ ὅλον τὸ σῶμα τοῦ οὐρανοῦ τοιοῦτον; ὅτι ἀνάγκη μένειν τι τοῦ σώματος τοῦ φερομένου κύκλῳ τὸ ἐπὶ τοῦ μέσου, τούτου δ' οὐθὲν οἷόν τε μένειν μόριον, οὔθ' ὅλως οὔτ' ἐπὶ τοῦ μέσου. καὶ γὰρ ἂν ἡ κατὰ φύσιν κίνησις ἦν αὐτοῦ ἐπὶ τὸ μέσον· φύσει δὲ κύκλῳ κινεῖται· οὐ γὰρ ἂν ἦν ἀΐδιος ἡ κίνησις· οὐθὲν γὰρ παρὰ φύσιν ἀΐδιον. ὕστερον δὲ τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν, καὶ ἔκστασίς τίς ἐστιν ἐν τῇ γενέσει τὸ παρὰ φύσιν τοῦ κατὰ φύσιν. ἀνάγκη τοίνυν γῆν εἶναι· τοῦτο γὰρ ἠρεμεῖ ἐπὶ τοῦ μέσου. νῦν μὲν οὖν ὑποκείσθω τοῦτο, ὕστερον δὲ λεχθήσεται περὶ αὐτοῦ*[b]. *ἀλλὰ μὴν εἰ γῆν, ἀνάγκη καὶ πῦρ εἶναι· τῶν γὰρ ἐναντίων εἰ θάτερον φύσει, ἀνάγκη καὶ θάτερον εἶναι φύσει, ἐάν περ ᾖ ἐναντίον, καὶ εἶναί τινα αὐτοῦ φύσιν· ἡ γὰρ αὐτὴ ὕλη τῶν ἐναντίων, καὶ τῆς στερήσεως πρότερον ἡ κατάφασις, λέγω δ' οἷον τὸ θερμὸν τοῦ ψυχροῦ. ἡ δ' ἠρεμία καὶ τὸ βαρὺ λέγονται κατὰ στέρησιν κουφότητος καὶ κινήσεως. ἀλλὰ μὴν εἴπερ ἔστι πῦρ καὶ γῆ, ἀνάγκη καὶ τὰ μεταξὺ αὐτῶν εἶναι σώματα· ἐναντίωσιν γὰρ ἔχει ἕκαστον τῶν στοιχείων πρὸς ἕκαστον. ὑποκείσθω δὲ καὶ τοῦτο νῦν, ὕστερον δὲ πειρατέον δεῖξαι*[c]. *τούτων δ' ὑπαρχόντων φανερὸν ὅτι ἀνάγκη γένεσιν εἶναι διὰ τὸ μηδὲν οἷόν τ' αὐτῶν εἶναι ἀΐδιον· πάσχει γὰρ καὶ ποιεῖ τἀναντία ὑπ' ἀλλήλων, καὶ φθαρτικὰ ἀλλήλων ἐστί. ἔτι δ' οὐκ εὔλογον εἶναί τι κινητὸν ἀΐδιον, οὗ μὴ ἐνδέχεται εἶναι κατὰ φύσιν τὴν κίνησιν ἀΐδιον· τοῦτων δ' ἐστὶ κίνησις*[d]. *ὅτι μὲν τοίνυν ἀναγκαῖον εἶναι γένεσιν, ἐκ τούτων δῆλον. εἰ δὲ γένεσιν, ἀναγκαῖον καὶ ἄλλην εἶναι φοράν, ἢ μίαν ἢ πλείους· κατὰ γὰρ τὴν τοῦ ὅλου ὡσαύτως ἀναγκαῖον ἔχειν τὰ στοιχεῖα τῶν σωμάτων πρὸς ἄλληλα. λεχθήσεται δὲ καὶ περὶ τούτου ἐν τοῖς ἑπομένοις σαφέστερον. νῦν δὲ τοσοῦτόν ἐστι*

δῆλον, διὰ τίνα αἰτίαν πλείω τὰ ἐγκύκλιά ἐστι σώματα, ὅτι ἀνάγκη γένεσιν εἶναι, γένεσιν δ', εἴπερ καὶ πῦρ, τοῦτο δὲ καὶ τἆλλα, εἴπερ καὶ γῆν· ταύτην δ' ὅτι ἀνάγκη μένειν τι ἀεί, εἴπερ κινεῖσθαί τι ἀεί[e].

a) V. supra n. 324. {Hic terminus (immortalitas i. e. ζωὴ αἰώνιος s. ἀΐδιος) apud theologos quomodo increbuerit ostendi in libro *Gesch. d. Begr. d. Parusie* p. 127 sqq.} — **b)** V. De Coelo II, 14, ubi terram in medio mundo positam esse demonstratur, neque tamen tollitur ista difficultas, quam tangit noster locus; neque hoc assequitur locus a Simplicio laudatus (De Coelo ad h. l. f. 97 a), De Anim. Motu 1. 2. Quae difficultas in eo posita est, quod quiescenti centro mundi tribuitur corporis ambitus, idque non addita accuratiore argumentatione. Deinde praeter quietum illum in medio (ἐπὶ τοῦ μέσου) statum naturalem insuper motum corporum, quo ferantur ad medium (ἐπὶ τὸ μέσον), statuit. Hinc utrumque enuntiatum confunditur, alterum, ὅτι ἀνάγκη μένειν τι τοῦ σώματος τοῦ φερομένου κύκλῳ τὸ ἐπὶ τοῦ μέσου, alterum, τούτου δ' οὐθὲν οἷόν τε μένειν κτλ., quae sibi invicem pugnare videntur. Recte vero Nicolaus ap. Simpl. De Coelo f. 97 a. Scholl. in Arist. p. 493 a. διὰ τί οὖν οὐχ ὅλος ὁ κόσμος τοιοῦτος; ὅτι ἀνάγκη μένειν τι περὶ τὸ μέσον τοῦ κύκλῳ φερομένου, τὸ δὲ πέμπτον σῶμα οὔτε μένειν ἐδύνατο οὔτε ἐν τῷ μέσῳ εἶναι. — **c)** Quatuor in terra elementa esse duobus argumentis demonstratur. Prius positum est in contrariis, quae deprehenduntur tactu, qui sensus reliquis omnibus subest. Contraria, quae tactu deprehenduntur, sunt frigidum et calidum, aridum et udum. Haec quatuor elementis continentur diverse composita, igni, qui est calidus et aridus, aere, qui est calidus et udus, aqua, quae est frigida et uda, terra denique, quae est frigida et arida. De Gen. et Corr. II, 2, 3. Alterum argumentum positum est in contrario inter leve et grave. Illud est id quod sursum fertur, grave, quod deorsum fertur; utrumque sponte ad eum locum pertendit, qui sibi naturalis est. Leve repraesentatur igni, grave terra. Praeter ea autem necesse est medium esse, quod et sursum et deorsum feratur; id duobus reliquis elementis continetur, aere et aqua. De Coelo IV, 4. 5. Haec elementa in se invicem transmutantur, quia et agentes sunt et patientes, De Coelo III, 6. Quid sit elementum aperit ib. 4. ἔστω δὴ στοιχεῖον τῶν σωμάτων, εἰς ὃ τἆλλα σώματα διαιρεῖται, ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ· τοῦτο γὰρ ποτέρως ἔτι ἀμφισβητήσιμον· αὐτὸ δ' ἐστὶν ἀδιαίρετον εἰς ἕτερα τῷ εἴδει· τοιοῦτον γάρ τι τὸ στοιχεῖον ἅπαντες καὶ ἐν ἅπασι βούλονται λέγειν. Omnibus elementis commune est ut sint materia, quae non existit nisi potentia et oppositis qualitatibus, De Gen. et Corr. II, 1. ἡμεῖς δέ φαμεν μὲν εἶναί τινα ὕλην τῶν σωμάτων τῶν αἰσθητῶν. ἀλλὰ ταύτην οὐ χωριστὴν ἀλλ' ἀεὶ μετ' ἐναντιώσεως, ἐξ ἧς γίγνεται τὰ καλούμενα στοιχεῖα. — — ὥστε πρῶτον μὲν τὸ δυνάμει σῶμα αἰσθητὸν ἀρχή, δεύτερον δ' αἱ ἐναντιώσεις, λέγω δ' οἷον θερμότης καὶ ψυχρότης, τρίτον δ' ἤδη πῦρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα. — **d)** Verborum sequentia abruptior

est, sensus implicatior. Simpl. De Coelo f. 98 a censet supplendum esse *μὴ ἀΐδιος*, aut *τούτων δ' ἐστὶ κίνησις* positum esse pro *ταῦτα δέ ποτε καὶ οὐκ ἀεὶ κινεῖται*: arbitrium utrumque. — **e)** Plura motuum genera et plura corpora globosa in coelo esse, hoc parum accurate explicatur: neque id aliter exspectaveris. Argumento autem illo, quod proponitur, complere conatur ea quae apposita sunt n. 321. Ad *ἄλλην φοράν* ex sequentibus supplendum *ἢ τὴν τοῦ ὅλου*, ubi dicitur motus circularis summae sphaerae, quae continet stellas fixas. Dicit enim motu illo uno semperque eodem, quo agitetur primus motor motus, si inferiores quoque regiones moveri sumamus, harum quoque regionum motum aequabilem esse convenire, ut fuerit neque interitus neque ortus, quos per has regiones dominari oculis nostris cernamus. Hos igitur ut convenienter derivemus, necesse esse ut plura motuum genera et plura corpora mota in coelo esse statuantur.

Propter brevitatem singula quae huc pertineant placita omisimus, velut quae sunt de figura et de compositione coeli, de diversitate sphaerarum, de elementorum mixtura ac ratione. Sufficiat illum locum tanquam specimen attulisse, quo omnis de motu doctrina indicetur, a quibusnam principiis is motus, qui in mundo insit, repetatur et qua ratione ad unam causam revocetur. Memorandum vero peculiariter id placitum, quo statuit inferiorem sphaeram pendere a superiore, illamque quo remotior sit a primo motore eo minus perfectam esse: quod gravissimum est ad doctrinam eius de singulis terrae rebus iudicandam. Hoc nomine motus, qui reperiantur in terra, ad multo minus certam regulam constitutos esse censebat quam stellarum motus, v. De Coelo II, 12; Meteorol. I, 2; De Gen. Anim. IV, 10. Eodem pertinet quod summum coelum, quod est stellarum fixarum, appelat *πρῶτον οὐρανὸν* eiusque *πρώτην φοράν* esse dicit et planetarum *δευτέραν κίνησιν* etc.: quod cave ita accipias quasi plures mundos esse statuerit. Imo sicut unus deus est, in quo est summa omnis motus causa (n. 323), ita unus mundus est, sed ita comparatus ut in eo plura motuum genera et principia conspiciantur: quae principia ad inferiores quosdam deorum ordines revocasse videtur. In astronomia, quam philosophiae omnium disciplinarum maxime cognatam esse dicit, Eudoxi Cnidii et Callippi Cyziceni placitis ita utitur, ut ipse ad ea emendanda et supplenda nonnihil adiecerit, cf. Met. *Λ*, 8 cum comm. Bonitzii et Krische *Forschungen* p. 283 sqq.

333 De Part. An. II, 1. *Τριῶν δ' οὐσῶν τῶν συνθέσεων πρώτην μὲν ἄν τις θείη τὴν ἐκ τῶν καλουμένων ὑπό τινων στοιχείων, οἷον γῆς ἀέρος ὕδατος πυρός. — — δευτέρα δὲ σύστασις ἐκ τῶν πρώτων ἡ τῶν ὁμοιομερῶν φῦσις ἐν τοῖς ζῴοις ἐστίν, οἷον ὀστοῦ καὶ σαρκὸς καὶ τῶν ἄλλων τῶν τοιούτων. τρίτη δὲ καὶ τελευταία κατ' ἀριθμὸν ἡ τῶν ἀνομοιομερῶν, οἷον προσώπου καὶ χειρὸς καὶ τῶν τοιούτων μορίων*[a]. — — *τῷ μὲν οὖν*

χρόνῳ προτέραν τὴν ὕλην ἀναγκαῖον εἶναι καὶ τὴν γένεσιν, τῷ λόγῳ δὲ τὴν οὐσίαν καὶ τὴν ἑκάστου μορφήν. — — ὥστε τὴν μὲν τῶν στοιχείων ὕλην ἀναγκαῖον εἶναι τῶν ὁμοιομερῶν ἕνεκεν. ὕστερα γὰρ ἐκείνων ταῦτα τῇ γενέσει, τούτων δὲ τὰ ἀνομοιομερῆ· ταῦτα γὰρ ἤδη τὸ τέλος ἔχει καὶ τὸ πέρας, ἐπὶ τοῦ τρίτου λαβόντα τὴν σύστασιν ἀριθμοῦ, καθάπερ ἐπὶ πολλῶν συμβαίνει τελειοῦσθαι τὰς γενέσεις. ἐξ ἀμφοτέρων μὲν οὖν τὰ ζῷα συνέστηκε τῶν μορίων τούτων, ἀλλὰ τὰ ὁμοιομερῆ τῶν ἀνομοιομερῶν ἕνεκέν ἐστιν· ἐκείνων γὰρ ἔργα καὶ πράξεις εἰσίν, οἷον ὀφθαλμοῦ καὶ μυκτῆρος καὶ τοῦ προσώπου παντὸς καὶ δακτύλου καὶ χειρὸς καὶ παντὸς τοῦ βραχίονος. πολυμόρφων δὲ τῶν πράξεων καὶ τῶν κινήσεων ὑπαρχουσῶν τοῖς ζῴοις ὅλοις τε καὶ τοῖς μορίοις τοῖς τοιούτοις, ἀναγκαῖον ἐξ ὧν σύγκεινται, τὰς δυνάμεις ἀνομοίας ἔχειν· πρὸς μὲν γάρ τινα μαλακότης χρήσιμος, πρὸς δέ τινα σκληρότης, καὶ τὰ μὲν τάσιν ἔχειν δεῖ, τὰ δὲ κάμψιν.

a) Cf. supra n. 119 not., et Breier l. c. p. 17 sqq.

Demonstrare conatur necessariam esse quatuor elementorum in animalium corporibus coniunctionem; terram et aquam inesse, ut efficiatur durum ac molle, duo reliqua, ut efficiantur quae illis opposita sunt. Meteorol. IV, 4; De Gen. et Corr. II, 7. Insuper vero etiam quintum elementum in animalibus inesse existimat, quod cernatur in calore animante, De Gen. Anim. II, 3. *πάντων μὲν γὰρ ἐν τῷ σπέρματι ἐνυπάρχει, ὅπερ ποιεῖ γόνιμα εἶναι τὰ σπέρματα, τὸ καλούμενον θερμόν. τοῦτο δ' οὐ πῦρ οὐδὲ τοιαύτη δύναμίς ἐστιν, ἀλλὰ τὸ ἐμπεριλαμβανόμενον ἐν τῷ σπέρματι καὶ ἐν τῷ ἀφρώδει πνεῦμα καὶ ἡ ἐν τῷ πνεύματι φύσις ἀνάλογον οὖσα τῷ τῶν ἄστρων στοιχείῳ*, cf. n. 331, not. f. Ut quodque animalium genus aut maiorem aut minorem caloris animantis partem nactum est, ita aut perfectius est aut minus perfectum; De Gen. An. I, 1: II, 1. Sed aliae sunt super hanc causae, unde diversitatem animalium ad certos gradus revocandam esse demonstretur: in quibus gradibus investigandis versatur Aristotelicarum de animalibus disputationum pars plurima, per quas hanc veluti regulam sequi consuevit, naturam in creationibus suis continua serie ab rebus inanimatis ad animantia et superiora quaeque animalium genera eniti. De Part. An. IV, 5. *ἡ γὰρ φύσις μεταβαίνει συνεχῶς ἀπὸ τῶν ἀψύχων εἰς τὰ ζῷα διὰ τῶν ζώντων μὲν οὐκ ὄντων δὲ ζῴων* (per plantas plura), *οὕτως ὥστε δοκεῖν πάμπαν μικρὸν διαφέρειν θατέρου θάτερον τῷ σύνεγγυς ἀλλήλοις.*

De Part. An. II, 10. *Πᾶσι γὰρ τοῖς ζῴοις καὶ τελείοις*[a] 334
δύο τὰ ἀναγκαιότατα μόριά ἐστιν, ᾗ τε δέχονται τὴν τροφὴν καὶ ᾗ τὸ περίττωμα ἀφήσουσιν· οὔτε γὰρ εἶναι οὔτε αὐξάνεσθαι

ἐνδέχεται ἄνευ τροφῆς. — — τρίτον δὲ μέρος ἐν πᾶσίν ἐστι τὸ τούτων μέσον, ἐν ᾧ ἡ ἀρχή ἐστιν ἡ τῆς ζωῆς. Ib. III, 4. Καρδία μὲν οὖν ἅπασιν ὑπάρχει τοῖς ἐναίμοις· — — αἷμα μὲν γὰρ ἔχειν τοῖς ἐναίμοις δῆλον ὡς ἀναγκαῖον· ὑγροῦ δ' ὄντος τοῦ αἵματος ἀναγκαῖον ἀγγεῖον ὑπάρχειν, ἐφ' ὃ δὴ καὶ φαίνεται μεμηχανῆσθαι τὰς φλέβας ἡ φύσις. ἀρχὴν δὲ τούτων ἀναγκαῖον εἶναι μίαν· ὅπου γὰρ ἐνδέχεται, μίαν βέλτιον ἢ πολλάς. ἡ δὲ καρδία τῶν φλεβῶν ἀρχή· φαίνονται γὰρ ἐκ ταύτης οὖσαι καὶ οὐ διὰ ταύτης, καὶ ἡ φύσις αὐτῆς φλεβώδης ὡς ὁμογενοῖς οὔσης. ἔχει δὲ καὶ ἡ θέσις αὐτῆς ἀρχικὴν χώραν· περὶ μέσον γάρ, μᾶλλον δ' ἐν τῷ ἄνω ἢ κάτω καὶ ἔμπροσθεν ἢ ὄπισθεν· ἐν τοῖς γὰρ τιμιωτέροις τὸ τιμιώτερον καθίδρυκεν ἡ φύσις, οὗ μή τι κωλύει μεῖζον. ἐμφανέστατον δὲ τὸ λεχθέν ἐστιν ἐπὶ τῶν ἀνθρώπων, βούλεται δὲ καὶ ἐν τοῖς ἄλλοις ὁμολόγως ἐν μέσῳ κεῖσθαι τοῦ ἀναγκαίου σώματος. τούτου δὲ πέρας ᾗ τὰ περιττώματα ἀποκρίνεται· τὰ δὲ κῶλα πέφυκεν ἄλλοις ἄλλως, καὶ οὐκ ἔστι τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, διὸ καὶ ἀφαιρουμένων ζῶσιν. Ib. IV, 10. Ὁ μὲν οὖν ἄνθρωπος ἀντὶ σκελῶν καὶ ποδῶν τῶν προσθίων βραχίονας καὶ τὰς καλουμένας ἔχει χεῖρας. ὀρθὸν μὲν γάρ ἐστι μόνον τῶν ζῴων διὰ τὸ τὴν φύσιν αὐτοῦ καὶ τὴν οὐσίαν εἶναι θείαν· ἔργον δὲ τοῦ θειοτάτου τὸ νοεῖν καὶ φρονεῖν· τοῦτο δ' οὐ ῥᾴδιον πολλοῦ τοῦ ἄνωθεν ἐπικειμένου σώματος· τὸ γὰρ βάρος δυσκίνητον ποιεῖ τὴν διάνοιαν καὶ τὴν κοινὴν αἴσθησιν. διὸ πλείονος γιγνομένου τοῦ βάρους καὶ τοῦ σωματώδους ἀνάγκη ῥέπειν τὰ σώματα πρὸς τὴν γῆν, ὥστε πρὸς τὴν ἀσφάλειαν ἀντὶ βραχιόνων καὶ χειρῶν τοὺς προσθίους πόδας ὑπέθηκεν ἡ φύσις τοῖς τετράποσιν. — — Ἀναξαγόρας μὲν οὖν φησὶ διὰ τὸ χεῖρας ἔχειν φρονιμώτατον εἶναι τῶν ζῴων ἄνθρωπον· εὔλογον δὲ διὰ τὸ φρονιμώτατον εἶναι χεῖρας λαμβάνειν. αἱ μὲν γὰρ χεῖρες ὄργανόν εἰσιν, ἡ δὲ φύσις ἀεὶ διανέμει καθάπερ ἄνθρωπος φρόνιμος ἕκαστον τῷ δυναμένῳ χρῆσθαι. προσήκει γὰρ τῷ αὐλητῇ δοῦναι μᾶλλον αὐλοὺς ἢ τῷ αὐλοὺς ἔχοντι προσθεῖναι αὐλητικήν· τῷ γὰρ μείζονι καὶ κυριωτέρῳ προσέθηκε τοὔλαττον, ἀλλ' οὐ τῷ ἐλάττονι τὸ τιμιώτερον καὶ μεῖζον. — τῷ οὖν πλείστας δυναμένῳ δέξασθαι τέχνας τὸ ἐπὶ πλεῖστον τῶν ὀργάνων χρήσιμον τὴν χεῖρα ἀποδέδωκεν ἡ φύσις. ἀλλ' οἱ λέγοντες ὡς συνέστηκεν οὐ καλῶς ὁ ἄνθρωπος, ἀλλὰ χείριστα τῶν ζῴων, ἀνυπόδητόν τε γὰρ αὐτὸν γυμνὸν καὶ εἶναί φασι καὶ τὴν οὐκ ἔχοντα ὅπλον πρὸς

ἀλκήν, οὐκ ὀρθῶς λέγουσι. τὰ μὲν γὰρ ἄλλα μίαν ἔχει βοήθειαν καὶ μεταβάλλεσθαι ἀντὶ ταύτης ἑτέραν οὐκ ἔστιν, ἀλλ' ἀναγκαῖον ὥσπερ ὑποδεδεμένον ἀεὶ καθεύδειν καὶ πάντα πράττειν, καὶ τὴν περὶ τὸ σῶμα ἀλεώραν μηδέποτε καταθέσθαι μηδὲ μεταβάλλεσθαι ὃ δὴ ἐτύγχανεν ὅπλον ἔχων. τῷ δὲ ἀνθρώπῳ τάς τε βοηθείας πολλὰς ἔχειν καὶ ταύτας ἀεὶ ἔξεστι μεταβάλλειν, ἔτι δ' ὅπλον οἷον ἂν βούληται καὶ ὅπου ἂν βούληται ἔχειν· ἡ γὰρ χεὶρ καὶ ὄνυξ καὶ χηλὴ καὶ κέρας γίγνεται καὶ δόρυ καὶ ξίφος καὶ ἄλλο ὁποιονοῦν ὅπλον καὶ ὄργανον· πάντα γὰρ ἐσται ταῦτα διὰ τὸ πάντα δύνασθαι λαμβάνειν καὶ ἔχειν.

a) Perfecta animalia sunt ea, quae non sunt *πηρώματα*. De An. III, 9. 6. *τὰ δὲ τοιαῦτα τῶν ζῴων τέλεια καὶ οὐ πηρώματά ἐστιν· σημεῖον δ' ὅτι ἔστι γεννητικὰ καὶ ἀκμὴν ἔχει καὶ φθίσιν.*

Nonnulla elegimus ex iis quae copiose et praeclare ab Aristotele de naturae consiliis in constitutione ac structura animalium cernendis disputantur. Cetera animalia Aristoteli ex eorum generum analogia iudicanda videntur, quae habeant sanguinem, cf. De Part. An. II, 10. Ita accipiendum si loquitur de sanguine et eius analogo et si de corde et eius analogo, velut De Gen. An. II, 4. *ἀρχὴ γὰρ τῆς φύσεως ἡ καρδία καὶ τὸ ἀνάλογον. — — — τροφὴ δὲ ζῴου ἡ ἐσχάτη αἷμα καὶ τὸ ἀνάλογον.* Cor autem est non solum *ἡ ἀρχὴ τοῦ θρεπτικοῦ*, quod etiam plantis tribuendum est, sed etiam *τοῦ αἰσθητικοῦ*, quod animalibus proprium est: quo in loco disputat adversus eos qui cerebrum sensuum organon statuebant, quod ipse potius cordi refrigerando inservire affirmat. De Part. An. II, 7. De Gen. An. II, 6. *διὰ μὲν οὖν τὸ τὴν ἀρχὴν ἐν τῇ καρδίᾳ τῶν αἰσθήσεων εἶναι καὶ τοῦ ζῴου παντὸς αὕτη γίγνεται πρῶτον· διὰ δὲ τὴν θερμότητα τὴν ταύτης, ᾗ τελευτῶσιν αἱ φλέβες ἄνω, τὸ ψυχρὸν συνίστησιν ἀντίστροφον τῇ θερμότητι τῇ περὶ τὴν καρδίαν τὸν ἐγκέφαλον. διόπερ τὰ περὶ τὴν κεφαλὴν λαμβάνει συνεχῆ τὴν γένεσιν μετὰ τὴν καρδίαν. — — αἴτιον δὲ τοῦ μάλιστ' ἐπὶ τῶν ἀνθρώπων τοῦτο συμβαίνειν, ὅτι τὸν ἐγκέφαλον ὑγρότατον ἔχουσι καὶ πλεῖστον τῶν ζῴων. τούτου δ' αἴτιον ὅτι καὶ τὴν ἐν τῇ καρδίᾳ θερμότητα καθαρωτάτην. δηλοῖ δὲ τὴν εὐκρασίαν ἡ διάνοια· φρονιμώτατον γάρ ἐστι τῶν ζῴων ἄνθρωπος.* *Περίττωμα* quod dicit latissime patet, ut gravissimas etiam animalium corporis partes complectatur, eas videlicet quae ad corpus alendum et ad res ope sensuum percipiendas non omnino necessariae sunt, inter quas est et cerebrum. De Part. An. II, 10. De qua re haec denique adiicere iuvabit, ad omnem Aristotelis physicam gravissima: De Gen. Anim. l. l. *τῶν δ' ἄλλων γίγνεται μορίων ἕκαστον ἐκ τῆς τροφῆς, τὰ μὲν τιμιώτατα καὶ μετειληφότα τῆς κυριωτάτης ἀρχῆς ἐκ τῆς πεπεμμένης καὶ καθαρωτάτης καὶ πρώτης τροφῆς, τὰ δ' ἀναγκαῖα μόρια καὶ τούτων ἕνεκεν ἐκ τῆς χείρονος καὶ τῶν ὑπολειμμάτων καὶ περιττωμάτων. ὥσπερ γὰρ οἰκονόμος ἀγαθὸς καὶ ἡ φύσις οὐθὲν ἀποβάλλειν εἴωθεν ἐξ ὧν ἔστι ποιῆσαί*

τι χρηστόν. ἐν δὲ ταῖς οἰκονομίαις τῆς γιγνομένης τροφῆς ἡ μὲν βελτίστη τέτακται τοῖς ἐλευθέροις, ἡ δὲ χείρων καὶ τὸ περίττωμα ταύτης οἰκέταις, τὰ δὲ χείριστα καὶ τοῖς συντρεφομένοις διδόασι ζῴοις. καθάπερ οὖν εἰς τὴν αὔξησιν ὁ θύραθεν ταῦτα ποιεῖ νοῦς, οὕτως ἐν τοῖς γιγνομένοις αὐτοῖς ἡ φύσις ἐκ μὲν τῆς καθαρωτάτης ὕλης σάρκας καὶ τῶν ἄλλων αἰσθητηρίων τὰ σώματα συνίστησιν, ἐκ δὲ τῶν περιττωμάτων ὀστᾶ καὶ νεῦρα καὶ τρίχας, ἔτι δ' ὄνυχας καὶ ὁπλὰς καὶ πάντα τὰ τοιαῦτα· διὸ τελευταῖα ταῦτα λαμβάνει τὴν σύστασιν, ὅταν ἤδη γίγνηται περίττωμα τῆς φύσεως. Quae nude *κῶλα* dicuntur De Part. An. III, 4 sunt membra, quae inserviunt voluntario motui, cf. ib. IV, 6 sqq. Humanum corpus longe omnium animalium perfectissimum esse, hoc per omnes partes persequitur, eodem semper recurrens, quod homo a divina natura quam proxime abesse putandus sit, cf. De Part. An. II, 10. *τὰ δὲ πρὸς ζῆν αἴσθησιν ἔχοντα (ζῷα) πολυμορφοτέραν ἔχει τὴν ἰδέαν, καὶ τούτων ἕτερα πρὸ ἑτέρων μᾶλλον καὶ πολυχουστέραν, ὅσων μὴ μόνον τοῦ ζῆν, ἀλλὰ καὶ τοῦ εὖ ζῆν ἡ φύσις μετείληφεν, τοιοῦτο δ' ἐστὶ τὸ τῶν ἀνθρώπων γένος· ἢ γὰρ μόνον μετέχει τοῦ θείου τῶν ἡμῖν γνωρίμων ζῴων ἢ μάλιστα πάντων.*

335 De Part. An. I, 5. *Ἐπεὶ δὲ τὸ μὲν ὄργανον πᾶν ἕνεκά του, τῶν δὲ τοῦ σώματος μορίων ἕκαστον ἕνεκά του, τὸ δ' οὗ ἕνεκα πρᾶξίς τις, φανερὸν ὅτι καὶ τὸ σύνολον σῶμα συνέστηκε πράξεώς τινος ἕνεκα πλήρους. οὐ γὰρ ἡ πρίσις τοῦ πρίονος χάριν γέγονεν, ἀλλ' ὁ πρίων τῆς πρίσεως· χρῆσις γάρ τις ἡ πρίσις ἐστίν. ὥστε καὶ τὸ σῶμά πως τῆς ψυχῆς ἕνεκεν, καὶ τὰ μόρια τῶν ἔργων πρὸς ἃ πέφυκεν ἕκαστον.* De An. II, 1. *Λέγομεν δὴ γένος ἕν τι τῶν ὄντων τὴν οὐσίαν, ταύτης δὲ τὸ μὲν ὡς ὕλην, ὃ καθ' αὑτὸ μὲν οὐκ ἔστι τόδε τι, ἕτερον δὲ μορφὴν καὶ εἶδος, καθ' ἣν ἤδη λέγεται τόδε τι, καὶ τρίτον τὸ ἐκ τούτων. ἔστι δ' ἡ μέν ὕλη δύναμις, τὸ δ' εἶδος ἐντελέχεια, καὶ τοῦτο διχῶς, τὸ μὲν ὡς ἐπιστήμη, τὸ δ' ὡς τὸ θεωρεῖν*[a]*. οὐσίαι δὲ μάλιστ' εἶναι δοκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχαί. τῶν δὲ φυσικῶν τὰ μὲν ἔχει ζωήν, τὰ δ' οὐκ ἔχει· ζωὴν δὲ λέγομεν τὴν δι' αὑτοῦ τροφήν τε καὶ αὔξησιν καὶ φθίσιν. ὥστε πᾶν σῶμα φυσικὸν μετέχον ζωῆς οὐσία ἂν εἴη, οὐσία δ' οὕτως ὡς συνθέτη, ἐπεὶ δ' ἐστὶ σῶμα τοιόνδε, ζωὴν γὰρ ἔχον, οὐκ ἂν εἴη τὸ σῶμα ψυχή· οὐ γάρ ἐστι τῶν καθ' ὑποκειμένου τὸ σῶμα, μᾶλλον δ' ὡς ὑποκείμενον καὶ ὕλη. ἀναγκαῖον ἄρα τὴν ψυχὴν οὐσίαν εἶναι ὡς εἶδος σώματος φυσικοῦ δυνάμει ζωὴ ἔχοντος· ἡ δ' οὐσία ἐντελέχεια. τοιούτου ἄρα σώματος ἐντελέχεια. αὕτη δὲ λέγεται διχῶς, ἡ μὲν ὡς ἐπιστήμη*

ἡ δ' ὡς τὸ θεωρεῖν. φανερὸν οὖν ὅτι ὡς ἐπιστήμη· ἐν γὰρ τῷ ὑπάρχειν τὴν ψυχὴν καὶ ὕπνος καὶ ἐγρήγορσίς ἐστιν, ἀνάλογον δ' ἡ μὲν ἐγρήγορσις τῷ θεωρεῖν, ὁ δ' ὕπνος τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν. προτέρα δὲ τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ ἡ ἐπιστήμη. διὸ ψυχή ἐστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος[b]. τοιοῦτο δέ, ὃ ἂν ᾖ ὀργανικόν. ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη, ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ, αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. εἰ δή τι κοινὸν [ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ.

a) Cf. n. 317, not d; n. 319 not. Scientia (ἐπιστήμη) a contemplatione ita distat, ut scientia etiam in quieto animi statu (velut in somno) sibi constet, contemplatio non habeat locum nisi in animo agili et vigili, cf. Phys. VII, 4; VIII, 4. Ceterum cf. Met. Δ, 8. οὐσία λέγεται τά τε ἁπλᾶ σώματα, οἷον γῆ καὶ πῦρ καὶ ὕδωρ καὶ ὅσα τοιαῦτα, καὶ ὅλως σώματα καὶ τὰ ἐκ τούτων συνεστῶτα ζῷά τε καὶ δαιμόνια καὶ τὰ μόρια τούτων· ἅπαντα δὲ ταῦτα λέγεται οὐσία, ὅτι οὐ καθ' ὑποκειμένου λέγεται, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα. ἄλλον δὲ τρόπον ὃ ἂν ᾖ αἴτιον τοῦ εἶναι, ἐνυπάρχον ἐν τοῖς τοιούτοις ὅσα μὴ λέγεται καθ' ὑποκειμένου, οἷον ἡ ψυχὴ τῷ ζῴῳ. Corpus est tanquam substratum, cui attribuitur vita et anima, anima tanquam forma et causa corporis. — **b)** Anima igitur prima corporis entelechia dicitur propterea quod existit etiam tum, cum corpus dormit, non solum cum corpus vigilat atque operatur. Quod scientiam ad unum idemque relatam (ἐπὶ τοῦ αὐτοῦ) priorem dicit contemplatione, cogitandum de ea scientia, qua contemplantes utimur prius comparata.

In sequentibus, dum accuratius in notionem animae inquirit, eam neque corpus esse neque sine corpore dicit, ut sit corporis aliquid, videlicet forma corporis et finis, qui cernatur in eius actionibus, De An. II, 2, 13. τριχῶς γὰρ λεγομένης τῆς οὐσίας, καθάπερ εἴπομεν, ὧν τὸ μὲν εἶδος τὸ δὲ ὕλη τὸ δὲ ἐξ ἀμφοῖν, τούτων δ' ἡ μὲν ὕλη δύναμις τὸ δὲ εἶδος ἐντελέχεια· ἐπεὶ δὲ τὸ ἐξ ἀμφοῖν ἔμψυχον, οὐ τὸ σῶμά ἐστιν ἐντελέχεια ψυχῆς, ἀλλ' αὕτη σώματός τινος. καὶ διὰ τοῦτο καλῶς ὑπολαμβάνουσιν οἷς δοκεῖ μήτ' ἄνευ σώματος εἶναι μήτε σῶμά τι ἡ ψυχή· σῶμα μὲν γὰρ οὐκ ἔστι, σώματος δέ τι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει, καὶ ἐν σώματι τοιούτῳ, καὶ οὐχ ὥσπερ οἱ πρότερον εἰς σῶμα ἐνήρμοζον αὐτὴν οὐθὲν προσδιορίζοντες ἐν τίνι καὶ ποίῳ, καίπερ οὐδὲ φαινομένου τοῦ τυχόντος δέχεσθαι τὸ τυχόν. Cf. ib. 4. ubi animam tribus modis causam corporis dici posse demonstrat (cf. supra n. 319): ἔστι δὲ ἡ ψυχὴ τοῦ ζῶντος σώματος αἰτία καὶ ἀρχή. ταῦτα δὲ πολλαχῶς λέγεται. ὁμοίως δ' ἡ ψυχὴ κατὰ τοὺς διωρισμένους τρόπους τρεῖς αἰτία· καὶ γὰρ ὅθεν ἡ κίνησις αὐτή, καὶ οὗ ἕνεκα, καὶ ὡς ἡ οὐσία τῶν ἐμψύχων σωμάτων ἡ

ψυχὴ αἰτία. ὅτι μὲν οὖν ὡς οὐσία, δῆλον· τὸ γὰρ αἴτιον τοῦ εἶναι πᾶσιν ἡ οὐσία. τὸ δὲ ζῆν τοῖς ζῶσι τὸ εἶναί ἐστιν, αἰτία δὲ καὶ ἀρχὴ τούτων ἡ ψυχή. ἔτι τοῦ δυνάμει ὄντος λόγος ἡ ἐντελέχεια. φανερὸν δ' ὡς καὶ οὗ ἕνεκεν ἡ ψυχὴ αἰτία· ὥσπερ γὰρ ὁ νοῦς ἕνεκά του ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ τοῦτ' ἔστιν αὐτῇ τέλος. τοιοῦτον δ' ἐν τοῖς ζῴοις ἡ ψυχὴ καὶ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ σώματα τῆς ψυχῆς ὄργανα, καὶ καθάπερ τὰ τῶν ζῴων, οὕτω καὶ τὰ τῶν φυτῶν, ὡς ἕνεκα τῆς ψυχῆς ὄντα. διττῶς δὲ τὸ οὗ ἕνεκα, τό τε οὗ καί τὸ ᾧ (cf. n. 323, not. d) *ἀλλὰ μὴν καὶ ὅθεν πρῶτον ἡ κατὰ τόπον κίνησις, ψυχή· οὐ πᾶσι δ' ὑπάρχει τοῖς ζῶσιν ἡ δύναμις αὕτη. ἔστι δὲ καὶ ἀλλοίωσις καὶ αὔξησις κατὰ ψυχήν. ἡ μὲν γὰρ αἴσθησις ἀλλοίωσίς τις εἶναι δοκεῖ, αἰσθάνεται δ' οὐθὲν ὃ μὴ ἔχει ψυχήν. ὁμοίως δὲ καὶ περὶ αὐξήσεώς τε καὶ φθίσεως ἔχει· οὐθὲν γὰρ φθίνει οὐδ' αὔξεται φυσικῶς μὴ τρεφόμενον, τρέφεται δ' οὐθὲν ὃ μὴ κοινωνεῖ ζωῆς.*

336 De An. II, 3. *Τῶν δὲ δυνάμεων τῆς ψυχῆς αἱ λεχθεῖσαι τοῖς μὲν ὑπάρχουσι πᾶσαι, καθάπερ εἴπομεν, τοῖς δὲ τινὲς αὐτῶν, ἐνίοις δὲ μία μόνη. δυνάμεις δ' εἴπομεν θρεπτικόν, ὀρεκτικόν, αἰσθητικόν, κινητικὸν κατὰ τόπον, διανοητικόν. ὑπάρχει δὲ τοῖς μὲν φυτοῖς τὸ θρεπτικὸν μόνον, ἑτέροις δὲ τοῦτό τε καὶ τὸ αἰσθητικόν· εἰ δὲ τὸ αἰσθητικόν, καὶ τὸ ὀρεκτικόν· ὄρεξις μὲν γὰρ ἐπιθυμία καὶ θυμὸς καὶ βούλησις, τὰ δὲ ζῷα πάντ' ἔχουσι μίαν γε τῶν αἰσθήσεων, τὴν ἁφήν· ᾧ δ' αἴσθησις ὑπάρχει, τούτῳ ἡδονή τε καὶ λύπη καὶ τὸ ἡδύ τε καὶ λυπηρόν, οἷς δὲ ταῦτα, καὶ ἡ ἐπιθυμία· τοῦ γὰρ ἡδέος ὄρεξις αὕτη. — — — ἐνίοις δὲ πρὸς τούτοις ὑπάρχει καὶ τὸ κατὰ τόπον κινητικόν, ἑτέροις δὲ καὶ τὸ διανοητικόν τε καὶ νοῦς, οἷον ἀνθρώποις καὶ εἴ τι τοιοῦτον ἕτερόν ἐστιν ἢ καὶ τιμιώτερον. — — ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικὸν ἐν τοῖς φυτοῖς. πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει, ἁφὴ δ' ἄνευ τῶν ἄλλων ὑπάρχει· πολλὰ γὰρ τῶν ζῴων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν οὔτ' ὀσμῆς ὅλως αἴσθησιν. καὶ τῶν αἰσθητικῶν δὲ τὰ μὲν ἔχει τὸ κατὰ τόπον κινητικόν, τὰ δ' οὐκ ἔχει. τελευταῖον δὲ καὶ ἐλάχιστα λογισμὸν καὶ διάνοιαν· οἷς μὲν γὰρ ὑπάρχει λογισμὸς τῶν φθαρτῶν, τούτοις καὶ τὰ λοιπὰ πάντα, οἷς δ' ἐκείνων ἕκαστον, οὐ πᾶσι λογισμός, ἀλλὰ τοῖς μὲν οὐδὲ φαντασία, τὰ δὲ ταύτῃ μόνῃ ζῶσιν. περὶ δὲ τοῦ θεωρητικοῦ νοῦ ἕτερος λόγος.*

De facultatibus animae ita quaeritur ut simul diversorum generum animalium ratio habeatur, nam facultates animae pendent a corporum

animatorum structura et constitutione. Plantarum est anima vegetans, bestiarum anima sentiens, hominum anima cogitans. Ad has ceterae facultates referuntur, veluti generatio ad animam vegetantem, De Gen. An. II, 4. *ἡ γὰρ αὐτή ἐστιν ὕλη ᾗ αὐξάνεται καὶ ἐξ ἧς συνίσταται τὸ πρῶτον* (sc. *τὸ φύσει γιγνόμενον*) *ὥστε καὶ ἡ ποιοῦσα δύναμις ταὐτὸ τῷ ἐξ ἀρχῆς. μείζων δὲ αὕτη ἐστίν. εἰ οὖν αὕτη ἐστὶν ἡ θρεπτικὴ ψυχή, αὕτη ἐστὶ καὶ ἡ γεννῶσα.* Causa cur *τὸ ὀρεκτικὸν* referatur ad *αἰσθητικὸν* nostro loco aperitur; quod autem ab illo disiungit *τὸ κινητικὸν κατὰ τόπον* s. *τὸ πορευτικόν*, id experientiae concessisse videtur. Eodem pertinet alia diversitas animalium, quae nostro loco indicatur tantummodo, omnia animalia tactum habere et cum eo coniunctum gustum, De An. III, 12, 7; De Sensu 2. *τὸ δὲ γευστικὸν εἶδός τι ἁφῆς ἐστίν*, quippe qui sensus inserviant alimento iisque quae necessaria sunt: ceteros sensus ea tantum animalia habere, quae loco se moveant, in eum scilicet finem ut remota percipere iisque ad se conservanda uti possint: iis denique animalibus, quae ratione praedita sint, eosdem sensus etiam bene vivendi facultatem suppeditare; De An. II, 3; III, 12, 8; De Sensu 1. Porro haec diversitas indicatur, quod alia animalia imaginationem (*φαντασίαν*) habent, alia non habent; cf. Met. *Δ*, 1. Imaginatio inter sensuum perceptiones et mentis cogitationes media est, ut imaginatio sensibus, mens imaginatione egeat. Definitur esse motus a sensibus profectus et ad mentem propagatus, unde efficiatur ut perceptio aliqua in animo maneat et haereat, De An. III, 3, 11. *ἡ δὲ φαντασία κίνησίς τε δοκεῖ εἶναι καὶ οὐκ ἄνευ αἰσθήσεως γίγνεσθαι, ἀλλ' αἰσθανομένοις καὶ ὧν αἴσθησίς ἐστιν.* Ib. 13. *κίνησις ὑπὸ τῆς αἰσθήσεως τῆς κατ' ἐνέργειαν γιγνομένη.* Eodem referenda est memoria, De Memor. 1. Altior gradus significatur hisce, Met. *Δ*, 1. *τὰ μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ καὶ ταῖς μνήμαις, ἐμπειρίας δὲ μετέχει μικρόν· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ τέχνῃ καὶ λογισμοῖς. γίγνεται δ' ἐκ τῆς μνήμης ἐμπειρία τοῖς ἀνθρώποις· αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγματος μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσιν.* De Memor. 1. *καὶ νοεῖν οὐκ ἔστιν ἄνευ φαντάσματος.* Cf. quae natavimus ad n. 313. *Λογισμὸς τῶν φθαρτῶν* est earum rerum cognitio, quae sunt mutabiles et pertinent ad actionem practicam. Appetitus enim (*ὄρεξις*) proficiscitur et ab sensu (*αἴσθησις*) et ab intellectu (*νοῦς*), et ille quidem *ἐπιθυμία* vocatur, a qua *θυμὸς* parum accurate distinguitur, hic vocatur *βούλησις*, quam rationalia tantum animalia habent et quae refertur ad *τὸ λογιστικόν*, De An. III, 9, 3. *ἔν τε τῷ λογιστικῷ γὰρ ἡ βούλησις γίγνεται, καὶ ἐν τῷ ἀλόγῳ ἡ ἐπιθυμία καὶ ὁ θυμός.* In utroque autem id quod quis appetit, *τὸ ὀρεκτόν*, movet animam; quod nihil est nisi bonum practicum h. e. id quod potest etiam aliter se habere; De An. III, 10, 4. *διὸ ἀεὶ κινεῖ μὲν τὸ ὀρεκτὸν, ἀλλὰ τοῦτ' ἔστιν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαινόμενον ἀγαθόν· οὐ πᾶν δέ, ἀλλὰ τὸ πρακτὸν ἀγαθόν· πρακτὸν δ' ἐστὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως ἔχειν.* Denique *τὸ λογιστικὸν* s. *διανοητικὸν* summa animae facultas esse dicitur, summus quasi gradus, cum reliqui sint inferiores, per quos ad illum adscenditur: ut qui *τὸ λογιστικὸν* habet etiam ceteras facultates habeat necesse sit; quod valet per omnem

Aristotelis doctrinam, ut superior quisque gradus inferiorem postulet tanquam fundamentum, inferior autem sine superiore esse possit. Intellectus vero ab omni corporum natura separabilis est, neque ad eum pertinent inferiores vitae gradus, v. De Gen. An. II, 3, De An. II, 2. 9. *περὶ δὲ τοῦ νοῦ καὶ τῆς θεωρητικῆς δυνάμεως οὐδέν πω φανερόν, ἀλλ' ἔοικε ψυχῆς γένος ἕτερον εἶναι, καὶ τοῦτο μόνον ἐνδέχεται χωρίζεσθαι καθάπερ τὸ ἀΐδιον τοῦ φθαρτοῦ.* Accuratius de eo disputatur in sequentibus.

337 De Anima III, 4. *Περὶ δὲ τοῦ μορίου τοῦ τῆς ψυχῆς ᾧ γιγνώσκει τε ἡ ψυχὴ καὶ φρονεῖ, εἴτε χωριστοῦ ὄντος εἴτε καὶ μὴ χωριστοῦ κατὰ μέγεθος ἀλλὰ κατὰ λόγον, σκεπτέον τίν' ἔχει διαφορὰν καὶ πῶς ποτε γίγνεται τὸ νοεῖν. εἰ δή ἐστι τὸ νοεῖν ὥσπερ τὸ αἰσθάνεσθαι, ἢ πάσχειν τι ἂν εἴη ὑπὸ τοῦ νοητοῦ ἢ τι τοιοῦτον ἕτερον. ἀπαθὲς ἄρα δεῖ εἶναι*[b], *δεκτικὸν δὲ τοῦ εἴδους καὶ δυνάμει τοιοῦτον ἀλλὰ μὴ τοῦτο, καὶ ὁμοίως ἔχειν, ὥσπερ αἰσθητικὸν πρὸς τὰ αἰσθητά, οὕτω τὸν νοῦν πρὸς τὰ νοητά. ἀνάγκη ἄρα, ἐπεὶ πάντα νοεῖ, ἀμιγῆ εἶναι, ὥσπερ φησὶν Ἀναξαγόρας, ἵνα κρατῇ*[b], *τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ· παρεμφαινόμενον γὰρ κωλύει τὸ ἀλλότριον καὶ ἀντιφράττει, ὥστε μηδ' αὐτοῦ εἶναι φύσιν μηδεμίαν ἀλλ' ἢ ταύτην ὅ τι δυνατόν. ὁ ἄρα καλούμενος τῆς ψυχῆς νοῦς (λέγω δὲ νοῦν ᾧ διανοεῖται καὶ ὑπολαμβάνει ἡ ψυχή) οὐθέν ἐστιν ἐνεργείᾳ τῶν ὄντων πρὶν νοεῖν. διὸ οὐδὲ μεμῖχθαι εὔλογον αὐτὸν τῷ σώματι· ποιός τις γὰρ ἂν γίγνοιτο, ψυχρὸς ἢ θερμός, ἢ κἂν ὄργανόν τι εἴη, ὥσπερ τῷ αἰσθητικῷ· νῦν δ' οὐθέν ἐστιν. καὶ εὖ δὴ οἱ λέγοντες τὴν ψυχὴν εἶναι τόπον εἰδῶν*[c], *πλὴν ὅτι οὔτε ὅλη ἀλλ' ἡ νοητική, οὔτε ἐντελεχείᾳ ἀλλὰ δυνάμει τὰ εἴδη.* Ib. 5. *Ἐπεὶ δ' ὥσπερ ἐν ἁπάσῃ τῇ φύσει ἐστί τι τὸ μὲν ὕλη ἑκάστῳ γένει (τοῦτο δὲ ὃ πάντα δυνάμει ἐκεῖνα), ἕτερον δὲ τὸ αἴτιον καὶ ποιητικὸν τῷ ποιεῖν πάντα, οἷον ἡ τέχνη πρὸς τὴν ὕλην πέπονθεν, ἀνάγκη καὶ ἐν τῇ ψυχῇ ὑπάρχειν ταύτας τὰς διαφοράς. καὶ ἔστιν ὁ μὲν τοιοῦτος νοῦς τῷ πάντα γίγνεσθαι, ὁ δὲ τῷ πάντα ποιεῖν, ὡς ἕξις τις, οἷον τὸ φῶς· τρόπον γάρ τινα καὶ τὸ φῶς ποιεῖ τὰ δυνάμει ὄντα χρώματα ἐνεργείᾳ χρώματα*[d]. *καὶ οὗτος ὁ νοῦς χωριστὸς καὶ ἀπαθὴς καὶ ἀμιγὴς τῇ οὐσίᾳ ὢν ἐνεργείᾳ. ἀεὶ γὰρ τιμιώτερον τὸ ποιοῦν τοῦ πάσχοντος καὶ ἡ ἀρχὴ τῆς ὕλης. τὸ δ' αὐτό ἐστιν ἡ κατ' ἐνέργειαν ἐπιστήμη τῷ πράγματι· ἡ δὲ κατὰ δύναμιν χρόνῳ προτέρα ἐν τῷ ἑνί, ὅλως δὲ οὐ χρόνῳ· ἀλλ' οὐχ ὁτὲ μὲν νοεῖ ὁτὲ δ' οὐ νοεῖ*[e]. *χωρισθεὶς δ' ἐστὶ μόνον τοῦθ' ὅπερ ἐστί, καὶ τοῦτο μόνον ἀθάνατον καὶ ἀΐδιον. οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο*

μὲν ἀπαθές[f], *ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐθὲν νοεῖ.*

a) Est enim etiam *ἀπάθεια* sensuum, velut si nimio fragore afficiuntur aures, vehementioribus coloribus praestringuntur oculi etc., cui in sequentibus opponitur vis intellectus maxima minima comprehendentis: *ἀλλ' ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα, ἀλλὰ καὶ μᾶλλον· τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δὲ χωριστός.* — **b)** Cf. supra n. 123 et 258 not. d. Anaxagorae verba in suam sententiam interpretatur: *τοῦτο δ' ἐστὶν ἵνα γνωρίζῃ* h. e. ut omnia perspicere et discernere valeat. Nam si quid alieni intraret, hoc impediret eum eiusque lumini quasi officeret. — **c)** Respicit Platonem eiusque sectatores, quorum doctrinam ipse ita inflectit, ut non universum animum, sed intellectualem tantummodo partem idearum h. e. notionum generalium sedem esse statuat, neque intellectui insitam idearum possessionem, sed facultatem tantummodo idearum concipiendarum tribuat. Cf. § 11. *ὅτι δυνάμει πώς ἐστι τὰ νοητὰ ὁ νοῦς, ἀλλ' ἐντελεχείᾳ οὐδέν, πρὶν ἂν νοῇ. δεῖ δ' οὕτως ὥσπερ ἐν γραμματείῳ ᾧ μηθὲν ὑπάρχει ἐντελεχείᾳ γεγραμμένον*: ubi intellectus comparatur cum tabula rasa, litterarum ea quidem capace earumque inscribendarum conditione, sed nondum actu inscripta. Similiter intellectus intelligibilia continet, sed potentia duntaxat, donec revera et actu iis instruatur et veluti inscribatur. — **d)** Ut in omni natura illud oppositum inter materiam et formam, ita etiam in animo inest. Alius enim in eo est intellectus qui omnia fit, alius qui omnia fingit et efficit, veluti artifex fingit materiam, lumen colores exprimit, qui sine lumine non apparent h. e. nonnisi potentia existunt. — **e)** Intellectus et scientia h. l. fere eodem sensu dicuntur. Scientia, quae actu est, idem est cum eo quod cognoscendo amplectitur, cf. De An. III, 4, 12. *ἐπὶ μὲν γὰρ τῶν ἄνευ ὕλης τὸ αὐτό ἐστι τὸ νοοῦν καὶ τὸ νοούμενον· ἡ γὰρ ἐπιστήμη ἡ θεωρητικὴ καὶ τὸ οὕτως ἐπιστητὸν τὸ αὐτό ἐστιν*, cf. Met. *Λ*, 7. 9, qui loci citantur supra n. 324. Et scientia, quae potentia est, in singulis quidem hominibus (*ἐν τῷ ἑνί*) tempore prior est ea, quae actu est; in universum vero (*ὅλως* opponitur *τῷ ἑνί*) scientia non existit in tempore, nedum intellectus agens, qui non alio tempore intelligit alio non intelligit, h. e. qui non potest cogitari non intelligens — **f)** *Οὐ μνημονεύομεν δέ*, haec verba respiciunt Platonis de recordatione doctrinam, v. supra n. 266, not. c. Nostra cognitio si esset recordatio, intellectus divinus quodammodo afficeretur nostra cognitione, quod Aristoteli absurdum esse videtur; nam *νοῦς* ille *ποιητικός*, qui patet per universum, ab omni mortalium rerum concretione separatus est atque immortalis et aeternus omnisque propter id ipsum passionis expers. Contra intellectus patiens mortalis est atque caducus, neque quidquam sine illo h. e. sine intellectu agente intelligere valet.

Difficillimus hic locus est de intellectu agente et patiente; sed apparet patientem appellari potissimum eum, qui est singulorum hominum atque animorum, cum sensuum perceptionibus illum et cum imagi-

nationibus coniunctum (cf. n. 313, not. d; n. 336), intellectum agentem contra esse divinum et per omnem naturam dominantem (n. 323): qui intellectus sicuti omnis scientiae atque cognitionis fons est atque principium (n. 313 extr.), ita etiam hominum animos ad intelligendum suscitat eosque notionibus et scientiae principiis inditis veluti ad altiorem vitam ac beatitudinem, qua ipse semper fruitur, informat, cf. n. 325 et Eth. Eud. VII, 14, quo loco (citatur n. 323 not.) deum in nostris animis principium cognitionis esse aperte pronuntiat. Eodem pertinet quod in foetu humano ceteras facultates omnes a corpore ac semine, intellectum solum a divina natura repetit eumque extrinseeus in animum humanum intrare diserte dicit, De Gen. An. II, 3. *ὅσων γάρ ἐστιν ἀρχῶν ἡ ἐνέργεια σωματική, δῆλον ὅτι ταύτας ἄνευ σώματος ἀδύνατον ὑπάρχειν, οἷον βαδίζειν ἄνευ ποδῶν, ὥστε καὶ θύραθεν εἰσιέναι ἀδύνατον. — λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον· οὐδὲ γὰρ αὐτοῦ τῇ ἐνεργείᾳ κοινωνεῖ σωματικὴ ἐνέργεια.* Cf. Trendelenburg ad Arist. de An. p. 492 sqq.; Zeller *d. Philos. d. Gr.* II, p. 489 sqq.; Prantl *Gesch. d. Logik* I, p. 106 sqq. Denique Aristoteles divinam animi partem in vaticinationibus et morte a reliqua anima et a corpore separari eamque immortalem esse et meliore post mortem vita frui statuisse perhibetur, testibus Sexto Empir. adv. Math. IX, 20 sqq., Cic. de Divin. I, 25, 53; Plutarcho Consol. ad Apollon. 27, qui libris deperditis usi sunt.

f. Ethica.

338 Magn. Moral. I, 1. *Ἐπειδὴ προαιρούμεθα λέγειν ὑπὲρ ἠθικῶν, πρῶτον ἂν εἴη σκεπτέον τίνος ἐστὶ μέρος τὸ ἦθος. ὡς μὲν οὖν συντόμως εἰπεῖν, δοκεῖ οὐκ ἄλλης ἢ τῆς πολιτικῆς εἶναι μέρος. ἔστι γὰρ οὐθὲν ἐν τοῖς πολιτικοῖς δυνατὸν πρᾶξαι ἄνευ τοῦ ποιόν τινα εἶναι, λέγω δ' οἷον σπουδαῖον. τὸ δὲ σπουδαῖον εἶναί ἐστι τὸ τὰς ἀρετὰς ἔχειν. δεῖ ἄρα, εἴ τις μέλλει ἐν τοῖς πολιτικοῖς πρακτικὸς εἶναι, τὸ ἦθος εἶναι σπουδαῖος. μέρος ἐστὶν ἄρα, ὡς ἔοικεν, καὶ ἀρχὴ ἡ περὶ τὰ ἤθη πραγματεία τῆς πολιτικῆς.*

Cf. Polit. I, 1. *Ἐπειδὴ πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν ἀγαθοῦ τινὸς ἕνεκεν συνεστηκυῖαν (τοῦ γὰρ εἶναι δοκοῦντος ἀγαθοῦ χάριν πάντα πράττουσι πάντες), δῆλον ὡς πᾶσαι μὲν ἀγαθοῦ τινὸς στοχάζονται, μάλιστα δὲ καὶ τοῦ κυριωτάτου πάντων ἡ πασῶν κυριωτάτη καὶ πάσας περιέχουσα τὰς ἄλλας· αὕτη δ' ἐστὶν ἡ καλουμένη πόλις καὶ ἡ κοινωνία ἡ πολιτική.* Civitatem tanquam finem atque totum natura prius esse statuebat quam partes h. e. familias atque homines singulos, cf. ib. 2. *καὶ πρότερον δὴ τῇ φύσει πόλις ἢ οἰκία καὶ ἕκαστος ἡμῶν ἐστίν· τὸ γὰρ ὅλον πρότερον ἀναγκαῖον εἶναι τοῦ μέρους. — εἰ γὰρ μὴ αὐτάρκης ἕκαστος χωρισθείς, ὁμοίως τοῖς ἄλλοις μέρεσιν ἔξει πρὸς τὸ ὅλον· ὁ δὲ*

μὴ δυνάμενος κοινωνεῖν ἢ μηθὲν δεόμενος δι' αὐτάρκειαν οὐθὲν μέρος πόλεως ὥστε ἢ θηρίον ἢ θεός.

Eth. Nic. I, 1. *Εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν ὃ δι' αὑτὸ βουλόμεθα, τἆλλα δὲ διὰ τοῦτο καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα (πρόεισι γὰρ οὕτω γ' εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν), δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν καὶ τὸ ἄριστον.* Ib. 2. *Λέγωμεν δ' ἀναλαβόντες, ἐπειδὴ πᾶσα γνῶσις καὶ προαίρεσις ἀγαθοῦ τινὸς ὀρέγεται, τί ἐστιν οὗ λέγομεν τὴν πολιτικὴν ἐφίεσθαι καὶ τί τὸ πάντων ἀκρότατον τῶν πρακτῶν ἀγαθῶν. ὀνόματι μὲν οὖν σχεδὸν ὑπὸ τῶν πλείστων ὁμολογεῖται· τὴν γὰρ εὐδαιμονίαν καὶ οἱ πολλοὶ καὶ οἱ χαρίεντες λέγουσι, τὸ δ' εὖ ζῆν καὶ τὸ εὖ πράττειν ταὐτὸν ὑπολαμβάνουσι τῷ εὐδαιμονεῖν. περὶ δὲ τῆς εὐδαιμονίας, τί ἐστιν, ἀμφισβητοῦσι καὶ οὐχ ὁμοίως οἱ πολλοὶ τοῖς σοφοῖς ἀποδιδόασιν.* Ib. 6. *Ὥσπερ γὰρ αὐλητῇ καὶ ἀγαλματοποιῷ καὶ παντὶ τεχνίτῃ, καὶ ὅλως ὧν ἐστὶν ἔργον τι καὶ πρᾶξις, ἐν τῷ ἔργῳ δοκεῖ τἀγαθὸν εἶναι καὶ τὸ εὖ, οὕτω δόξειεν ἂν καὶ ἀνθρώπῳ, εἴπερ ἔστι τι ἔργον αὐτοῦ. — — τί οὖν δὴ τοῦτ' ἂν εἴη ποτέ; τὸ μὲν γὰρ ζῆν κοινὸν εἶναι φαίνεται καὶ τοῖς φυτοῖς, ζητεῖται δὲ τὸ ἴδιον. ἀφοριστέον ἄρα τὴν θρεπτικὴν καὶ αὐξητικὴν ζωήν. ἑπομένη δὲ αἰσθητική τις ἂν εἴη, φαίνεται δὲ καὶ αὕτη κοινὴ καὶ ἵππῳ καὶ βοῒ καὶ παντὶ ζῴῳ. λείπεται δὴ πρακτική τις τοῦ λόγον ἔχοντος. τούτου δὲ τὸ μὲν ὡς ἐπιπειθὲς λόγῳ, τὸ δ' ὡς ἔχον καὶ διανοούμενον. διττῶς δὲ καὶ ταύτης λεγομένης τὴν κατ' ἐνέργειαν θετέον· κυριώτερον γὰρ αὕτη δοκεῖ λέγεσθαι. — — εἰ δ' οὕτω, τὸ ἀνθρώπινον ἀγαθὸν ψυχῆς ἐνέργεια γίγνεται κατ' ἀρετήν, εἰ δὲ πλείους αἱ ἀρεταί, κατὰ τὴν ἀρίστην καὶ τελειοτάτην. ἔτι δ' ἐν βίῳ τελείῳ. μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ, οὐδὲ μία ἡμέρα· οὕτω δὲ οὐδὲ μακάριον καὶ εὐδαίμονα μία ἡμέρα οὐδ' ὀλίγος χρόνος.* 339

Practica quam dicit animalis rationalis vita est politica: unde efficitur felicitatem neque solitariam esse neque externis illis quae desiderantur ad vitam politicam subsidiis carere posse. Eth. Nic. I, 5. *τὸ γὰρ τέλειον ἀγαθὸν αὔταρκες εἶναι δοκεῖ. τὸ δ' αὔταρκες λέγομεν οὐκ αὐτῷ μόνῳ τῷ ζῶντι βίον μονώτην, ἀλλὰ καὶ γονεῦσι καὶ τέκνοις καὶ γυναικὶ καὶ ὅλως τοῖς φίλοις καὶ πολίταις, ἐπειδὴ φύσει πολιτικὸς ἄνθρωπος.* Consentiebat itaque cum iis qui bona tam corporis sive externa esse quam animi affirmabant, putabatque et illa ad beate vivendum necessaria esse. Eth. Nic. I, 8. 9. *φαίνεται δ' ὅμως καὶ τῶν ἐκτὸς ἀγαθῶν προσδεομένη* (sc. *ἡ εὐδαιμονία*), *καθάπερ εἴπομεν· ἀδύνατον γὰρ ἢ οὐ ῥᾴδιον τὰ καλὰ*

πράττειν ἀχορήγητον ὄντα. πολλὰ μὲν γὰρ πράττεται, καθάπερ δι' ὀργάνων, διὰ φίλων καὶ πλούτου καὶ πολιτικῆς δυνάμεως· ἐνίων δὲ τητώμενοι ὑπαίνουσι τὸ μακάριον, οἷον εὐγενείας, εὐτεκνίας, κάλλους· οὐ πάνυ γὰρ εὐδαιμονικὸς ὁ τὴν ἰδέαν παναίσχης ἢ δυσγενὴς ἢ μονώτης καὶ ἄτεκνος, ἔτι δ' ἴσως ἧττον, εἴ τῳ πάγκακοι παῖδες εἶεν ἢ φίλοι, ἢ ἀγαθοὶ ὄντες τεθνᾶσιν. Vitam perfectam (βίον τέλειον) quo sensu dicat patet ex hoc loco, Magn. Moral. I, 4. Ἐπεὶ δ' οὖν ἐστὶν ἡ εὐδαιμονία τέλειον ἀγαθὸν καὶ τέλος, οὐδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι καὶ ἐν τελείῳ ἔσται. οὐ γὰρ ἔσται ἐν παιδί (οὐ γάρ ἐστι παῖς εὐδαίμων), ἀλλ' ἐν ἀνδρί. οὗτος γὰρ τέλειος. οὐδ' ἐν χρόνῳ γε ἀτελεῖ, ἀλλ' ἐν τελείῳ. τέλειος δ' ἂν εἴη χρόνος, ὅσον ἄνθρωπος βιοῖ. καὶ γὰρ λέγεται ὀρθῶς παρὰ τοῖς πολλοῖς ὅτι δεῖ τὸν εὐδαίμονα ἐν τῷ μεγίστῳ χρόνῳ τοῦ βίου κρίνειν, ὡς δέον τὸ τέλειον εἶναι καὶ ἐν χρόνῳ τελείῳ καὶ ἐν ἀνθρώπῳ. Etiam voluptas ad beate vivendum pertinet. Eth. Nic. I, 9. Ἔστι· δὲ καὶ ὁ βίος αὐτῶν (sc. τῶν καλῶν κἀγαθῶν) καθ' αὑτὸν ἡδύς. τὸ μὲν γὰρ ἥδεσθαι τῶν ψυχικῶν, ἑκάστῳ δ' ἐστὶν ἡδὺ πρὸς ὃ λέγεται φιλοτοιοῦτος, οἷον ἵππος μὲν τῷ φιλίππῳ, θέαμα δὲ τῷ φιλοθεώρῳ· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ δίκαια τῷ φιλοδικαίῳ καὶ ὅλως τὰ κατ' ἀρετὴν τῷ φιλαρέτῳ. τοῖς μὲν οὖν πολλοῖς τά ἡδέα μάχεται διὰ τὸ μὴ φύσει τοιαῦτ' εἶναι, τοῖς δὲ φιλοκάλοις ἐστὶν ἡδέα τὰ φύσει ἡδέα. τοιαῦτα δ' αἱ κατ' ἀρετὴν πράξεις. ὥστε καὶ τούτοις εἰσὶν ἡδεῖαι καὶ καθ' αὑτάς. οὐδὲν δὴ προσδεῖται τῆς ἡδονῆς ὁ βίος αὐτῶν ὥσπερ περιάπτου τινός, ἀλλ' ἔχει τὴν ἡδονὴν ἐν ἑαυτῷ. Etenim voluptas non est γένεσις αἰσθητή, ut sentiebat Plato, v. supra n. 272, verum energia. Eth. Nic. VII, 13. διὸ καὶ οὐ καλῶς ἔχει τὸ αἰσθητὴν γένεσιν φάναι εἶναι τὴν ἡδονήν, ἀλλὰ μᾶλλον λεκτέον ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως, ἀντὶ δὲ τοῦ αἰσθητὴν ἀνεμπόδιστον. Ib. X, 4. αἰσθήσεως δὲ πάσης πρὸς τὸ αἰσθητὸν ἐνεργούσης, τελείως δὲ τῆς εὖ διακειμένης πρὸς τὸ κάλλιστον τῶν ὑπὸ τὴν αἴσθησιν. τοιοῦτον γὰρ μάλιστ' εἶναι δοκεῖ ἡ τελεία ἐνέργεια· αὐτὴν δὲ λέγειν ἐνεργεῖν ἢ ἐν ᾧ ἐστίν μηθὲν διαφερέτω· καθ' ἕκαστον δὲ βελτίστη ἐστὶν ἡ ἐνέργεια τοῦ ἄριστα διακειμένου πρὸς τὸ κράτιστον τῶν ὑφ' αὑτήν. αὕτη δ' ἂν τελειοτάτη εἴη καὶ ἡδίστη. κατὰ πᾶσαν γὰρ αἴσθησίν ἐστι ἡδονή, ὁμοίως δὲ καὶ διάνοιαν καὶ θεωρίαν, ἡδίστη δ' ἡ τελειοτάτη, τελειοτάτη δ' ἡ τοῦ εὖ ἔχοντος πρὸς τὸ σπουδαιότατον τῶν ὑφ' αὑτήν. τελειοῖ δὲ τὴν ἐνέργειαν ἡ ἡδονὴ οὐχ ὡς ἕξις ἐνυπάρχουσα, ἀλλ' ὡς ἐπιγιγνόμενόν τι τέλος, οἷον τοῖς ἀκμαίοις ἡ ὥρα. Non igitur quaevis voluptas ad felicitatem facit, sed ea tantum, quae est de rebus pulchris. Quod si vitam dicebat esse aut voluptariam aut politicam aut theoreticam, voluptariam intelligebat quae corporis voluptatibus dedita esset, Eth. Eud. I, 4. ὁ δ' ἀπολαυστικὸς περὶ τὰς ἡδονὰς τὰς σωματικάς, eamque quasi brutorum animalium esse voluit. Eth. Nic. I, 3. Vita politica humanitas maxime censetur; theoretica denique vita supra humanam sortem enititur. Eth. Nic. X, 7. Ὁ δὲ τοιοῦτος (sc. θεωρητικὸς) ἂν εἴη βίος κρείττων ἢ κατ' ἄνθρωπον· οὐ γὰρ ᾗ ἄνθρωπός ἐστιν οὕτω βιώσεται, ἀλλ' ᾗ θεῖόν τι ἐν αὐτῷ ὑπάρχει. Ib. 8. αἱ δὲ τοῦ συνθέτου (sc. ἐκ ψυχῆς καὶ σώματος) ἀρεταὶ ἀνθρωπικαί. καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς

καὶ ἡ εὐδαιμονία. ἡ δὲ τοῦ νοῦ κεχωρισμένη. Cf. n. 324. — {De ethica Aristotelica in libro *Einheit d. Aristot. Eudämonie 1859* egi, de vita theoretica quam cum vita aeterna et immortalitate divina comparaveris (cf. supra n. 332 a) in libro *Gesch. d. Begr. d. Parusie* p. 140 sqq.)

Eth. Nic. II, 4. *Μετὰ δὲ ταῦτα τί ἐστιν ἡ ἀρετὴ σκε-* 340
πτέον. ἐπεὶ οὖν τὰ ἐν τῇ ψυχῇ γιγνόμενα τρία ἐστί, πάθη, δυνάμεις, ἕξεις τούτων ἄν τι εἴη ἡ ἀρετή. λέγω δὲ πάθη μὲν ἐπιθυμίαν, ὀργήν, φόβον, θράσος, φθόνον, χαράν, φιλίαν, μῖσος, πόθον, ζῆλον, ἔλεον, ὅλως οἷς ἕπεται ἡδονὴ ἢ λύπη, δυνάμεις δὲ καθ' ἃς παθητικοὶ τούτων λεγόμεθα, οἷον καθ' ἃς δυνατοὶ ὀργισθῆναι ἢ λυπηθῆναι ἢ ἐλεῆσαι, ἕξεις δὲ καθ' ἃς πρὸς τὰ πάθη ἔχομεν εὖ ἢ κακῶς, οἷον πρὸς τὸ ὀργισθῆναι, εἰ μὲν σφοδρῶς ἢ ἀνειμένως, κακῶς ἔχομεν, εἰ δὲ μέσως, εὖ. ὁμοίως δὲ καὶ πρὸς τἆλλα. πάθη μὲν οὖν οὐκ εἰσὶν οὔθ' αἱ ἀρεταὶ οὔθ' αἱ κακίαι, ὅτι οὐ λεγόμεθα κατὰ τὰ πάθη σπουδαῖοι ἢ φαῦλοι, κατὰ δὲ τὰς ἀρετὰς ἢ τὰς κακίας λεγόμεθα, καὶ ὅτι κατὰ μὲν τὰ πάθη οὔτ' ἐπαινούμεθα οὔτε ψεγόμεθα (οὐ γὰρ ἐπαινεῖται ὁ φοβούμενος οὐδὲ ὁ ὀργιζόμενος, οὐδὲ ψέγεται ὁ ἁπλῶς ὀργιζόμενος ἀλλ' ὁ πῶς), κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας ἐπαινούμεθα ἢ ψεγόμεθα. ἔτι ὀργιζόμεθα μὲν καὶ φοβούμεθα ἀπροαιρέτως, αἱ δ' ἀρεταὶ προαιρέσεις τινὲς ἢ οὐκ ἄνευ προαιρέσεως[a]. πρὸς δὲ τούτοις κατὰ μὲν τὰ πάθη κινεῖσθαι λεγόμεθα, κατὰ δὲ τὰς ἀρετὰς καὶ τὰς κακίας οὐ κινεῖσθαι ἀλλὰ διακεῖσθαί πως. διὰ ταῦτα δὲ οὐδὲ δυνάμεις εἰσίν· οὔτε γὰρ ἀγαθοὶ λεγόμεθα τῷ δύνασθαι πάσχειν ἁπλῶς οὔτε κακοί, οὔτ' ἐπαινούμεθα οὔτε ψεγόμεθα. καὶ ἔτι δυνατοὶ μέν ἐσμεν φύσει, ἀγαθοὶ δὲ ἢ κακοὶ οὐ γιγνόμεθα φύσει. — — εἰ οὖν μήτε πάθη εἰσὶν αἱ ἀρεταὶ μήτε δυνάμεις, λείπεται ἕξεις αὐτὰς εἶναι. Ib. 5. *δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. ῥητέον οὖν ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. — εἰ δὴ τοῦτ' ἐπὶ πάντων οὕτως ἔχει, καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίγνεται καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. — ἐν παντὶ δὴ συνεχεῖ καὶ διαιρετῷ ἔστι λαβεῖν τὸ μὲν πλεῖον, τὸ δ' ἔλαττον, τὸ δ' ἴσον, καὶ ταῦτα ἢ κατ' αὐτὸ τὸ πρᾶγμα ἢ πρὸς ἡμᾶς· τὸ δ' ἴσον μέσον τι ὑπερβολῆς καὶ ἐλλείψεως. λέγω*

δὲ τοῦ μὲν πράγματος μέσον τὸ ἴσον ἀπέχον ἀφ᾽ ἑκατέρου τῶν ἄκρων, ὅπερ ἐστὶν ἓν καὶ ταὐτὸν πᾶσιν, πρὸς ἡμᾶς δὲ ὃ μήτε πλεονάζει μήτε ἐλλείπει. τοῦτο δ᾽ οὐχ ἕν, οὐδὲ ταὐτὸν πᾶσιν, οἷον εἰ τὰ δέκα πολλὰ τὰ δὲ δύο ὀλίγα, τὰ ἓξ μέσα λαμβάνουσι κατὰ τὸ πρᾶγμα· ἴσῳ γὰρ ὑπερέχει τε καὶ ὑπερέχεται, τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον· οὐ γὰρ εἴ τῳ δέκα μναῖ φαγεῖν πολὺ δύο δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξει· ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ ἢ ὀλίγον· Μίλωνι μὲν γὰρ ὀλίγον, τῷ δὲ ἀρχομένῳ τῶν γυμνασίων πολύ. ὁμοίως ἐπὶ δρόμου καὶ πάλης. οὕτω δὴ πᾶς ἐπιστήμων τὴν ὑπερβολὴν μὲν καὶ τὴν ἔλλειψιν φεύγει, τὸ δὲ μέσον ζητεῖ καὶ τοῦθ᾽ αἱρεῖται, μέσον δὲ οὐ τὸ τοῦ πράγματος ἀλλὰ τὸ πρὸς ἡμᾶς. εἰ δὴ πᾶσα ἐπιστήμη οὕτω τὸ ἔργον εὖ ἐπιτελεῖ, πρὸς τὸ μέσον βλέπουσα καὶ εἰς τοῦτο ἄγουσα τὰ ἔργα (ὅθεν εἰώθασιν ἐπιλέγειν τοῖς εὖ ἔχουσιν ἔργοις ὅτι οὔτ᾽ ἀφελεῖν ἔστιν οὔτε προσθεῖναι, ὡς τῆς μὲν ὑπερβολῆς καὶ τῆς ἐλλείψεως φθειρούσης τὸ εὖ, τῆς δὲ μεσότητος σωζούσης), οἱ δ᾽ ἀγαθοὶ τεχνῖται, ὡς λέγομεν, πρὸς τοῦτο βλέποντες ἐργάζονται, ἡ δ᾽ ἀρετὴ πάσης τέχνης ἀκριβεστέρα καὶ ἀμείνων ἐστίν, ὥσπερ καὶ ἡ φύσις, τοῦ μέσου ἂν εἴη στοχαστική. λέγω δὲ τὴν ἠθικήν· αὕτη γάρ ἐστι περὶ πάθη καὶ πράξεις, ἐν δὲ τούτοις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον[b]. οἷον καὶ φοβηθῆναι καὶ θαρρῆσαι καὶ ἐπιθυμῆσαι καὶ ὀργισθῆναι καὶ ἐλεῆσαι καὶ ὅλως ἡσθῆναι καὶ λυπηθῆναι ἔστι καὶ μᾶλλον καὶ ἧττον, καὶ ἀμφότερα οὐκ εὖ· τὸ δ᾽ ὅτε δεῖ καὶ ἐφ᾽ οἷς καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ, μέσον τε καὶ ἄριστον, ὅπερ ἐστὶ τῆς ἀρετῆς. ὁμοίως δὲ καὶ περὶ τὰς πράξεις ἐστὶν ὑπερβολὴ καὶ ἔλλειψις καὶ τὸ μέσον. — μεσότης τις ἄρα ἐστὶν ἡ ἀρετή, στοχαστικὴ γε οὖσα τοῦ μέσου. Ib. 6. ἔστιν ἄρα ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ καὶ ὡς ἂν ὁ φρόνιμος ὁρίσειεν.

a) Actiones nostras morales liberi arbitrii esse ubique pronuntiat, velut inter alios locos Eth. Nic. III, 7. *ὄντος δὲ βουλητοῦ μὲν τοῦ τέλους, βουλευτῶν δὲ καὶ προαιρετῶν τῶν πρὸς τὸ τέλος, αἱ περὶ ταῦτα πράξεις κατὰ προαίρεσιν ἂν εἶεν καὶ ἑκούσιοι. αἱ δὲ τῶν ἀρετῶν ἐνέργειαι περὶ ταῦτα. ἐφ᾽ ἡμῖν δὲ καὶ ἡ ἀρετή, ὁμοίως δὲ καὶ ἡ κακία. — τὸ δὲ λέγειν, ὡς οὐδεὶς ἑκὼν πονηρὸς οὐδ᾽ ἄκων μάκαρ, ἔοικε τὸ μὲν ψευδεῖ τὸ δ᾽ ἀληθεῖ· μακάριος μὲν γὰρ οὐδεὶς ἄκων, ἡ δὲ μοχθηρία ἀκούσιον*, cf. Eth. Eud. II, 7; Magn. Moral. I, 9. Ipsam *προαίρεσιν* a

voluntate ita differre censebat, ut cum ratione atque intellectu coniuncta sit, Eth. N. III, 4. *ἡ γὰρ προαίρεσις μετὰ λόγου καὶ διανοίας. ὑποσημαίνειν δ' ἔοικε καὶ τοὔνομα ὡς ὃν πρὸ ἑτέρων αἱρετόν.* Cf. Trendelenburg *Historische Beiträge* II, p. 152 sqq. — **b)** Virtus moralis differt ab intellectuali, cf. Eth. N. II, 1. *διττῆς δὲ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς τῆς δὲ ἠθικῆς, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται καὶ χρόνου· ἡ δ' ἠθικὴ ἐξ ἔθους περιγίγνεται, ὅθεν καὶ τοὔνομα ἔσχηκε μικρὸν παρεκκλῖνον ἀπὸ τοῦ ἔθους.* Haec ad irrationalem animi partem pertinet, quae regitur ratione, intellectualis ad rationalem, Eth. N. 1, 13. *ὅτι δὲ πείθεταί πως ὑπὸ λόγου τὸ ἄλογον, μηνύει καὶ ἡ νουθέτησις καὶ πᾶσα ἐπιτίμησίς τε καὶ παράκλησις. εἰ δὲ χρὴ καὶ τοῦτο φάναι λόγον ἔχειν, διττὸν ἔσται καὶ τὸ λόγον ἔχον, τὸ μὲν κυρίως καὶ ἐν αὑτῷ, τὸ δ' ὥσπερ τοῦ πατρὸς ἀκουστικόν τι, διορίζεται δὲ καί ἡ ἀρετὴ κατὰ τὴν διαφορὰν ταύτην· λέγομεν γὰρ αὐτῶν τὰς μὲν διανοητικὰς τὰς δὲ ἠθικάς, σοφίαν μὲν καὶ σύνεσιν καὶ φρόνησιν διανοητικάς, ἐλευθεριότητα δὲ καὶ σωφροσύνην ἠθικάς.* Ex virtutibus intellectualibus in politica de sola prudentia (*φρόνησις*) quaeritur; nam sapientia tota est theoretica, Magn. Mor. I, 35. *πότερον δὲ αὕτη* (sc. *ἡ φρόνησίς*) *πάντων ἄρχει τῶν ἐν τῇ ψυχῇ, ὥσπερ δοκεῖ καὶ ἀπορεῖται ἢ οὔ; τῶν γὰρ βελτιόνων οὐκ ἂν δύξειεν, οἷον τῆς σοφίας οὐκ ἄρχει. ἀλλά, φησίν, αὕτη ἐπιμελεῖται πάντων καὶ κυρία ἐστὶ προστάττουσα. ἀλλ' ἴσως ἔχει ὥσπερ ἐν οἰκίᾳ ὁ ἐπίτροπος. οὗτος γὰρ πάντων κύριος καὶ πάντα διοικεῖ ἀλλ' οὔπω ἄρχει πάντων, ἀλλὰ παρασκευάζει τῷ δεσπότῃ σχολήν, ὅπως ἂν ἐκεῖνος μὴ κωλυόμενος ὑπὸ τῶν ἀναγκαίων ἐκκλείηται τοῦ τῶν καλῶν τι καὶ προσηκόντων πράττειν. οὕτω καὶ ὁμοίως τούτῳ ἡ φρόνησις ὥσπερ ἐπίτροπός τις ἐστὶ τῆς σοφίας καὶ παρασκευάζει ταύτῃ σχολήν καὶ τὸ ποιεῖν τὸ αὑτῆς ἔργον, κατέχουσα τὰ πάθη καὶ ταῦτα σωφρονίζουσα.* Si virtutem moralem nostro loco dicit versari *περὶ πάθη καὶ πράξεις*, contra Eth. Nic. VI, 13. *τὸ ἔργον*, inquit, *ἀποτελεῖται κατὰ τὴν φρόνησιν καὶ τὴν ἠθικὴν ἀρετήν*, unde cognoscitur *φρόνησιν* versari etiam *περὶ πράξεις*, non tamen *περὶ πάθη*. Ceteroquin etiam *φρόνησις* media inter bina vitia virtus esse ponitur, Eth. Eud. II, 13.

Inter virtutem et felicitatem eadem intercedit ratio, quae inter *ἕξιν* et *ἐνέργειαν*. Eth. Nic. I, 9; Magn. Moral. I, 4. Quid sit *ἕξις* intelligitur ex hisce, Eth. Nic. II, 3. *ἔτι οὐδ' ὅμοιόν ἐστι ἐπὶ τῶν τεχνῶν καὶ τῶν ἀρετῶν· τὰ μὲν γὰρ ὑπὸ τῶν τεχνῶν γιγνόμενα τὸ εὖ ἔχει ἐν αὑτοῖς, ἀρκεῖ οὖν ταῦτά πως ἔχοντα γενέσθαι· τὰ δὲ κατὰ τὰς ἀρετὰς γιγνόμενα οὐκ ἐὰν αὐτά πως ἔχῃ, δικαίως ἢ σωφρόνως πράττεται, ἀλλὰ καὶ ἐὰν ὁ πράττων πως ἔχων πράττῃ πρῶτον μὲν ἐὰν εἰδώς, ἔπειτ' ἐὰν προαιρούμενος, καὶ προαιρούμενος δι' αὐτά, τὸ δὲ τρίτον καὶ ἐὰν βεβαίως καὶ ἀμετακινήτως ἔχων πράττῃ. ταῦτα δὲ πρὸς μὲν τὸ τὰς ἄλλας τέχνας ἔχειν οὐ συναριθμεῖται, πλὴν αὐτὸ τὸ εἰδέναι· πρὸς δὲ τὸ τὰς ἀρετὰς τὸ μὲν εἰδέναι μικρὸν ἢ οὐδὲν ἰσχύει, τὰ ἄλλα οὐ μικρὸν ἀλλὰ τὸ πᾶν δύναται, ἅπερ ἐκ τοῦ πολλάκις πράττειν τὰ δίκαια καὶ σώφρονα περιγίγνεται.* Quo loco si parum cognitioni ad actiones terminandas tribui

videtur, aliis locis rationis esse statuit regere *τὰ πάθη* et id quod medium inter vitia opposita sit diiudicare, Eth. Nic. II, 8. Omnino duo ista virtutum genera, morale et intellectuale, disiungi non possunt, maximeque prudentia ad omnes virtutes morales pertinet, cf. ib. VI, 13. *οὐχ οἷόν τε ἀγαθὸν εἶναι κυρίως ἄνευ φρονήσεως, οὐδὲ φρόνιμον ἄνευ τῆς ἠθικῆς ἀρετῆς.* X, 8. *συνέζευκται δὲ καὶ ἡ φρόνησις τῇ τοῦ ἤθους ἀρετῇ καὶ αὕτη τῇ φρονήσει, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετάς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν κατὰ φρόνησιν.* Nam boni reddimur exercitatione et educatione, ib. II, 3, sed absolvitur virtus nonnisi tum si ad exercitationem accesserit ratio; tum vera virtus (*κυρία*) evadit quae modo erat naturalis. Ib. VI, 13. Inde etiam proficiscitur ubi quaerit utrum plures virtutes sint an una, l. l.: *ἀλλὰ καὶ ὁ λόγος ταύτῃ λύοιτ' ἄν, ᾧ διαλεχθείη τις ἂν ὅτι χωρίζονται ἀλλήλων αἱ ἀρεταί· οὐ γὰρ ὁ αὐτὸς εὐφυέστατος πρὸς ἁπάσας, ὥστε τὴν μὲν ἤδη τὴν δ' οὔπω εἰληφὼς ἔσται· τοῦτο μὲν γὰρ κατὰ μὲν τὰς φυσικὰς ἀρετὰς ἐνδέχεται, καθ' ἃς δὲ λέγεται ἀγαθός, οὐκ ἐνδέχεται· ἅμα γὰρ τῇ φρονήσει μιᾷ οὔσῃ πᾶσαι ὑπάρξουσιν.* Denique virtus cum in eo posita sit, ut quod inter vitia opposita medium est recte diiudicetur, facile intelligitur quantum ad omnem virtutem valeat *φρόνησις*, utpote qua illud medium reperiatur. In quonam vero quodque medium constituendum sit ex praeceptis *φρονήσεως*, hoc non quaeritur in ethica, verum in oeconomia et politica. — Mittimus divisionem vel potius recensum virtutum Eth. Nic. II, 7; III, 9 sqq., Eud. II, 3; III, 1 sqq.; Magn. Mor. 1, 21 sqq., quippe in quo certa ratio minus cernatur. Sed attinebit pauca addere de iustitia, cui plurimum ab Aristotele tribuitur, et cuius peculiaris quaedam ad politicam muniendam vis est.

341 Eth. Nic. V, 3. *Ἐπεὶ δ' ὁ παράνομος ἄδικος ἦν ὁ δὲ νόμιμος δίκαιος, δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια· τά τε γὰρ ὡρισμένα ὑπὸ τῆς νομοθετικῆς νόμιμά ἐστι, καὶ ἕκαστον τούτων δίκαιον εἶναί φαμεν. οἱ δὲ νόμοι ἀγορεύουσι περὶ ἁπάντων, στοχαζόμενοι ἢ τοῦ κοινῇ συμφέροντος πᾶσιν ἢ τοῖς ἀρίστοις ἢ τοῖς κυρίοις, κατ' ἀρετὴν ἢ κατ' ἄλλον τινὰ τρόπον τοιοῦτον· ὥστε ἕνα μὲν τρόπον δίκαια λέγομεν τὰ ποιητικὰ καὶ φυλακτικὰ τῆς εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς τῇ πολιτικῇ κοινωνίᾳ· προστάττει δ' ὁ νόμος καὶ τὰ τοῦ ἀνδρείου ἔργα ποιεῖν, οἷον μὴ λείπειν τὴν τάξιν μηδὲ φεύγειν μηδὲ ῥίπτειν τὰ ὅπλα, καὶ τὰ τοῦ σώφρονος, οἷον μὴ μοιχεύειν μηδ' ὑβρίζειν, καὶ τὰ τοῦ πράου, οἷον μὴ τύπτειν μηδὲ κακηγορεῖν, ὁμοίως δὲ καὶ κατὰ τὰς ἄλλας ἀρετὰς καὶ μοχθηρίας τὰ μὲν κελεύων τὰ δ' ἀπαγορεύων, ὀρθῶς μὲν ὁ κείμενος ὀρθῶς, χεῖρον δ' ὁ ἀπεσχεδιασμένος. αὕτη μὲν οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία, ἀλλ' οὐχ ἁπλῶς ἀλλὰ πρὸς ἕτερον — — τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη*

αὕτη, δῆλον ἐκ τῶν εἰρημένων· ἔστι μὲν γὰρ ἡ αὐτή, τὸ δ' εἶναι οὐ τὸ αὐτό, ἀλλ' ᾗ μὲν πρὸς ἕτερον, δικαιοσύνη, ᾗ δὲ τοιάδε ἕξις ἁπλῶς, ἀρετή[a]. Ib. 4. ζητοῦμεν δέ γε τὴν ἐν μέρει ἀρετῆς δικαιοσύνην· ἔστι γάρ τις, ὡς φαμέν. ὁμοίως δὲ καὶ περὶ ἀδικίας τῆς κατὰ μέρος. σημεῖον δ' ὅτι ἔστιν· κατὰ μὲν γὰρ τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν ἀδικεῖ μέν, πλεονεκτεῖ δ' οὐδέν, οἷον ὁ ῥίψας τὴν ἀσπίδα διὰ δειλίαν ἢ κακῶς εἰπὼν διὰ χαλεπότητα ἢ οὐ βοηθήσας χρήμασι δι' ἀνελευθερίαν· ὅταν δὲ πλεονεκτῇ, πολλάκις κατ' οὐδεμίαν τῶν τοιούτων, ἀλλὰ μὴν οὐδὲ κατὰ πάσας, κατὰ πονηρίαν δέ γε τινα (ψέγομεν γὰρ) καὶ κατ' ἀδικίαν. ἔστιν ἄρα γε ἄλλη τις ἀδικία ὡς μέρος τῆς ὅλης, καὶ ἄδικόν τι ἐν μέρει τοῦ ὅλου ἀδίκου τοῦ παρὰ τὸν νόμον. Ib. 5. Ὅτι μὲν οὖν εἰσὶ δικαιοσύναι πλείους, καὶ ὅτι ἔστι τις καὶ ἑτέρα παρὰ τὴν ὅλην ἀρετήν, δῆλον· τίς δὲ καὶ ὁποία τις, ληπτέον. διώρισται δὴ τὸ ἄδικον τό τε παράνομον καὶ τὸ ἄνισον, τὸ δὲ δίκαιον τό τε νόμιμον καὶ τὸ ἴσον. κατὰ μὲν οὖν τὸ παράνομον ἡ πρότερον εἰρημένη ἀδικία ἐστίν. — — τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς τιμῆς ἢ χρημάτων ἢ τῶν ἄλλων ὅσα μεριστὰ τοῖς κοινωνοῦσι τῆς πολιτείας (ἐν τούτοις γὰρ ἔστι καὶ ἄνισον ἔχειν καὶ ἴσον ἕτερον ἑτέρου), ἕν δὲ τὸ ἐν τοῖς συναλλάγμασι διορθωτικόν. Ib. 6. ἐπεὶ δ' ὅ τ' ἄδικος ἄνισος καὶ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι καὶ μέσον τί ἐστι τοῦ ἀνίσου. τοῦτο δ' ἐστὶ τὸ ἴσον· ἐν ὁποίᾳ γὰρ πράξει ἐστὶ τὸ πλέον καὶ τὸ ἔλαττον, ἐστὶ καὶ τὸ ἴσον. εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον· ὅπερ καὶ ἄνευ λόγου δοκεῖ πᾶσιν. ἐπεὶ δὲ τὸ ἴσον μέσον, τὸ δίκαιον μέσον τι ἂν εἴη. ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν· ἀνάγκη τοίνυν τὸ δίκαιον μέσον, τε καὶ ἴσον εἶναι [καὶ πρός τι*) καὶ τισίν], καὶ ᾗ μὲν μέσον, τινῶν (ταῦτα δ' ἐστὶ πλεῖον καὶ ἔλαττον), ᾗ δ' ἴσον ἐστί, δυοῖν, ᾗ δὲ δίκαιον, τισίν[b]. ἀνάγκη ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις εἶναι τέτταρσιν· οἷς τε γὰρ δίκαιον τυγχάνει ὄν, δύο ἐστί, καὶ ἐν οἷς τὰ πράγματα, δύο. καὶ ἡ αὐτὴ ἔσται ἰσότης, οἷς καὶ ἐν οἷς· ὡς γάρ ἐκεῖνα ἔχει τὰ ἐν οἷς, οὕτω κἀκεῖνα ἔχει· εἰ γὰρ μὴ ἴσοι οὐκ ἴσα ἕξουσιν, ἀλλ' ἐντεῦθεν αἱ μάχαι καὶ τὰ ἐγκλήματα, ὅταν

*) Verba *καὶ πρός τι* uncinis inclusit Bekk., quia desunt in cod. K[b]; cf. Zell Comm. ad Arist. Eth. Nic. p. 170. Alius codex omittit *καὶ τισίν*, et patet etiam haec superflua esse.

ἢ ἴσοι μὴ ἴσα ἢ μὴ ἴσοι ἴσα ἔχωσι καὶ νέμωνται. ἔτι ἐκ τοῦ κατ᾽ ἀξίαν τοῦτο δῆλον· τὸ γὰρ δίκαιον ἐν ταῖς διανομαῖς ὁμολογοῦσι πάντες κατ᾽ ἀξίαν τινὰ δεῖν εἶναι[c]. Ib. 7. τὸ δὲ λοιπὸν ἓν τὸ διορθωτικόν, ὃ γίγνεται ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἑκουσίοις καὶ τοῖς ἀκουσίοις· τοῦτο δὲ τὸ δίκαιον ἄλλο εἶδος ἔχει τοῦ προτέρου. τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον τῶν κοινῶν ἀεὶ κατὰ τὴν ἀναλογίαν ἐστὶ τὴν εἰρημένην[d]. — — τὸ δ᾽ ἐν τοῖς συναλλάγμασι δίκαιόν ἐστι μὲν ἴσον τι, καὶ τὸ ἄδικον ἄνισον, ἀλλ᾽ οὐ κατὰ τὴν ἀναλογίαν ἐκείνην ἀλλὰ κατὰ τὴν ἀριθμητικήν. οὐθὲν γὰρ διαφέρει, εἰ ἐπιεικὴς φαῦλον ἀπεστέρησεν ἢ φαῦλος ἐπιεικῆ, οὐδ᾽ εἰ ἐμοίχευσεν ἐπιεικὴς ἢ φαῦλος· ἀλλὰ πρὸς τοῦ βλάβους τὴν διαφορὰν μόνον βλέπει ὁ νόμος καὶ χρῆται ὡς ἴσοις, εἰ ὁ μὲν ἀδικεῖ ὁ δ᾽ ἀδικεῖται καὶ εἰ ἔβλαψεν ὁ δὲ βέβλαπται. ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὂν ἰσάζειν πειρᾶται ὁ δικαστής.

a) Cf. Trendelenburg *Historische Beiträge* II, p. 356. — **b)** Haec argumentatio obscurior est et lectio turbata esse videtur. Tamen apparet tria distingui, bina opposita, inter quae est medium (*τινῶν*), personae (*τισίν, οἷς*) et res (*δυοῖν, ἐν οἷς*). De iustitia ubi quaeritur, personae tantum et res spectandae sunt, quia illa per se est non *μέσον*, verum *ἴσον*. — **c)** Hic aperte pronuntiatur quod in antecedentibus subintelligendum erat, sermonem esse de iustitia distribuente. — **d)** Dicit analogiam proportionis geometricae, quam sequitur iustitia distribuens; vide quae antecedunt.

Iustitiae species est aequitas, quae legibus, quippe quae singulis quibusque prospicere nequeant, interpretando singula recteque pensitando quasi subvenit ideoque etiam ipsa iustitia iustior esse dicitur, Eth. N. V, 14. *τό τε γὰρ ἐπιεικὲς δικαίου τινὸς ὂν βέλτιόν ἐστι δίκαιον, καὶ οὐχ ὡς ἄλλο τι γένος ὂν βέλτιόν ἐστι τοῦ δικαίου. ταὐτὸν ἄρα δίκαιον καὶ ἐπιεικές, καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν κρεῖττον τὸ ἐπιεικές. ποιεῖ δὲ τὴν ἀπορίαν ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ᾽ ἐπανόρθωμα νομίμου δικαίου. αἴτιον δ᾽ ὅτι ὁ μὲν νόμος καθόλου πᾶς, περὶ ἐνίων δ᾽ οὐχ οἷόν τε ὀρθῶς εἰπεῖν καθόλου. ἐν οἷς οὖν ἀνάγκη μὲν εἰπεῖν καθόλου, μὴ οἷόν τε δὲ ὀρθῶς, τὸ ὡς ἐπὶ τὸ πλέον λαμβάνει ὁ νόμος, οὐκ ἀγνοῶν τὸ ἁμαρτανόμενον. καὶ ἔστιν οὐδὲν ἧττον ὀρθῶς· τὸ γὰρ ἁμάρτημα οὐκ ἐν τῷ νόμῳ οὐδ᾽ ἐν τῷ νομοθέτῃ, ἀλλ᾽ ἐν τῇ φύσει τοῦ πράγματος ἐστιν· εὐθὺς γὰρ τοιαύτη ἡ τῶν πρακτῶν ὕλη ἐστίν. ὅταν οὖν λέγῃ μὲν ὁ νόμος καθόλου, συμβῇ δ᾽ ἐπὶ τούτου παρὰ τὸ καθόλου, τότε ὀρθῶς ἔχει, ἃ παραλείπει ὁ νομοθέτης καὶ ἥμαρτεν ἁπλῶς εἰπών, ἐπανορθοῦν τὸ ἐλλειφθέν. ὃ κἂν ὁ νομοθέτης αὐτὸς οὕτως ἂν εἴποι ἐκεῖ παρών, καὶ εἰ ᾔδει, ἐνομοθέτησεν ἄν. διὸ δίκαιον μέν ἐστι, καὶ βέλτιόν τινος δικαίου, οὐ τοῦ ἁπλῶς δὲ ἀλλὰ τοῦ διὰ τὸ ἁπλῶς ἁμαρτήματος. καὶ ἔστιν αὕτη ἡ φύσις ἡ τοῦ ἐπιεικοῦς, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου.*

Polit. I, 2. *Ἀνάγκη δὴ πρῶτον συνδυάζεσθαι τοὺς ἄνευ* 342
ἀλλήλων μὴ δυναμένους εἶναι, οἷον θῆλυ μὲν καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν (καὶ τοῦτο οὐκ ἐκ προαιρέσεως, ἀλλ' ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτό, τοιοῦτον καταλιπεῖν ἕτερον), ἄρχον δὲ φύσει καὶ ἀρχόμενον διὰ τὴν σωτηρίαν· τὸ μὲν γὰρ δυνάμενον τῇ διανοίᾳ προορᾶν ἄρχον φύσει καὶ δεσπόζον φύσει, τὸ δὲ δυνάμενον τῷ σώματι ταῦτα ποιεῖν ἀρχόμενον καὶ φύσει δοῦλον. διὸ δεσπότῃ καὶ δούλῳ ταὐτὸ συμφέρει. φύσει μὲν οὖν διώρισται τὸ θῆλυ καὶ τὸ δοῦλον. — — Ἐκ μὲν οὖν τούτων τῶν δύο κοινωνιῶν οἰκία πρώτη. — — ἡ δ' ἐκ πλειόνων οἰκιῶν κοινωνία πρώτη χρήσεως ἕνεκεν μὴ ἐφημέρου κώμη. — — ἡ δ' ἐκ πλειόνων κωμιῶν κοινωνία τέλειος πόλις, ἡ δὴ πάσης ἔχουσα πέρας τῆς αὐταρκείας ὡς ἔπος εἰπεῖν, γιγνομένη μὲν οὖν τοῦ ζῆν ἕνεκεν, οὖσα δὲ τοῦ εὖ ζῆν. διὸ πᾶσα πόλις φύσει ἐστίν, εἴπερ καὶ αἱ πρῶται κοινωνίαι· τέλος γὰρ αὕτη ἐκείνων, ἡ δὲ φύσις τέλος ἐστίν· οἷον γὰρ ἕκαστόν ἐστι τῆς γενέσεως τελεσθείσης, ταύτην φαμὲν τὴν φύσιν εἶναι ἑκάστου, ὥσπερ ἀνθρώπου, ἵππου, οἰκίας. ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος βέλτιστον· ἡ δ' αὐτάρκεια τέλος καὶ βέλτιστον. Ἐκ τούτων οὖν φανερὸν ὅτι τῶν φύσει ἡ πόλις ἐστί καὶ ὅτι ἄνθρωπος φύσει πολιτικὸν ζῷον, καὶ ὁ ἄπολις διὰ φύσιν καὶ οὐ διὰ τύχην ἤτοι φαῦλός ἐστιν ἢ κρείττων ἢ ἄνθρωπος. — — Φύσει μὲν οὖν ἡ ὁρμὴ ἐν πᾶσιν ἐπὶ τὴν τοιαύτην κοινωνίαν· ὁ δὲ πρῶτος συστήσας μεγίστων ἀγαθῶν αἴτιος. ὥσπερ γὰρ καὶ τελεωθὲν βέλτιστον τῶν ζῴων ἄνθρωπός ἐστιν, οὕτω καὶ χωρισθὲν νόμου καὶ δίκης χείριστον πάντων. χαλεπωτάτη γὰρ ἀδικία ἔχουσα ὅπλα· ὁ δ' ἄνθρωπος ὅπλα ἔχων φύεται φρονήσει καὶ ἀρετῇ, οἷς ἐπὶ τἀναντία ἔστι χρῆσθαι μάλιστα. διὸ ἀνοσιώτατον καὶ ἀγριώτατον ἄνευ ἀρετῆς, καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον. ἡ δὲ δικαιοσύνη πολιτικόν· ἡ γὰρ δίκη πολιτικῆς κοινωνίας τάξις ἐστίν· ἡ δὲ δίκη τοῦ δικαίου κρίσις.

Secundum Eth. Eud. VII, 10 homo non solum *ζῷον πολιτικὸν* est, sed etiam *οἰκονομικόν*, id quod etiam nostro loco significatur. De rebus domesticis disputatur in oeconomia. Pertinent illae ad bene vivendum, perinde atque civitas. Ars quaestuaria (*ἡ χρηματιστική*) eatenus tantum in oeconomia tractatur, quatenus haec illa utitur. Pol. I, 8; Oecon. I, 3. Connubium, cui adversus Platonem suffragatur, sicuti etiam proprietati singulorum, secundum Aristotelem non solum liberorum procreandorum causa initur, verum in mutua etiam benevolentia et praesidio positum est.

Oecon. I, 3. Pertinet hoc ad mores et ad virtutem. Ib. 4. *εὖ δ' ἔχει καὶ τὸ τοῦ Ἡσιόδου, παρθενικὴν δὲ γαμεῖν, ἵνα ἤθεα κεδνὰ διδάξῃς.* Eth. Nic. VIII, 14. *τοῖς μὲν οὖν ἄλλοις ἐπὶ τοσοῦτον ἡ κοινωνία ἐστίν, οἱ δ' ἄνθρωποι οὐ μόνον τῆς τεκνοποιίας χάριν συνοικοῦσιν, ἀλλὰ καὶ τῶν εἰς τὸν βίον· εὐθὺς γὰρ διῄρηται τὰ ἔργα, καὶ ἔστιν ἕτερα ἀνδρὸς καὶ γυναικός· ἐπαρκοῦσιν οὖν ἀλλήλοις, εἰς τὸ κοινὸν τιθέντες τὰ ἴδια. διὰ ταῦτα δὲ καὶ τὸ χρήσιμον εἶναι δοκεῖ καὶ τὸ ἡδὺ ἐν ταύτῃ τῇ φιλίᾳ. εἴη δ' ἂν καὶ δι' ἀρετήν, εἰ ἐπιεικεῖς εἶεν. ἔστι γὰρ ἑκατέρου ἀρετή, καὶ χαίροιεν ἂν τῷ τοιούτῳ.* Servitutem comprobat, ut Plato. Servus peculium ei esse videtur in rem domesticam necessarium. Pol. I, 4. Oecon. I, 5. *τῶν δὲ κτημάτων πρῶτον μὲν καὶ ἀναγκαιότατον τὸ βέλτιστον καὶ ἡγεμονικώτατον· τοῦτο δ' ἦν ἄνθρωπος· διὸ δεῖ πρῶτον δούλους παρασκευάζεσθαι σπουδαίους.* Ad servitutem nati sunt in quos convenientius est parere aliis quam semet ipsos regere. Pol. I, 5. *ἔστι γὰρ φύσει δοῦλος ὁ δυνάμενος ἄλλου εἶναι (διὸ καὶ ἄλλου ἐστίν) καὶ ὁ κοινωνῶν λόγου τοσοῦτον ὅσον αἰσθάνεσθαι ἀλλὰ μὴ ἔχειν.* Talis indoles praesertim in nationibus barbaris reperitur, Pol. I, 2, quum Graeci, quibus media inter septentrionales Europaeos et Asiaticos climata obtigerunt, soli sint ad vitam civilem idonei, Pol. VII, 7. *τὰ μὲν γὰρ ἐν τοῖς ψυχροῖς τόποις ἔθνη καὶ τὰ περὶ τὴν Εὐρώπην θυμοῦ μέν ἐστι πλήρη, διανοίας δὲ ἐνδεέστερα καὶ τέχνης· διόπερ ἐλεύθερα μὲν διατελεῖ μᾶλλον, ἀπολίτευτα δὲ καὶ τῶν πλησίον ἄρχειν οὐ δυνάμενα. τὰ δὲ περὶ τὴν Ἀσίαν διανοητικὰ μὲν καὶ τεχνικὰ τὴν ψυχήν, ἄθυμα δέ· διόπερ ἀρχόμενα καὶ δουλεύοντα διατελεῖ. τὸ δὲ τῶν Ἑλλήνων γένος ὥσπερ μεσεύει κατὰ τοὺς τόπους, οὕτως ἀμφοῖν μετέχει· καὶ γὰρ ἔνθυμον καὶ διανοητικόν ἐστι. διόπερ ἐλεύθερόν τε διατελεῖ καὶ βέλτιστα πολιτευόμενον καὶ δυνάμενον ἄρχειν πάντων, μιᾶς τυγχάνον πολιτείας.* Ad servitutem natos venari iusta belli causa est. Ib. I, 8. *ἡ γὰρ θηρευτικὴ μέρος αὐτῆς* (sc. *τῆς πολεμικῆς*), *ᾗ δεῖ χρῆσθαι πρός τε τὰ θηρία καὶ τῶν ἀνθρώπων ὅσοι πεφυκότες ἄρχεσθαι μὴ θέλουσιν, ὡς φύσει δίκαιον τοῦτον ὄντα τὸν πόλεμον.* Porro ad rem domesticam facit quae inter parentes ac liberos intercedit ratio. Liberi parentum imperio subditi sunt, verum ita ut parentes imperio suo ad liberorum utilitatem utantur. Diversae rei domesticae rationes et ordines cum diversis imperii gradibus, qui in civitate obtinent, comparantur. Pol. I, 12. 13. *ἄλλον γὰρ τρόπον τὸ ἐλεύθερον τοῦ δούλου ἄρχει καὶ τὸ ἄρρεν τοῦ θήλεος καὶ ἀνὴρ παιδός· καὶ πᾶσιν ἐνυπάρχει μὲν τὰ μόρια τῆς ψυχῆς, ἀλλ' ἐνυπάρχει διαφερόντως. ὁ μὲν γὰρ δοῦλος ὅλως οὐκ ἔχει τὸ βουλευτικόν, τὸ δὲ θῆλυ ἔχει μέν, ἀλλ' ἄκυρον· ὁ δὲ παῖς ἔχει μέν, ἀλλ' ἀτελές.* Eth. Nic. VIII, 12. *ἡ μὲν γὰρ πατρὸς πρὸς υἱεῖς κοινωνία βασιλείας ἔχει σχῆμα· τῶν τέκνων γὰρ τῷ πατρὶ μέλει. — — τυραννικὴ δὲ καὶ ἡ δεσπότου πρὸς δούλους. τὸ γὰρ τοῦ δεσπότου συμφέρον ἐν αὐτῇ πράττεται. — — ἀνδρὸς δὲ καὶ γυναικὸς ἀριστοκρατικὴ φαίνεται. κατ' ἀξίαν γὰρ ὁ ἀνὴρ ἄρχει, καὶ περὶ ταῦτα ἃ δεῖ τὸν ἄνδρα· ὅσα δὲ γυναικὶ ἁρμόζει, ἐκείνῃ ἀποδίδωσι. — τιμοκρατικῇ δ' ἔοικεν ἡ τῶν ἀδελφῶν· ἴσοι γάρ, πλὴν ἐφ' ὅσον ταῖς ἡλικίαις διαλλάττουσιν.* Eth. Eud. VII, 9. Familia sibimet ipsi ad bene vivendum sufficit. Pol. II, 2.

οἰκία μὲν γὰρ αὐταρκέστερον ἑνός, πόλις δ' οἰκίας· καὶ βούλεταί γ' ἤδη τότε εἶναι πόλις, ὅταν αὐτάρκη συμβαίνῃ τὴν κοινωνίαν εἶναι τοῦ πλήθους. Quod tamen non sic accipiendum, quasi civitas sit ubiubi reperiantur multi qui sibi sufficiant: constituitur enim civitas non propter vivendum, sed propter bene vivendum, Pol. III, 9. φανερὸν τοίνυν ὅτι ἡ πόλις οὐκ ἔστι κοινωνία τόπου καὶ τοῦ μὴ ἀδικεῖν σφᾶς αὐτοὺς καὶ τῆς μεταδόσεως χάριν, ἀλλὰ ταῦτα μὲν ἀναγκαῖον ὑπάρχειν, εἴπερ ἔσται πόλις, οὐ μὴν οὐδ' ὑπαρχόντων τούτων ἁπάντων ἤδη πόλις· ἀλλ' ἡ τοῦ εἶ ζῆν κοινωνία καὶ ταῖς οἰκίαις καὶ τοῖς γένεσι, ζωῆς τελείας χάριν καὶ αὐτάρκους. VII, 8. ἡ δὲ πόλις κοινωνία τίς ἐστι τῶν ὁμοίων, ἕνεκεν δὲ ζωῆς τῆς ἐνδεχομένης ἀρίστης.

Pol. VII, 4. Οὐ γὰρ οἷόν τε πολιτείαν γενέσθαι τὴν ἀρί- 343
στην ἄνευ συμμέτρου χορηγίας. διὸ δεῖ πολλὰ προϋποτεθεῖσθαι καθάπερ εὐχομένους, εἶναι μέντοι μηθὲν ταύτων ἀδύνατον. λέγω δὲ οἷον περί τε πλήθους πολιτῶν καὶ χώρας. ὥσπερ γὰρ καὶ τοῖς ἄλλοις δημιουργοῖς, οἷον ὑφάντῃ καὶ ναυπηγῷ, δεῖ τὴν ὕλην ὑπάρχειν ἐπιτηδείαν οὖσαν πρὸς τὴν ἐργασίαν, — — οὕτω καὶ τῷ πολιτικῷ καὶ τῷ νομοθέτῃ δεῖ τὴν οἰκείαν ὕλην ὑπάρχειν ἐπιτηδείως ἔχουσαν. ἔστι δὲ πολιτικῆς χορηγίας πρῶτον τό τε πλῆθος τῶν ἀνθρώπων, πόσους τε καὶ ποίους τινὰς ὑπάρχειν δεῖ φύσει, καὶ κατὰ τὴν χώραν ὡσαύτως, πόσην*) τε εἶναι καὶ ποίαν τινὰ ταύτην. — — οὐ γὰρ ταὐτὸν μεγάλη τε πόλις καὶ πολυάνθρωπος. ἀλλὰ μὲν καὶ τοῦτό γε ἐκ τῶν ἔργων φανερὸν ὅτι χαλεπόν, ἴσως δ' ἀδύνατον, εὐνομεῖσθαι τὴν λίαν πολυάνθρωπον. — — ὅ τε γὰρ νόμος τάξις τίς ἐστι, καὶ τὴν εὐνομίαν ἀναγκαῖον εὐταξίαν εἶναι, ὁ δὲ λίαν ὑπερβάλλων ἀριθμὸς οὐ δύναται μετέχειν τάξεως. — — δῆλον τοίνυν ὡς οὗτός ἐστι πόλεως ὅρος ἄριστος, ἡ μεγίστη τοῦ πλήθους ὑπερβολὴ πρὸς αὐτάρκειαν ζωῆς εὐσύνοπτος. Ib. 5. παραπλησίως δὲ καὶ τὰ περὶ τῆς χώρας ἔχει. Ib. 7. περὶ δὲ τοῦ πολιτικοῦ πλήθους, τίνα μὲν ὅρον ὑπάρχειν χρή, πρότερον εἴπομεν, ποίους δέ τινας τὴν φύσιν εἶναι δεῖ, νῦν λέγωμεν. — — φανερὸν τοίνυν ὅτι δεῖ διανοητικούς τε εἶναι καὶ θυμοειδεῖς τὴν φύσιν τοὺς μέλλοντας εὐαγώγους ἔσεσθαι τῷ νομοθέτῃ πρὸς τὴν ἀρετήν. Ib. 8. ἐπεὶ δ' ὥσπερ τῶν ἄλλων τῶν κατὰ φύσει συνεστώτων οὐ ταὐτά**) ἐστι μόρια τῆς ὅλης συστάσεως, ὧν ἄνευ

*) Ita Sylb. et Goettl.; Bekk. ὅσην. — **) Ita cod. V^{b} et Goettling. Bekk. ταὐτά ἐστι.

τὸ ὅλον οὐκ ἂν εἴη. δῆλον ὡς οὐδὲ πόλεως μέρη θετέον ὅσα ταῖς πόλεσιν ἀναγκαῖον ὑπάρχειν, οὐδ' ἄλλης κοινωνίας οὐδεμιᾶς, ἐξ ἧς ἕν τι τὸ γένος. ἓν γάρ τι καὶ κοινὸν εἶναι δεῖ καὶ ταὐτὸ τοῖς κοινωνοῖς, ἄν τε ἴσον ἄν τε ἄνισον μεταλαμβάνωσιν, οἷον εἴτε τροφὴ τοῦτό ἐστιν εἴτε χώρας πλῆθος εἴτ' ἄλλο τι τῶν τοιούτων ἐστίν. ὅταν δ' ᾖ τὸ μὲν τούτου ἕνεκεν τὸ δ' οὗ ἕνεκεν, οὐθὲν ἔν γε τούτοις κοινὸν ἀλλ' ἢ τῷ μὲν ποιῆσαι τῷ δὲ λαβεῖν. — — διὸ κτήσεως μὲν δεῖ ταῖς πόλεσιν, οὐδὲν δ' ἐστὶν ἡ κτῆσις μέρος τῆς πόλεως. πολλὰ δ' ἔμψυχα μέρη τῆς κτήσεώς ἐστιν. ἡ δὲ πόλις κοινωνία τίς ἐστι τῶν ὁμοίων[a], ἕνεκεν δὲ ζωῆς τῆς ἐνδεχομένης ἀρίστης. ἐπεὶ δ' ἐστὶν εὐδαιμονία τὸ ἄριστον, αὕτη δὲ ἀρετῆς ἐνέργεια καὶ χρῆσίς τις τέλειος, συμβέβηκε δὲ οὕτως ὥστε τοὺς μὲν ἐνδέχεσθαι μετέχειν αὐτῆς, τοὺς δὲ μικρὸν ἢ μηδέν, δῆλον ὡς τοῦτ' αἴτιον τοῦ γίγνεσθαι πόλεως εἴδη καὶ διαφορὰς καὶ πολιτείας πλείους· ἄλλον γὰρ τρόπον καὶ δι' ἄλλων ἕκαστοι τοῦτο θηρεύοντες τούς τε βίους ἑτέρους ποιοῦνται καὶ τὰς πολιτείας. Ib. 9. Ἐπεὶ δὲ τυγχάνομεν σκοποῦντες περὶ τῆς ἀρίστης πολιτείας, αὕτη δ' ἐστὶ καθ' ἣν ἡ πόλις ἂν εἴη μάλιστ' εὐδαίμων, τὴν δ' εὐδαιμονίαν ὅτι χωρὶς ἀρετῆς ἀδύνατον ὑπάρχειν εἴρηται πρότερον, φανερὸν ἐκ τούτων ὡς ἐν τῇ κάλλιστα πολιτευομένῃ πόλει καὶ τῇ κεκτημένῃ δικαίους ἄνδρας ἁπλῶς, ἀλλὰ μὴ πρὸς τὴν ὑπόθεσιν[b], οὔτε βάναυσον βίον οὔτ' ἀγοραῖον δεῖ ζῆν τοὺς πολίτας· ἀγεννὴς γὰρ ὁ τοιοῦτος βίος καὶ πρὸς ἀρετὴν ὑπεναντίος. οὐδὲ δὴ γεωργοὺς εἶναι τοὺς μέλλοντας ἔσεσθαι· δεῖ γὰρ σχολῆς καὶ πρὸς τὴν γένεσιν τῆς ἀρετῆς καὶ πρὸς τὰς πράξεις τὰς πολιτικάς. ἐπεὶ δὲ καὶ τὸ πολεμικὸν καὶ τὸ βουλευόμενον περὶ τῶν συμφερόντων καὶ κρῖνον περὶ τῶν δικαίων ἐνυπάρχει καὶ μέρη φαίνεται τῆς πόλεως μάλιστα ὄντα, πότερον ἕτερα καὶ ταῦτα θετέον ἢ τοῖς αὐτοῖς ἀποδοτέον ἄμφω; φανερὸν δὲ καὶ τοῦτο, διότι τρόπον μέν τινα τοῖς αὐτοῖς, τρόπον δέ τινα καὶ ἑτέροις. ᾗ μὲν γὰρ ἑτέρας ἀκμῆς ἑκάτερον τῶν ἔργων, καὶ τὸ μὲν δεῖται φρονήσεως τὸ δὲ δυνάμεως, ἑτέροις· ᾗ δὲ τῶν ἀδυνάτων ἐστὶ τοὺς δυναμένους βιάζεσθαι καὶ κωλύειν, τούτους ὑπομένειν ἀρχομένους ἀεί, ταύτῃ δὲ τοῖς αὐτοῖς· οἱ γὰρ τῶν ὅπλων κύριοι καὶ μένειν ἢ μὴ μένειν κύριοι τὴν πολιτείαν. λείπεται τοίνυν τοῖς αὐτοῖς μὲν ἀμφοτέροις ἀποδιδόναι τὴν πολιτείαν ταύτην, μὴ ἅμα δέ, ἀλλ' ὥσπερ πέφυκεν ἡ μὲν δύναμις ἐν νεωτέροις, ἡ δὲ φρόνησις ἐν πρεσβυτέροις εἶναι. οὐκοῦν οὕτως ἀμφοῖν νενεμῆσθαι

συμφέρει καὶ δίκαιόν ἐστιν*) · ἔχει γὰρ αὕτη ἡ διαίρεσις τὸ κατ᾽ ἀξίαν. ἀλλὰ μὴν καὶ τὰς κτήσεις δεῖ εἶναι περὶ τούτους · ἀναγκαῖον γὰρ εὐπορίαν ὑπάρχειν τοῖς πολίταις, πολῖται δὲ οὗτοι. τὸ γὰρ βάναυσον οὐ μετέχει τῆς πόλεως, οὐδ᾽ ἄλλο οὐθὲν γένος ὃ μὴ τῆς ἀρετῆς δημιουργόν ἐστιν. τοῦτο δὲ δῆλον ἐκ τῆς ὑποθέσεως · τὸ μὲν γὰρ εὐδαιμονεῖν ἀναγκαῖον ὑπάρχειν μετὰ τῆς ἀρετῆς, εὐδαίμονα δὲ πόλιν οὐκ εἰς μέρος τι βλέψαντας δεῖ λέγειν αὐτῆς, ἀλλ᾽ εἰς πάντας τοὺς πολίτας. φανερὸν δὲ καὶ ὅτι δεῖ τὰς κτήσεις εἶναι τούτων, εἴπερ ἀναγκαῖον εἶναι τοὺς γεωργοὺς δούλους ἢ βαρβάρους ἢ περιοίκους[c]. λοιπὸν δ᾽ ἐκ τῶν καταριθμηθέντων[d] τὸ τῶν ἱερέων γένος. φανερὰ δὲ καὶ ἡ τούτων τάξις. οὔτε γὰρ γεωργὸν οὔτε βάναυσον ἱερέα καταστατέον · ὑπὸ γὰρ τῶν πολιτῶν πρέπει τιμᾶσθαι τοὺς θεούς · ἐπεὶ δὲ διῄρηται τὸ πολιτικὸν εἰς δύο μέρη, τοῦτ᾽ ἔστι τό τε ὁπλιτικὸν καὶ τὸ βουλευτικόν, πρέπει δὲ τήν τε θεραπείαν ἀποδιδόναι τοῖς θεοῖς καὶ τὴν ἀνάπαυσιν ἔχειν περὶ αὐτοὺς τοὺς διὰ τὸν χρόνον ἀπειρηκότας, τούτους ἂν εἴη ταῖς ἱερωσύναις ἀποδοτέον. ὧν μὲν τοίνυν ἄνευ πόλις οὐ συνίσταται, καὶ ὅσα μέρη πόλεως, εἴρηται. γεωργοὶ μὲν γὰρ καὶ τεχνῖται καὶ πᾶν τὸ θητικὸν ἀναγκαῖον ὑπάρχειν ταῖς πόλεσι, μέρη δὲ τῆς πόλεως τό τε ὁπλιτικὸν καὶ βουλευτικόν. καὶ κεχώρισται δὴ τούτων ἕκαστον, τὸ μὲν ἀεί, τὸ δὲ κατὰ μέρος.

a) Pares sunt ad quos par competit rerum administrandarum cura; cf. Pol. III, 6 extr. — **b)** Cf. Pol. III, 5. ἐπεὶ οὐδ᾽ οἱ παῖδες ὡσαύτως πολῖται καὶ οἱ ἄνδρες, ἀλλ᾽ οἱ μὲν ἁπλῶς, οἱ δ᾽ ἐξ ὑποθέσεως. — **c)** Aliis locis agricolas et opifices cives esse posse concedit, sed reiicit eos ad cives ἀτελεῖς, h. e. cum quibus iure quidem agi possit, sed qui a iudiciis et consiliis omnibus secludendi videantur. Pol. III, 1. 5. — **d)** Sc. ex iis quae capite priore enumerabantur.

Breviter adumbravimus quae Aristoteli ad externas optimae civitatis condiciones necessaria esse videbantur; de quibus accuratius disputatur in iis, quae a nobis ommissa sunt. Sed illae condiciones cum non ubique tales quales ille postulat reperiantur, concedit diversas civitatium formas esse convenire, quas debeat spectare politicus, quod etiam eo loco quem nos apposuimus significatur extremo. Magna politicae pars in eo versatur, ut diversis quae possint existere civitatibus suae cuique leges et instituta praecipiantur. — {De optima civitate et de fundamento divisionis quo reliquae determinantur cf. quae ostendi in libello *die Aristot. Eintheilung der Verfassungen 1859. W. Weber Berlin.*}

*) Vulg. πρεσβυτέροις ἐστίν. — — δίκαιον εἶναι Corr. Bekk.

344 Pol. III, 6. *Ἐπεὶ δὲ ταῦτα διώρισται, τὸ μετὰ ταῦτα σκεπτέον πότερον μίαν θετέον πολιτείαν ἢ πλείους, κἂν εἰ πλείους, τίνες καὶ πόσαι, καὶ διαφοραὶ τίνες αὐτῶν εἰσίν. ἔστι δὲ πολιτεία πόλεως τάξις τῶν τε ἄλλων ἀρχῶν καὶ μάλιστα τῆς κυρίας πάντων*[a]. — — *Φανερὸν τοίνυν ὡς ὅσαι μὲν πολιτεῖαν τὸ κοινῇ συμφέρον σκοποῦσιν, αὗται μὲν ὀρθαὶ τυγχάνουσιν οὖσαι κατὰ τὸ ἁπλῶς δίκαιον, ὅσαι δὲ τὸ σφέτερον μόνον τῶν ἀρχόντων, ἡμαρτημέναι πᾶσαι καὶ παρεκβάσεις**) *τῶν ὀρθῶν πολιτειῶν· δεσποτικαὶ γάρ, ἡ δὲ πόλις κοινωνία τῶν ἐλευθέρων ἐστίν.* Ib. 7. *διωρισμένων δὲ τούτων ἐχόμενόν ἐστι τὰς πολιτείας ἐπισκέψασθαι, πόσαι τὸν ἀριθμὸν καὶ τίνες εἰσί, καὶ πρῶτον τὰς ὀρθὰς αὐτῶν· καὶ γὰρ αἱ παρεκβάσεις ἔσονται φανεραὶ τούτων διορισθεισῶν. ἐπεὶ δὲ πολιτεία μὲν καὶ πολίτευμα σημαίνει ταὐτόν, πολίτευμα δ' ἐστὶ τὸ κύριον τῶν πόλεων, ἀνάγκη δ' εἶναι κύριον ἢ ἕνα ἢ ὀλίγους ἢ τοὺς πολλούς, ὅταν μὲν ὁ εἷς ἢ οἱ ὀλίγοι ἢ οἱ πολλοὶ πρὸς τὸ κοινὸν συμφέρον ἄρχωσι, ταύτας μὲν ὀρθὰς ἀναγκαῖον εἶναι τὰς πολιτείας, τὰς δὲ πρὸς τὸ ἴδιον ἢ τοῦ ἑνὸς ἢ τῶν ὀλίγων ἢ τοῦ πλήθους παρεκβάσεις· ἢ γὰρ οὐ πολίτας φατέον εἶναι τοὺς μετέχοντας, ἢ δεῖ κοινωνεῖν τοῖ συμφέροντος. καλεῖν δ' εἰώθαμεν τῶν μὲν μοναρχιῶν τὴν πρὸς τὸ κοινὸν ἀποβλέπουσαν συμφέρον βασιλείαν, τὴν δὲ τῶν ὀλίγων μὲν πλειόνων δ' ἑνὸς ἀριστοκρατίαν, ἢ διὰ τὸ τοὺς ἀρίστους ἄρχειν, ἢ διὰ τὸ πρὸς τὸ ἄριστον τῇ πόλει καὶ τοῖς κοινωνοῦσιν αὐτῆς. ὅταν δὲ τὸ πλῆθος πρὸς τὸ κοινὸν πολιτεύηται συμφέρον, καλεῖται τὸ κοινὸν ὄνομα πασῶν τῶν πολιτειῶν, πολιτεία. συμβαίνει δ' εὐλόγως· ἕνα μὲν γὰρ διαφέρειν κατ' ἀρετὴν ἢ ὀλίγους ἐνδέχεται, πλείους δ' ἤδη χαλεπὸν ἠκριβῶσθαι πρὸς πᾶσαν ἀρετήν, ἀλλὰ μάλιστα τὴν πολεμικήν· αὕτη γὰρ ἐν πλήθει γίγνεται. διόπερ κατὰ ταύτην τὴν πολιτείαν κυριώτατον τὸ προπολεμοῦν, καὶ μετέχουσιν αὐτῆς οἱ κεκτημένοι τὰ ὅπλα*[b]. *παρεκβάσεις δὲ τῶν εἰρημένων τυραννὶς μὲν βασιλείας, ὀλιγαρχία δὲ ἀριστοκρατίας, δημοκρατία δὲ πολιτείας, ἡ μὲν γὰρ τυραννίς ἐστι μοναρχία πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος, ἡ δ' ὀλιγαρχία πρὸς τὸ τῶν εὐπόρων, ἡ δὲ δημοκρατία πρὸς τὸ συμφέρον τὸ τῶν ἀπόρων· πρὸς δὲ τὸ τῷ κοινῷ λυσιτελοῦν οὐδεμία αὐτῶν.* Ib. 17. *Βασιλευτὸν μὲν οὖν τὸ τοιοῦτόν ἐστι πλῆθος*

---

*) Codd. I[b]. P. 1. 2. 3. *ἡμαρτημέναι καὶ πᾶσαι παρεκβάσεις*, et ita Goettl. et Stahr.

ὃ πέφυκε φέρειν γένος ὑπερέχον κατ᾽ ἀρετὴν πρὸς ἡγεμονίαν πολιτικήν, ἀριστοκρατικὸν δὲ [πλῆθος ὃ πέφυκε φέρειν] πλῆθος ἄρχεσθαι δυνάμενον*) τὴν τῶν ἐλευθέρων ἀρχὴν ὑπὸ τῶν κατ᾽ ἀρετὴν ἡγεμονικῶν πρὸς πολιτικὴν ἀρχήν, πολιτικὸν δὲ πλῆθος ἐν ᾧ πέφυκε [καὶ ἓν] ἐγγίγνεσθαι πλῆθος πολεμικὸν δυνάμενον ἄρχεσθαι καὶ ἄρχειν κατὰ νόμον τὸν κατ᾽ ἀξίαν διανέμοντα τοῖς εὐπόροις[c] τὰς ἀρχάς. Ib. IV, 8. Δοκεῖ δὲ ἀριστοκρατία μὲν εἶναι μάλιστα τὸ τὰς τιμὰς νενεμῆσθαι κατ᾽ ἀρετήν· ἀριστοκρατίας μὲν γὰρ ὅρος ἀρετή[d], ὀλιγαρχίας δὲ πλοῦτος, δήμου δ᾽ ἐλευθερία. — — Ἐπεὶ δὲ τρία ἐστὶ τὰ ἀμφισβητοῦντα τῆς ἰσότητος τῆς πολιτείας, ἐλευθερία, πλοῦτος, ἀρετὴ (τὸ γὰρ τέταρτον, ὃ καλοῦσιν εὐγένειαν, ἀκολουθεῖ τοῖς δυσίν· ἡ γὰρ εὐγένειά ἐστιν ἀρχαῖος πλοῦτος καὶ ἀρετή) φανερὸν ὅτι τὴν μὲν τοῖν δυοῖν μῖξιν, τῶν εὐπόρων, καί τῶν ἀπόρων, πολιτείαν λεκτέον, τὴν δὲ τῶν τριῶν ἀριστοκρατίαν μάλιστα τῶν ἄλλων παρὰ τὴν ἀληθινὴν καὶ πρώτην.

a) Pol. IV, 14. Ἔστι δὴ τρία μόρια τῶν πολιτειῶν πασῶν. — — ἔστι δὲ τῶν τριῶν τούτων ἓν μέν τι τὸ βουλευόμενον περὶ τῶν κοινῶν, δεύτερον δὲ τὸ περὶ τὰς ἀρχὰς (τοῦτο δ᾽ ἐστὶν ἅς δεῖ καὶ τίνων εἶναι κυρίας, καὶ ποίαν τινὰ δεῖ γίγνεσθαι τὴν αἵρεσιν αὐτῶν), τρίτον δὲ τί τὸ δικάζον. κύριον δ᾽ ἐστὶ τὸ βουλευόμενον περὶ πολέμου καὶ εἰρήνης καὶ συμμαχίας καὶ διαλύσεως, καὶ περὶ νόμων, καὶ περὶ θανάτου καὶ φυγῆς καὶ δημεύσεως, καὶ τῶν εὐθυνῶν. — **b)** *Πολιτεία* per excellentiam dicitur ubi id quod difficillimum est efficitur, ut maior civium numerus virtute emineat, quae virtus solet esse bellica, cf. quae citantur ex Pol. III, 17. πολιτικὸν πλῆθος ἐν ᾧ πέφυκε ἐγγίγνεσθαι πλῆθος πολεμικόν. — **c)** *Εὔποροι* sunt etiam οἱ κεκτημένοι τὰ ὅπλα, v. n. 343. Pol. VII, 9. Quocirca politica nonnunquam et timocratia appellatur, Eth. Nic. VIII, 12, quamquam alio loco Rhet. I, 8, eodem nomine dicuntur oligarchia et timocratia, et ad universam quidem rationem rectius. — **d)** Pro ἀρετὴ aliis locis ponitur παιδεία, v. Pol. IV, 12, p. 1296 b, l. 18. Apparet nostro loco aristocratiam alia significatione appellari atque Pol. III, 6, sicuti etiam in sequentibus prima et vera aristocratia distinguitur ab ea quam dicit ἀριστοκρατίαν μάλιστα τῶν ἄλλων. Vera autem s. optima aristocratia est ea civitas, quam gubernat virtus. Pol. IV, 2. 3. ἀληθέστερον δὲ καὶ βέλτιον ὡς ἡμεῖς διείλομεν, δυοῖν ἢ μιᾶς οὔσης τῆς καλῶς συνεστηκυίας (sc. πολιτείας) τὰς ἄλλας εἶναι παρεκβάσεις, τὰς μὲν τῆς εὖ κεκραμένης ἁρμονίας, τὰς δὲ τῆς ἀρίστης πολιτείας, ὀλιγαρχικὰς μὲν τὰς συντονωτέρας καὶ δεσποτικωτέρας, τὰς δ᾽ ἀνειμένας καὶ μαλακὰς

*) Delenda videntur quae uncinis inclusimus.

δημοτικάς: quo loco populare imperium cum cautione tantum inter bonas civitates numeratur (propterea quod illud non universam virtutem fovet, sed nonnisi bellicam), aristocratia autem et regnum ad unum optimae civitatis genus revocantur. Omnino Aristoteles regno favet, quia in hac una forma virtus excellens id quo digna sit assequi et ad supremam potentiam eniti possit: ideoque regnum diserte optima civitas esse dicitur, Eth. Nic. VIII, 12; Pol. IV, 2. Aristocratiam quae vulgo dicitur eam civitatem intelligit, in qua tria illa, quibus hominis dignitas aestimatur, in honoribus distribuendis respiciantur, libertas et divitiae et virtus; politiam, in qua divitiae non spectentur, sed virtus tantum et libertas, ut pauperes et divites promiscue ad rempublicam administrandam admittantur, id quod probatur Aristoteli, Pol. IV, 12; cf. ib. 3, qui locus laudatur supra, ubi *ἡ εὖ κεκραμένη ἁρμονία* respicit politiam.

345 Pol. IV, 11. *Τίς δ' ἀρίστη πολιτεία καὶ τίς ἄριστος βίος ταῖς πλείσταις πόλεσι καὶ τοῖς πλείστοις τῶν ἀνθρώπων, μήτε πρὸς ἀρετὴν συγκρίνουσι τὴν ὑπὲρ τοὺς ἰδιώτας, μήτε πρὸς παιδείαν ἣ**) *φύσεως δεῖται καὶ χορηγίας τυχηρᾶς, μήτε πρὸς πολιτείαν τὴν κατ' εὐχὴν γιγνομένην, ἀλλὰ βίον τε τὸν τοῖς πλείστοις κοινωνῆσαι δυνατὸν καὶ πολιτείαν ἧς τὰς πλείστας πόλεις ἐνδέχεται μετασχεῖν; — — ἡ δὲ δὴ κρίσις περὶ ἁπάντων τούτων ἐκ τῶν αὐτῶν στοιχείων ἐστίν. εἰ γὰρ καλῶς ἐν τοῖς ἠθικοῖς εἴρηται τὸ τὸν εὐδαίμονα βίον εἶναι τὸν κατ' ἀρετὴν ἀνεμπόδιστον, μεσότητα δὲ τὴν ἀρετήν, τὸν μέσον ἀναγκαῖον βίον εἶναι βέλτιστον, τῆς ἑκάστοις ἐνδεχομένης τυχεῖν μεσότητος. τοὺς δὲ αὐτοὺς τούτους ὅρους ἀναγκαῖον εἶναι καὶ πόλεως ἀρετῆς καὶ κακίας καὶ πολιτείας· ἡ γὰρ πολιτεία βίος τίς ἐστι πόλεως. ἐν ἁπάσαις δὴ ταῖς πόλεσίν ἐστι τρία μέρη τῆς πόλεως, οἱ μὲν εὔποροι σφόδρα, οἱ δὲ ἄποροι σφόδρα, οἱ δὲ τρίτοι οἱ μέσοι τούτων. ἐπεὶ τοίνυν ὁμολογεῖται τὸ μέτριον ἄριστον καὶ τὸ μέσον, φανερὸν ὅτι καὶ τῶν εὐτυχημάτων ἡ κτῆσις ἡ μέση βελτίστη πάντων· ῥᾷστη γὰρ τῷ λόγῳ πειθαρχεῖν· ὑπέρκαλον δὲ ἢ ὑπερίσχυρον ἢ ὑπερευγενῆ ἢ ὑπερπλούσιον, ἢ τἀναντία τούτοις, ὑπέρπτωχον ἢ ὑπερασθενῆ καὶ σφόδρα ἄτιμον, χαλεπὸν τῷ λόγῳ ἀκολουθεῖν. — — Δῆλον ἄρα ὅτι καὶ ἡ κοινωνία ἡ πολιτικὴ ἀρίστη ἡ διὰ τῶν μέσων, καὶ τὰς τοιαύτας ἐνδέχεται εὖ πολιτεύεσθαι πόλεις ἐν αἷς δὴ πολὺ τὸ μέσον, καὶ κρεῖττον μάλιστα μὲν ἀμφοῖν, εἰ δὲ μή, θατέρου μέρους· προστιθέμενον γὰρ ποιεῖ ῥοπὴν καὶ κωλύει γίγνεσθαι τὰς*

*) Vulg. ἃ.

Cf. Histor. III, 81. *Musonius Rufus equestris ordinis, studium philosophiae et placita Stoicorum aemulatus.* Patria erat Volsiniensis; quae Tacitus narrat, pertinent ad tempora Neronis. Postea Titum instituebat, ut constet eum ad Vespasianum usque superstitem fuisse; cf. Themist. Orat. XIII, p. 173 ed. Hard.; Dio Cass. LXVI, 13; Suid. s. v. *Μουσώνιος*. Ex scriptis, quae ei a Suida tribuuntur, epistolae ad Apollonium Tyanensem scriptae adulterinae sunt; de ceteris non liquet. De placitis constat ex fragmentis Claudii Pollionis, qui ediderat *ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου*, Suid. s. v. *Πωλίων*, Plin. Epp. VII, 31; Stob. Floril. App. p. 385 c. not. Wytt.: unde Stobaeus sua Musonii lemmata sumsisse videtur. Pollionis enim liber et titulo et argumento in similitudinem Memorabilium Xenophontis compositus erat; utrumque postea imitatus est Arrianus in dissertationibus Epicteti.

Musonius ap. Stob. Floril. LVI, 18. *Τί δέ; οὐ δεινόν,* 465 *φαίη τις ἂν ἴσως, ἄνδρα παιδευτικὸν καὶ δυνάμενον προβιβάζειν νέους εἰς φιλοσοφίαν ἐργάζεσθαι γῆν καὶ τῷ σώματι πονεῖν τοῖς χωρίταις παραπλησίως; ναί. δεινὸν γὰρ ἂν τοῦτο τῷ ὄντι ἦν, εἴπερ ἐκώλυεν ἡ ἐργασία τῆς γῆς φιλοσοφεῖν ἢ ἄλλους πρὸς φιλοσοφίαν ὠφελεῖν. νῦν δὲ καὶ μᾶλλον ἄν μοι δοκοῦσιν ὠφελεῖσθαι οἱ νέοι οὐκ ἐν πόλει τῷ διδασκάλῳ συνόντες οὐδ' ἐν τῇ διατριβῇ ἀκούοντες αὐτοῦ λέγοντος, ἀλλ' ἐργαζόμενον ἐπὶ τῆς ἀργοικίας ὁρῶντες καὶ ἔργῳ ἐνδεικνύμενον ἅπερ ὑφηγεῖται ὁ λόγος, ὅτι χρὴ πονεῖν καὶ κακοπαθεῖν τῷ σώματι μᾶλλον ἢ ἑτέρου δεῖσθαι τοῦ τρέφοντος. τί δὲ τὸ κωλύον ἐστὶ καὶ ἐργαζόμενον μετὰ τοῦ διδασκάλου τὸν μαθητὴν ἀκούειν τι ἅμα περὶ σωφροσύνης ἢ δικαιοσύνης ἢ καρτερίας λέγοντος; πολλῶν μὲν γὰρ λόγων οὐ δεῖ τοῖς φιλοσοφήσουσι καλῶς, οὐδὲ τὸν ὄχλον τούτων τῶν θεωρημάτων ἀναληπτέον πάντως τοῖς νέοις, ἐφ' ᾧ φυσωμένους τοὺς σοφιστὰς ὁρῶμεν· ταῦτα γὰρ δὴ τῷ ὄντι ἱκανὰ κατατρῖψαι βίον ἀνθρώπου ἐστί· τὰ δ' ἀναγκαιότατα καὶ χρησιμώτατα μαθεῖν οὐκ ἀδύνατον καὶ πρὸς ἐργασίᾳ γεωργικῇ ὄντας, ἄλλως τε καὶ οἳ διὰ παντὸς ἐργασομένους ἀλλ' ἀναπαύλαις χρησομένους.*

Est hic locus ex laudatione agriculturae sumtus, quod vitae genus Musonio maxime ad philosophandum accommodatum esse videbatur. Hic philosophandum esse nonnisi propter vitam agendam existimabat, omnem scientiam inutilem esse nisi quae moribus vitaeque inserviret. Stob. Flor. LXVII, 20 extr. *οὐ γὰρ δὴ φιλοσοφεῖν ἕτερόν τι φαίνεται ὂν ἢ τὸ ἃ πρέπει καὶ ἃ προσήκει λόγῳ μὲν ἀναζητεῖν, ἔργῳ δὲ πράττειν.* Ib. Append. p. 419. *Φιλοσοφία καλοκἀγαθίας ἐστὶν ἐπιτήδευσις καὶ οὐδὲν ἕτερον.* Ib. p. 427. *ἀλλὰ καὶ οσους μεταχειρίζονται λόγους, τῶν ἔργων φημὶ δεῖν ἕνεκα μεταχειρίζεσθαι αὐτούς,* ubi et viros et feminas ut philosophentur adhortatur, quia sine philosophia virtutem non possint sequi. Stob. Flor. App. p. 415. 425; LXXIX, 51. *ἵνα δὲ συντεμὼν εἴπω, ἀγαθὸν εἶναι κελεύει τὸν ἄνθρωπον ὁ νόμος ὁ τοῦ Διός. τὸ δέ γε εἶναι ἀγαθὸν τῷ φιλόσοφον εἶναι ταὐτόν ἐστιν.* Nam recentiores Stoici sapientiam et virtutem se assequi posse minime diffidebant, cf. Stob. Flor. CXVII, 8. Confidentius etiam quam Musonius Seneca Ep. 41, 8. *Quid est autem quod ab illo* (sc. homine) *ratio haec exigit? rem facillimam, secundum naturam suam vivere. Sed hanc difficilem facit communis insania.*

c. Epictetus.

Suid. *Ἐπίκτητος Ἱεραπόλεως τῆς Φρυγίας, φιλόσοφος,* 466 *δοῦλος δὲ Ἐπαφροδίτου, τῶν σωματοφυλάκων τοῦ βασιλέως*

Νέρωνος. πηρωθεὶς δὲ τὸ σκέλος ὑπὸ ῥεύματος[a] *ἐν Νικοπόλει τῆς νέας Ἠπείρου ᾤκησε*[b]. *καὶ διατείνας μέχρι Μάρκου Ἀντωνίου ἔγραψε πολλά*[c].

a) Occasio, qua membra fregerit, ab aliis alia narratur; Simpl. in Epict. Ench. p. 102 ed. Heins.; Orig. c. Cels. VII, 7, p. 368 Spenc. Ipsius Epicteti hi versus a Gellio Noct. Att. II, 18 proferuntur:

δοῦλος Ἐπίκτητος γενόμην καὶ σώματι πηρός
καὶ πενίην Ἴρος καὶ φίλος ἀθανάτοις.

b) Prius Romae docuerat, libertate nescimus quo pacto recuperata. Roma expellebatur sub Domitiano; Gell. Noct. Att. XV, 11. *Etiam Domitiano imperante senatus consulto eiecti atque urbe et Italia interdicti sunt* (sc. philosophi). *Qua tempestate Epictetus quoque philosophus propter id senatus consultum Nicopolim Roma decessit;* cf. Sueton. Domit. 10. Romae audierat Musonium; Arrian. Diss. Epictet. I, 7, 32; 9, 29. Nicopoli audiebatur ab Arriano; ib. Praef.; II, 6, 20. — **c)** Quod narratur a Nerone usque ad M. Antonium vixisse vix congruit cum temporum ratione. Neque Hadriani tempora facile attigerit, quod indicare videtur Spartian. V. Hadr. 16, cum Arrianus, qui dissertationes Epicteti edidit post mortem huius, in hoc opere de solo Traiano commemoret. Denique commentum quod multa scripsisse dicitur, quibus indicari videntur sermones ex ore senis ab Arriano excepti scriptoque mandati. Qui liber, quantum exstat, et Manuale Epicteti, ab eodem Arriano ut videtur editum, unicus fons sunt ex quo possit de placitis Epicteteis iudicari. V. Schweighaeuser, Epicteteae Philosophiae Monumenta. III Tomm. Lips. 1769.

467 Epict. Man. c. 52. *Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ ὁ τῆς χρήσεως τῶν θεωρημάτων, οἷον ὁ τοῦ μὴ ψεύδεσθαι. ὁ δεύτερος ὁ τῶν ἀποδείξεων, οἷον πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι; τρίτος ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ διαρθρωτικός, οἷον πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον, ὁ δὲ ἀναγκαιότατος καὶ ὅπου ἀναπαύεσθαι δεῖ ὁ πρῶτος*[a]. *ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή, τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν· πῶς δὲ ἀποδείκνυται ὅτι οὐ δεῖ ψεύδεσθαι πρόχειρον ἔχομεν*[b].

a) Primum locum apparet ethicam obtinuisse, tertium logicam, secundum igitur physicam, quae Stoicorum iudicio praeparabat ethicam, physicas in quibus haec innitebatur rationes explicans; quae a recentioribus Stoicis ceteris partibus non modo postponebatur, sed contemnebatur atque omnino negligebatur. Quod ad Epictetum attinet, laudatur

quidem ab eo providentia dei, ut qua omnia apte et congruenter ordinata sint atque disposita, sed fugit diligentius de illa quaerere singulis naturae rebus cum cura ac studio examinandis. Dissert. I, 16. *Μέγας ὁ θεός, ὅτι ἡμῖν παρέσχεν ὄργανα τοιαῦτα, δι' ὧν τὴν γῆν ἐργασόμεθα· μέγας ὁ θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν. ταῦτα ἐφ' ἑκάστου ἐφυμνεῖν ἔδει καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκε τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρησικήν. τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλός, εἰ μὴ ὑμνεῖν τὸν θεόν; εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν τὰ τῆς ἀηδόνος, εἰ κύκνος, τὰ τοῦ κύκνου· νῦν δὲ λογικός εἰμι, ὑμνεῖν με δεῖ τὸν θεόν.* Cf. ib. 6. Sed ethicam Stoici recentiores non tam in praeceptis ponebant quam in factis, *ἐν τῇ χρήσει τῶν θεωρημάτων.* Factis quemque oportere se philosophiam penitus hausisse ostendere. Ib. I, 4; Man. 46. *Ἐπεὶ καὶ τὰ πρόβατα οὐ τὸν χόρτον ἐξεμέσαντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα ἔριον ἔξω φέρει καὶ γάλα. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.* Quid quod theoremata fere superflua esse putabat, quandoquidem vel ipsa natura vel exercitatio in iis quae naturae convenirent factitandis satis bene quemque, quid ipsi agendum, quae partes suscipiendae essent, edocere posset. Diss. I, 2. *Ἐπύθετό τις πόθεν οὖν αἰσθησόμεθα τοῦ κατὰ πρόσωπον ἕκαστος; πόθεν δ' ὁ ταῦρος, ἔφη, λέοντος ἐπελθόντος μόνος αἰσθάνεται τῆς αὑτοῦ παρασκευῆς καὶ προβέβληκεν ἑαυτὸν ὑπὲρ τῆς ἀγέλης πάσης; ἢ δῆλον ὅτι εὐθὺς ἅμα τῷ τὴν παρασκευὴν ἔχειν ἀπαντᾷ καὶ συναίσθησις αὐτῆς. καὶ ἡμῶν τοίνυν ὅστις ἂν ἔχῃ τοιαύτην παρασκευὴν οὐκ ἀγνοήσει αὐτήν· ἄφνω δὲ ταῦρος οὐ γίγνεται οὐδὲ γενναῖος ἄνθρωπος· ἀλλὰ δεῖ χειμασκῆσαι, παρασκευάσασθαι καὶ μὴ εἰκῇ προσπηδᾶν ἐπὶ τὰ μηδὲν προσήκοντα.* — **b)** Non semel queritur Stoicos sibi aequales inanes disceptationes sectari; v. imprimis Diss. II, 12: unde collegeris alios eadem aetate exstitisse, qui theoreticam potius Stoicae philosophiae partem foverent.

Man. 1. *Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ* 468
ἐφ' ἡμῖν· ἐφ' ἡμῖν μὲν ὑπόληψις, ὁρμή, ὄρεξις, ἔκκλισις, καὶ ἐνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα[a], *οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαί, καὶ ἐνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα. καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστὶ φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιστα, τὰ δ' οὐκ ἐφ' ἡμῖν ἀσθενῆ, δοῦλα, κωλυτά, ἀλλότρια. μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους. ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστίν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινί, ἄκων πράξεις*

οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις, οὐδὲ γὰρ βλαβερόν τι πείσῃ[b]. *τηλικούτων οὖν ἐφιέμενος μέμνησο ὅτι οὐ δεῖ οὐδὲ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρόν. ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίγνεται*[c].

a) Opera interna puta, quod colligitur ex exemplo et contrario. Eadem sunt *προαιρέσεις* et *προαιρετικὰ ἔργα*, Diss. I, 32 item *φαντασίαι*, unde ratio dicitur *ἡ χρηστικὴ δύναμις ταῖς φαντασίαις*, Diss. I, 1, qui locus nostro persimilis est; cf. Man. 6. *τί οὖν ἐστὶ σόν; χρῆσις φαντασιῶν.* Voluntatis libertatem ut vindicarent Stoici recentiores, hominem dei partem esse rati, quanta maxima opera adnitebantur; Epictet. Diss. I, 17, cf. Musonius ap. Stob. Flor. LXXIX, 51; sed voluntatis libertas in eo consistit, interprete Epicteto, quod homo dei operum, quae cernuntur in mundo, spectator est et liber interpres, Diss. I, 6. Neque quidquam proprium nobis et vere bonum esse putabat, nisi quod animo ac mente constet, ib. II, 8 init.; quae externa sunt et corpora citra nostram potestatem posita sunt. Ib. I, 1. *ὥσπερ οὖν ἦν ἄξιον, τὸ κράτιστον ἁπάντων καὶ κυριεῦον οἱ θεοὶ μόνον ἐφ' ἡμῖν ἐποίησαν, τὴν χρῆσιν τὴν ὀρθὴν ταῖς φαντασίαις, τὰ δὲ ἄλλα οὐκ ἐφ' ἡμῖν. ἆρά γε ὅτι οὐκ ἤθελον; ἐγὼ μὲν δοκῶ ὅτι, εἰ ἠδύναντο, καὶκεῖνα ἂν ἡμῖν ἐπέτρεψαν, ἀλλὰ πάντως οὐκ ἠδύναντο· ἐπὶ γῆς γὰρ ὄντας καὶ σώματι συνδεδεμένους τοιούτῳ καὶ κοινωνοῖς τοιούτοις, πῶς οἷόν τ' ἦν εἰς ταῦτα ὑπὸ τῶν ἐκτὸς μὴ ἐμποδίζεσθαι;* — **b)** Haec eo referenda sunt quod omne bonum et malum in cogitationibus nostris, quae penderent a nobismet ipsis, positum esse statuebat. Diss. III, 3. *Τί γάρ ἐστι τὸ κλαίειν καὶ οἰμώζειν; δόγμα. τί δυστυχία; δόγμα. τί στάσις; τί διχόνοια; τί μέμψις; τί κατηγορία; τί ἀσέβεια; τί φλυαρία; ταῦτα πάντα δόγματά ἐστι, καὶ ἄλλο οὐδέν· καὶ δόγματα περὶ τῶν ἀπροαιρέτων ὡς ὄντων ἀγαθῶν καὶ κακῶν. ταῦτά τις ἐπὶ τὰ προαιρετικὰ μεταθέτω, κἀγὼ αὐτὸν ἐγγυῶμαι ὅτι εὐσταθήσει ὡς ἂν ἔχῃ τὰ περὶ αὐτόν.* Ib. II, 8. *Ὁ θεὸς ὠφέλιμος. ἀλλὰ καὶ τἀγαθὸν ὠφέλιμον. εἰκὸς οὖν, ὅπου ἡ οὐσία τοῦ θεοῦ, ἐκεῖ εἶναι καὶ τὴν τοῦ ἀγαθοῦ. τίς οὖν οὐσία θεοῦ; σάρξ; μὴ γένοιτο. ἀγρός; μὴ γένοιτο. φήμη; μὴ γένοιτο. νοῦς, ἐπιστήμη, λόγος ὀρθός; ναί. ἐνταῦθα τοίνυν ἁπλῶς ζήτει τὴν οὐσίαν τοῦ ἀγαθοῦ.* Ib. II, 1. *Ἡ οὐσία τοῦ ἀγαθοῦ ἐστὶν ἐν χρήσει φαντασιῶν καὶ τοῦ κακοῦ ὡσαύτως, τὰ δ' ἀπροαίρετα οὔτε τὴν τοῦ κακοῦ δέχεται φύσιν οὔτε τὴν τοῦ ἀγαθοῦ.* — **c)** Felicitatem enim et libertatem sibi comparabit qui externa contemnere et omnia toleranter perferre didicerit: unde summam doctrinae Epicteteae in haec venire ait Gellius XVII, 19 extr. *ἀνέχου καὶ ἀπέχου.* Man. 48. *Φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.*

Diss. IV, 1. *Ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται· ὃν οὔτ'* 469
ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι οὔτε βιάσασθαι· οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι, αἱ ὀρέξεις ἐπιτευκτικαί, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. τίς οὖν θέλει ζῆν ἁμαρτάνων; οὐδείς. τίς θέλει ζῆν ἐξαπατώμενος, προπίπτων, ἄδικος ὤν, ἀκόλαστος, μεμψίμοιρος, ταπεινός; οὐδείς. οὐδεὶς ἄρα τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' ἐλεύθερός ἐστι. τίς δὲ θέλει λυπούμενος ζῆν, φοβούμενος, φθονῶν, ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ περιπίπτων; οὐδείς. ἔχομεν οὖν τινὰ τῶν φαύλων ἄλυπον, ἄφοβον, ἀπερίπτωτον, ἀναπότευκτον; οὐδένα. οὐκ ἄρα οὐδὲ ἐλεύθερον. Man. 14. *Ἐὰν θέλῃς τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπί σοι θέλεις ἐπί σοι εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν ἀλλ' ἄλλο τι*[a]*. ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει ὃ δύνασαι.*

a) Aptius Man. 12. *Κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι ἢ σε κακοδαίμονα.*

Cum postulet ut solum animum curemus ac foveamus, consequens erat ut cetera mittenda esse praeciperet; quocirca non modo parentes ac necessarios omnes sed etiam patriam in indifferentibus ponendam esse docebat; Diss. I, 22; III, 3. Neque misericordiam adhibendam esse censebat, sive adhiberetur, non veram voluit esse verum ficticiam. Man. 16. *Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει ἢ ἀποδημοῦντος τέκνου ἢ ἀποθανόντος ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ καὶ λέγειν ἔστω πρόχειρον ὅτι τοῦτον θλίβει οὐ τὸ συμβεβηκός (ἄλλον γὰρ οὐ θλίβει), ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάξαι. πρόσεχε μέντοι μὴ καὶ ἔσωθεν στενάξῃς.*

Man. 11. *Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς ὅτι ἀπώλεσα αὐτό,* 470
ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; οὔκουν καὶ τοῦτο ἀπεδόθη. ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει διὰ τίνος σε ὁ δοὺς ἀπήτησε; μέχρι δ' ἂν διδῷ ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες. 15. *Μέμνησο ὅτι ὡς ἐν συμποσίῳ δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατά σε; ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε. παρέρχεται; μὴ κάτεχε. οὔπω ἧκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατά σε. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς,*

οὕτω πρὸς πλοῦτον, καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλὰ καὶ ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο. 17. Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχὺ βραχέος, ἂν μακρὸν μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ ἄλλου. 22. Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρῦν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν. μέμνησό τε διότι, ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου τὸ πρότερον, οὗτοί σε ὕστερον θαυμάσονται, ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

Hac doctrina, cuique suas in vita agenda partes assignatas esse, viam sibi ad partem moralem aperit h. e. ad praecepta de externis hominum actionibus. — Impatientiam quo minus putes ita commendatam esse ab Epicteto, quasi omnia externa spernenda sint, faciunt haec: Diss. III, 2. *Οὐ δεῖ γάρ με εἶναι ἀπαθῆ ὡς ἀνδριάντα, ἀλλὰ τὰς σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους, ὡς εὐσεβῆ, ὡς υἱόν, ὡς ἀδελφόν, ὡς πατέρα, ὡς πολίτην.* Ib. II, 7; Man. 24. 32. Eo potius redit oratio Epicteti, ut hominem suae ipsius felicitatis gratia etiam aliorum felicitatem ac mores curare debere praecipiat. Epictet. ap. Stob. Flor. I, 57. *Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι σύμπαντας ἀγαθοὺς ἔχειν.*

471 Diss. II, 10. *Σκέψαι τίς εἶ. τὸ πρῶτον ἄνθρωπος.* τοῦτο δ' ἔστιν οὐδὲν ἔχων κυριώτερον προαιρέσεως, ἀλλὰ ταύτῃ τὰ ἄλλα ὑποτεταγμένα, αὐτὴν δ' ἀδούλευτον*) καὶ ἀνυπότακτον[a]. σκόπει οὖν τίνων κεχώρισαι κατὰ λόγον. κεχώρισαι θηρίων. κεχώρισαι προβάτων. ἐπὶ τούτοις πολίτης εἶ τοῦ κόσμου καὶ μέρος αὐτοῦ, οὐχ ἓν τῶν ὑπηρετικῶν, ἀλλὰ τῶν προηγουμένων· παρακολουθητικὸς**) γὰρ εἶ τῇ θείᾳ διοικήσει καὶ τῶν ἑξῆς ἐπιλογιστικός, τίς οὖν ἐπαγγελία πολίτου; μηδὲν ἔχειν ἰδίᾳ συμφέρον, περὶ μηδενὸς βουλεύεσθαι ὡς ἀπόλυτον, ἀλλ' ὥσπερ ἂν εἰ ἡ χεὶρ ἢ ὁ

*) Wolf. et Salmas. malint *ἀδούλωτον*. — **) Codd. *παρηκολουθηκώς, παρηκολουθηκός, παρακολουθηκός*. Corr. Wolf.

πους λογισμὸν εἶχον καὶ παρηκολούθουν τῇ φυσικῇ κατασκευῇ, οὐδέποτ᾽ ἂν ἄλλως ὥρμησαν ἢ ὠρέχθησαν ἢ ἐπανενεγκόντες ἐπὶ τὸ ὅλον. διὰ τοῦτο καλῶς λέγουσιν οἱ φιλόσοφοι ὅτι, εἰ προήδει ὁ καλὸς καὶ ἀγαθὸς τὰ ἐσόμενα, συνήργει ἂν καὶ τῷ νοσεῖν καὶ τῷ ἀποθνήσκειν καὶ τῷ πηροῦσθαι, αἰσθανόμενός γε ὅτι ἀπὸ τῆς τῶν ὅλων διατάξεως τοῦτο ἀπονέμεται. κυριώτερον δὲ τὸ ὅλον τοῦ μέρους καὶ ἡ πόλις τοῦ πολίτου. νῦν δ᾽ ὅτι οὐ προγιγνώσκομεν, καθήκει τῶν πρὸς ἐκλογὴν εὐφυεστέρων ἔχεσθαι, ὅτι καὶ πρὸς τοῦτο γεγόναμεν. Ib. I, 12. Οὐκ οἶσθα ἡλίκον μέρος πρὸς τὰ ὅλα; τοῦτο δὲ κατὰ τὸ σῶμα· ὡς κατά γε τὸν λόγον οὐδὲ χειρων τῶν θεῶν οὐδὲ μικρότερος· λόγου γὰρ μέγεθος οὐ μήκει οὐδ᾽ ὕψει κρίνεται, ἀλλὰ δόγμασιν, οὐ θέλεις οὖν καθ᾽ ἃ ἴσος εἶ τοῖς θεοῖς, ἐκεῖ ποῦ τίθεσθαι τὸ ἀγαθόν; Diss. I, 3. Εἴ τις τῷ δόγματι τούτῳ συμπαθῆσαι κατ᾽ ἀξίαν δύναιτο, ὅτι γεγόναμεν ἀπὸ τοῦ θεοῦ πάντες προηγουμένως[b] καὶ ὁ θεὸς πατήρ ἐστι τῶν τ᾽ ἀνθρώπων καὶ τῶν θεῶν, οἶμαι ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ ταπεινὸν ἐνθυμηθήσεται περὶ ἑαυτοῦ. ἀλλ᾽ ἂν μὲν Καῖσαρ εἰσποιήσηταί σε οὐδείς σου τὴν ὀφρὺν βαστάσει· ἂν δὲ γνῷς ὅτι τοῦ Διὸς υἱὸς εἶ, οὐκ ἐπαρθήσῃ; νῦν δ᾽ οὐ ποιοῦμεν· ἀλλ᾽ ἐπειδὴ δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοινὸν πρὸς τὰ ζῷα, ὁ λόγος δὲ καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς, πολλοὶ μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν τὴν ἀτυχῆ καὶ νεκράν, ὀλίγοι δέ τινες ἐπὶ τὴν θείαν καὶ μακαρίαν[c]. ἐπειδὴ τοίνυν ἀνάγκη πάνθ᾽ ὁντινοῦν οὕτως ἑκάστῳ χρῆσθαι ὡς ἂν περὶ αὐτοῦ ὑπολάβῃ, ἐκεῖνοι μὲν οἱ ὀλίγοι, ὅσοι πρὸς πίστιν οἴονται γεγονέναι καὶ πρὸς αἰδῶ καὶ πρὸς ἀσφάλειαν τῆς χρήσεως τῶν φαντασιῶν, οὐδὲν ταπεινὸν οὐδ᾽ ἀγεννὲς ἐνθυμοῦνται περὶ αὑτῶν, οἱ δὲ πολλοὶ τἀναντία. Τί γὰρ εἰμί; ταλαίπωρον ἀνθρωπάριον, καὶ τὰ δύστηνά μου σαρκίδια τῷ μὲν ὄντι δύστηνα, ἀλλ᾽ ἔχεις τι καὶ κρεῖσσον τῶν σαρκιδίων, τί οὖν ἀφεὶς ἐκεῖνο προστέτηκας; 14. Ἀλλ᾽ οὖν οὐδὲν ἧττον καὶ ἐπίτροπον ἑκάστῳ παρέστησε (sc. ὁ Ζεὺς) τὸν ἑκάστου δαίμονα, καὶ παρέδωκε φυλάσσειν αὐτὸν αὐτῷ καὶ τοῦτον ἀκοίμητον καὶ ἀπαραλόγιστον. τίνι γὰρ ἄλλῳ κρείττονι καὶ ἐπιμελεστέρῳ φύλακι παραδέδωκεν*) ἡμῶν ἕκαστον; ὥσθ᾽ ὅταν κλείσητε τὰς θύρας καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ·

*) Upton susp. post παραδέδωκεν excidisse particulam ἄν, Schweigh. scriptum fuisse τίνι γὰρ ἄν ἄλλῳ.

οὐ γὰρ ἐστέ. ἀλλ' ὁ θεὸς ἔνδον ἐστί, καὶ ὁ ὑμέτερος δαίμων ἐστί. καὶ τίς τούτοις χρεία φωτὸς εἰς τὸ βλέπειν τί ποιεῖτε; τούτῳ τῷ θεῷ ἔδει καὶ ὑμᾶς ὀμνύειν ὅρκον, οἷον οἱ στρατιῶται τῷ Καίσαρι.

a) Cf. Diss. IV, 1, 100. *Τί μοι δέδωκεν (ὁ θεὸς) ἐμὸν καὶ αὐτεξούσιον; τί αὐτῷ κατέλιπε; τὰ προαιρετικά μοι δέδωκεν, ἐπ' ἐμοὶ πεποίηκεν ἀνεμπόδιστα, ἀκώλυτα. τὸ σῶμα τὸ πήλινον πῶς ἐδύνατο ἀκώλυτον ποιῆσαι; ὑπέταξεν οὖν τῇ τῶν ὅλων περιόδῳ τὴν κτῆσιν, τὰ σκεύη, τὴν οἰκίαν, τὰ τέκνα, τὴν γυναῖκα.* Corpus et quae huius vitae sunt maximopere ab eo contemnuntur. Morte liberamur ab onere vitae, cf. Diss. I, 9, 10 sqq.; Marc. Antonin. IV, 41. *ψυχάριον εἶ βαστάζον νεκρόν, ὡς Ἐπίκτητος ἔλεγεν.* — **b)** Cf. Diss. II, 10, loco supra laudato. — **c)** Omnis enim sapientia et intelligentia a deo repetenda est, etiam philosophia, cf. Diss. III, 1, 36. *ἅπαξ ἀκούσας τῶν λόγων τούτων ἀπελθὼν σαυτῷ εἰπέ· Ταῦτά μοι Ἐπίκτητος οὐκ εἴρηκε, πόθεν γὰρ ἐκείνῳ; ἀλλὰ θεός τίς ποτ' εὐμενὴς δι' ἐκείνου. — ἄγε οὖν τῷ θεῷ πεισθῶμεν, ἵνα μὴ θεοχόλωτοι ὦμεν.*

Haec longius a vulgaribus de diis opinionibus recedunt quam quae ab antiquioribus Stoicis de rebus divinis statuebantur; sed habet hoc Epictetus cum recentioribus huius disciplinae sectatoribus commune. Divinationem admittit, sed putat ei non nimium tribuendum esse, cum pertineat ad externa tantum. Verum vatem eum genium esse docebat, qui in cuiusque mente repositus sit, inde quid bonum quid secus sit quemque edocens; neque se quoquam alio indigere affirmabat, Diss. II, 7; Man. 32; Irridebat cultum malorum geniorum eorumque deorum, a quibus externa bona repeterentur. Diss. I, 19, 6; 22, 16. Reiicit fabulas de inferis: omnia nimirum in ea elementa reversura esse, ex quibus quodque conflatum sit. Diss. III, 13, 14 sqq.

d. Marcus Antoninus.

472 Comm. X, 33. *Ἀπόλαυσιν γὰρ δεῖ ὑπολαμβάνειν πᾶν, ὃ ἔξεστι κατὰ τὴν ἰδίαν φύσιν ἐνεργεῖν. Πανταχοῦ δὲ ἔξεστι. τῷ μὲν οὖν κυλίνδρῳ οὐ πανταχοῦ δίδοται φέρεσθαι τὴν ἰδίαν κίνησιν, οὐδὲ τῷ ὕδατι οὐδὲ πυρὶ οὐδὲ τοῖς ἄλλοις, ὅσα ἀπὸ φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε καὶ ὡς θέλει.* Ib. V, 19. *Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται, οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχήν, οὐδὲ τρέψαι οὐδὲ κινῆσαι ψυχὴν δύναται· τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη· καὶ οἷων ἂν κριμάτων καταξιώσῃ ἑαυτήν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προϋφεστῶτα**).

*) Vulgo *προσυφεστῶτα*. Vat. A. *προεφεστῶτα*. Nos cum Schneidero (Lex. Gr.) et Corais.

Cf. n. 468, not. a. Quod absolutam libertatem voluntati humanae tribuit, id haud bene congruit cum his quae leguntur Comm. V, 33. *αὐτὸ δὲ τὸ ψυχάριον ἀναθυμίασις ἀφ' αἵματος.* Sed videtur distinguendum esse inter *ψυχὴν* et *νοῦν*, v. n. sq. — Inter praeceptores (I, 6 sqq.) prae ceteris nominandus Rusticus, qui ei praeivit lectionem *τῶν Ἐπικτητείων ὑπομνημάτων*, c. 7.

Ib. II, 13. *Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπερι-* 473
ερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν, ἐρευνῶντος καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δὲ ὅτι ἀρκεῖ πρὸς μόνῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι καὶ τοῦτον γνησίως θεραπεύειν. Ib. VII, 28. *Εἰς αὐτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικόν, ἡγεμονικὸν ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.* 59. *Ἔνδον βλέπε. ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.* Ib. XII, 3. *Τρία ἐστὶν ἐξ ὧν συνέστηκας, σωμάτιον, πνευμάτιον, νοῦς. τούτων τἆλλα μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν σά ἐστι· τὸ δὲ τρίτον μόνον κυρίως σόν. διὸ ἐὰν χωρίσῃς**) *ἀπὸ σεαυτοῦ, τοῦτ' ἔστιν ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι***) *ποιοῦσιν ἢ λέγουσιν, ἢ ὅσα αὐτὸς ἐποίησας ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσει σε****), *καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου ἢ τοῦ συμφύτου πνευματίου ἀπροαίρετα πρόσεστιν, καὶ ὅσα ἡ ἔξωθεν περιρρέουσα δίνη ἐλίσσει, ὥστε τῶν συνειμαρμένων ἐξῃρημένην καὶ*†) *καθαρὰν τὴν νοερὰν δύναμιν ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια καὶ θέλουσαν τὰ συμβαίνοντα καὶ λέγουσαν τἀληθῆ· ἐὰν χωρίσῃς, φημί, τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας καὶ τοῦ χρόνου τὰ ἐπέκεινα ἢ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν οἷος ὁ Ἐμπεδόκλειος*

σφαῖρος κυκλοτερὴς μονίῃ περιηγέϊ γαίων††)

μόνον τε ζῆν ἐκμελετήσῃς ὃ ζῇς, τοῦτ' ἔστι τὸ παρόν· δυνήσῃ τό γε μέχρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον†††) *ἀταράκτως καὶ εὐμενῶς*§) *καὶ ἵλεως τῷ σεαυτοῦ δαίμονι διαβιῶναι.*

Antonini sententiae in plurimis nihil sunt nisi imitationes Epictetearum; in nonnullis tamen ultra quam hae progrediuntur, velut in iis

---

*) Vulg. *ὃ ἐὰν χωρίσῃς. διὸ* coni. Schultz. Corais c. ed. Oxon. *ἐὰν οὖν χ.* — **) Vulg. *ἄλλα.* Corais *οἱ ἄλλοι*; v. Schultz. — ***) Vulg. *ταράσσεις.* Vat. A. *ταράσσειας.* Casaub. Cor. *ταράσσει.* Schultz coni. *ταράσσαι σε.* — †) Inseruimus *καὶ* praeeunte Cor. — ††) Vulg. *κονῇ περιήθεϊ.* Vat. A. *μονῇ.* V. supra n. 133. — †††) Ita vulg. ante Gatak., qui ded. *ὑπολιπόμενον.* — §) Coni. Cor. vulg. *εὐγενῶς.*

quae hoc loco apposita sunt. Maxime proprium est quod plurimum tribuit quieto animi statui ac solitudini; cf. IV, 3. Propterea neque futura neque praeterita curanda esse praecipit; praesentibus vivendum esse: in quo propius a Cyrenaicis abest quam a Stoicis. Adde quod monet animum in se ipsum recedere debere, ut solus sit cum genio suo, a quo de felicitate sua instituatur: in quibus ferme consentit cum Neoplatonicis idque in ipsis verbis, cum dicat Comm. IV, 26 *ἁπλωσον σεαυτόν* cf. infra Plotin. in fine. Cum iisdem facit in contemtu quem profitetur non solum corporis ac vitae et omnium rerum humanarum, ib. III, 3. *τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.* IX, 3. *ὡς νῦν περιμένεις πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, ουτως ἐκδέχεσθαι τὴν ὥραν, ἐν ᾗ τὸ ψυχάριόν σου τοῦ ἑλύτρου τούτου ἐκπεσεῖται.* X, 31. *τὰ ἀνθρώπινα καπνὸς καὶ τὸ μηδὲν*, sed totius mundi, ib. IV, 3. *ὁ κόσμος ἀλλοίωσις, ὁ βίος ὑπόληψις.* Nihilominus civica negotia subeunda esse statuit eoque se impelli profitetur consideratione officiorum divinitus ipsi impositorum tam hominis quam civis et imperatoris. Ib. III, 4. 5.

Caput XIII.

SCEPTICI RECENTIORES.

1. De principibus huius sectae.

Diog. L. IX, 115. *Τούτου* (sc. *τοῦ Τίμωνος*) *διάδοχος,* 474
ὡς μὲν Μηνόδοτός[a] *φησι, γέγονεν οὐδείς, ἀλλὰ διέλιπεν ἡ ἀγωγὴ ἕως αὐτὴν Πτολεμαῖος ὁ Κυρηναῖος ἀνεκτήσατο. ὡς δὲ Ἱππόβοτός φησι καὶ Σωτίων, διήκουσαν αὐτοῦ Διοσκουρίδης Κύπριος καὶ Νικόλοχος Ῥόδιος καὶ Εὐφράνωρ Σελευκεὺς Πραΰλος**) *τε ἀπὸ Τρῳάδος. — 116. Εὐφράνορος δὲ διήκουσεν Εὔβουλος Ἀλεξανδρεύς, οὗ Πτολεμαῖος, οὗ Σαρπηδὼν καὶ Ἡρακλείδης· Ἡρακλείδου δὲ Αἰνησίδημος Κνώσιος, ὃς καὶ Πυρρωνείων λόγων ὀκτὼ συνέγραψε βιβλία*[b]*. οὗ Ζεύξιππος ὁ Πολίτης, οὗ Ζεῦξις ὁ Γωνιόπους, οὗ Ἀντίοχος***) *Λαοδικεὺς ἀπὸ Λύκου. τούτου δὲ Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός, καὶ Θειωδᾶς****) *Λαοδικεύς· Μηνοδότου δὲ Ἡρόδοτος*†) *— Ταρσεύς. Ἡροδότου δὲ διήκουσε Σέξτος ὁ ἐμπειρικός, οὗ καὶ τὰ δέκα τῶν Σκεπτικῶν καὶ ἄλλα κάλλιστα· Σέξτου δὲ διήκουσε Σατορνῖνος ὁ Κυθηνᾶς, ἐμπειρικὸς καὶ αὐτός*[c].

a) Idem est ut videtur qui memoratur infra, *Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός*, et qui plus semel nominatur Galeno et in principibus Scepticorum una cum Aenesidemo numeratur a Sexto Emp. Hyp. Pyrrh. I, 222, ubi v. Fabric.: cuius de Scepticorum successionibus testimonium apparet haud parvae fidei esse. Contra is recensus, qui affertur ex Hippoboto et Sotione, magnam lacunam habet, quod cognoscitur ex rationibus temporum. — **b)** Aenesidemus Cnosius philosophiam

---

*) Cobet. ed. *Πραΰλους*. — **) Var. lect. *Ἀντίγονος, Ἀντίλοχος*. — ***) Var. l. *Θειόδας, Θειώδης*. Menag. *Θευδάς*, v. not. c. — †) Menag. coni. *Πρόδοτος*.

tradidit Alexandriae; Aristocl. ap. Euseb. Pr. Ev. XIV, 18; de cuius temporibus dicetur not c. Hic primus resuscitavit et ultra persecutus est quae tradita erant a Scepticis antiquioribus. Ex libro eius praecipuo, qui a Diogene laudatur, brevem conspectum exhibet Photius Bibl. cod. 212, qui parum sufficit ad doctrinam eius iudicandam. Laudatur etiam *ὑποτύπωσις εἰς τὰ Πυρρώνεια*, Diog. L. IX, 78; Aristocl. l. l., et alia, v. Diog. L. IX, 105, — **c)** De vitis horum Scepticorum parum liquet. Plurimi diserte traduntur medici empirici fuisse, ceteros credibile est eandem professionem secutos esse; cf. Menag. ad Diog. L. IX, 106. Unde fuerunt qui hanc Scepticorum disciplinam eandem atque empiricam medicorum sectam fuisse censerent; Sextus tamen Empiricus malit eos ad methodicos referre, Hyp. Pyrrh. I, 236 sqq.; cf. adv. Math. VIII, 327 sq. Paucorum libri laudantur, velut Zeuxidis, v. Diog. L. IX, 106, ed Theodae, qui rectius dicitur Theudas, cf. Diog. L. IX, 70; Suid. v. *Θεοδόσιος*. Neque de temporibus exploratum est. Sextum Empiricum probabile est paulo serius quam Galenum scripsisse; v. Ritter, *Gesch. d. Philos.* IV, p. 275 sq. Hinc profectus si superiora tempora reputas Hippobotique ac Sotionis catalogum si usque ad Aenesidemum integrum esse ponis, hunc collegeris floruisse fere circa Christum natum. Antiquior fuerit Aenesidemus, si recte Menagius ad Diog. L. IX, 106 Zeuxidem Scepticum eundem fuisse suspicatur atque eum, a quo secta medicorum repetitur a Strabone X, 8 extr., p. 580.

2. Placita horum Scepticorum.

475 Sext. Emp. Pyrrh. Hyp. I, 210. *Οἱ περὶ τὸν Αἰνησίδημον ἔλεγον ὁδὸν εἶναι τὴν σκεπτικὴν ἀγωγὴν ἐπὶ τὴν Ἡρακλείτειον φιλοσοφίαν, διότι προηγεῖται τοῦ τἀναντία περὶ τὸ αὐτὸ ὑπάρχειν τὸ τἀναντία περὶ τὸ αὐτὸ φαίνεσθαι.*

Aenesidemus igitur non Scepticus est qui proprie dicitur, sed utebatur Scepticismo ad antiquiorem philosophiam, Heracliteam videlicet, renovandam, quam, si nostrum locum aliosque velut Sext. Emp. adv. Math. IX, 337; X, 216 sequimur, ita interpretatus esse videtur ut omnes ea differentias rerum tolli contenderet. Quod quo pacto effecerit incertum est; neque posteriores Sceptici eandem viam persecuti sunt. Sed plurimum Aenesidemus ad disciplinam horum excolendam atque firmandam valuit argumenta Scepticorum ad certam viam ac rationem revocando. In nonnullis tamen et ipse nova proposuit, quae deinde cum reliquis dubitationum argumentis a Scepticis propagata sunt.

476 Sext. Emp. Pyrrh. Hyp. I, 36. *Παραδίδονται τοίνυν συνήθως παρὰ τοῖς ἀρχαιοτέροις Σκεπτικοῖς*[a] *τρόποι, δι' ὧν ἡ ἐποχὴ συνάγεσθαι δοκεῖ, δέκα τὸν ἀριθμόν, οὓς καὶ λόγους καὶ τόπους συνωνύμως καλοῦσιν, εἰσὶ δὲ οὗτοι· πρῶτος ὁ παρὰ τὴν τῶν*

ζῴων ἐξαλλαγήν[b]· δεύτερος ὁ παρὰ τὴν τῶν ἀνθρώπων διαφοράν· τρίτος ὁ παρὰ τὰς διαφόρους τῶν αἰσθητηρίων κατασκευάς· τέταρτος ὁ παρὰ τὰς περιστάσεις[c]· πέμπτος ὁ παρὰ τὰς θέσεις καὶ τὰ διαστήματα καὶ τοὺς τόπους· ἕκτος ὁ παρὰ τὰς ἐπιμιξίας[d]· 37. ἕβδομος ὁ παρὰ τὰς ποσότητας καὶ σκευασίας τῶν ὑποκειμένων[e]· ὄγδοος ὁ ἀπὸ τοῦ πρός τι· ἔνατος ὁ παρὰ τὰς συνεχεῖς ἢ σπανίους ἐγκυρήσεις[f]· δέκατος ὁ παρὰ τὰς ἀγωγὰς καὶ τὰ ἤθη καὶ τοὺς νόμους καὶ τὰς μυθικὰς πίστεις καὶ τὰς δογματικὰς ὑπολήψεις[g].

a) Ad antiquiores Scepticos etiam Aenesidemum referre videtur: recentiores repetit ab Agrippa, Pyrrh. Hyp. I, 164; cf. Diog. L. IX; 88. Decem illa dubitandi argumenta ex parte saltem iam ab antiquioribus Scepticis usurpabantur; ab Aenesidemo ea primum ad certam seriem et coniunctionem revocata fuisse dixeris; v. Sext. Emp. adv. Math. VII, 345; Aristocl. ap. Euseb. Pr. Ev. XIV, 18. Eadem copiose expromuntur a Sexto Empirico Hyp. Pyrrh. I, 40 sq. et Diog. L. IX, 79 sqq., unde nonnulla attulisse non alienum erit. — **b)** Ἐξαλλαγὴ est idem quod διαφορά. Sext. l. l. 40; Diog. L. l. l. 79. Animalibus, prout ipsa natura differunt, res etiam differre videntur. Similiter explicatur locus secundus et tertius. — **c)** Περιστάσεις sunt idem quod διαθέσεις, Diog. L. l. l. 82; Sext. Emp. l. l. 100. Res differre nobis videntur pro diversis animi nostri affectionibus. — **d)** Apertius Diog. L. l. l. 84. ἕκτος ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτί, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. — **e)** Σκευασία a Sexto Emp. l. l. 129 per σύνθεσιν explicatur. Illustratur res exemplis: τὰ ξέσματα τοῦ κέρατος τῆς αἰγὸς φαίνεται μὲν λευκὰ ἁπλῶς καὶ ἄνευ συνθέσεως θεωρούμενα, συντιθέμενα δὲ ἐν τῇ τοῦ κέρατος ὑπάρξει μέλανα θεωρεῖται. Ib. 131. καὶ ὁ οἶνος σύμμετρος μὲν πινόμενος ῥώννυσιν ἡμᾶς, πλείων δὲ λαμβανόμενος παραλύει τὸ σῶμα. — **f)** Diog. L. l. l. 87. Οἱ γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται οὐ θαυμάζονται, οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται. — **g)** Hic locus plurimam Scepticis ad disputandum copiam suppeditabat, utpote qui dissensiones patefaceret et hominum et populorum et imprimis philosophorum dogmaticorum.

Sext. Emp. Pyrrh. Hyp. I, 164. Οἱ δὲ νεώτεροι Σκεπ- 477
τικοὶ[a] παραδιδόασι τρόπους τῆς ἐποχῆς πέντε τούσδε· πρῶτον τὸν ἀπὸ τῆς διαφωνίας· δεύτερον τὸν εἰς ἄπειρον ἐκβάλλοντα· τρίτον τὸν ἀπὸ τοῦ πρός τι· τέταρτον τὸν ὑποθετικόν· πέμπτον τὸν διάλληλον. 165. Καὶ ὁ μὲν ἀπὸ τῆς διαφωνίας ἐστὶ καθ' ὃν περὶ τοῦ προτεθέντος πράγματος ἀνεπίκριτον στάσιν παρά τε τῷ βίῳ καὶ παρὰ τοῖς φιλοσόφοις εὑρίσκομεν γεγενημένην δι'

ἢν οὐ δυνάμενοι αἱρεῖσθαί τι ἢ ἀποδοκιμάζειν καταλήγομεν εἰς ἐποχήν. 166. Ὁ δὲ ἀπὸ τῆς εἰς ἄπειρον ἐκπτώσεως ἐστὶν ἐν ᾧ τὸ φερόμενον εἰς πίστιν τοῦ προτεθέντος πράγματος πίστεως ἑτέρας χρήζειν λέγομεν, κἀκεῖνο ἄλλης καὶ μέχρις ἀπείρου, ὡς μὴ ἐχόντων ἡμῶν πόθεν ἀρξόμεθα τῆς κατασκευῆς, τὴν ἐποχὴν ἀκολουθεῖν. 167. Ὁ δὲ ἀπὸ τοῦ πρός τι, καθὼς προειρήκαμεν, ἐν ᾧ πρὸς μὲν τὸ κρῖνον καὶ τὰ συνθεωρούμενα τοῖον ἢ τοῖον φαίνεται τὸ ὑποκείμενον, ὁποῖον δὲ ἔστι πρὸς τὴν φύσιν ἐπέχομεν. 168. Ὁ δὲ ἐξ ὑποθέσεως ἐστὶν ὅταν εἰς ἄπειρον ἐκβαλλόμενοι οἱ Δογματικοὶ ἀπό τινος ἄρξωνται ὃ οὐ κατασκευάζουσιν, ἀλλ' ἁπλῶς καὶ ἀναποδείκτως κατὰ συγχώρησιν λαμβάνειν ἀξιοῦσιν. 169. Ὁ δὲ διάλληλος τρόπος συνίσταται ὅταν τὸ ὀφεῖλον τοῦ ζητουμένου πράγματος εἶναι βεβαιωτικὸν χρείαν ἔχῃ τῆς ἐκ τοῦ ζητουμένου πίστεως· ἔνθα μηδέτερον δυνάμενοι λαβεῖν πρὸς κατασκευὴν θατέρου περὶ ἀμφοτέρων ἐπέχομεν.

a) Recentiores Sceptici, si antiquioribus opponuntur, Aenesidemo inferiores sunt, v. 476, not. a. Diog. L. IX, 88 sq. easdem dubitationes expromens Agrippae eas tribuit, de quo ceteroquin incertum est.

478 Sext. Emp. Pyrrh. Hyp. I, 178. Παραδιδόασι δὲ (sc. οἱ νεώτεροι Σκεπτικοὶ) καὶ δύο τρόπους ἐποχῆς ἑτέρους. ἐπεὶ γὰρ πᾶν τὸ καταλαμβανόμενον ἤτοι ἐξ ἑαυτοῦ καταλαμβάνεσθαι δοκεῖ ἢ ἐξ ἑτέρου καταλαμβάνεται, τὴν περὶ πάντων ἀπορίαν εἰσάγειν δοκοῦσι. καὶ ὅτι μὲν οὐδὲν ἐξ ἑαυτοῦ καταλαμβάνεται, φασί, δῆλον ἐκ τῆς γεγενημένης παρὰ τοῖς φυσικοῖς περί τε τῶν αἰσθητῶν καὶ τῶν νοητῶν ἁπάντων, οἶμαι, διαφωνίας, ἣ δὴ ἀνεπίκριτός ἐστι μὴ δυναμένων ἡμῶν μήτε αἰσθητῷ μήτε νοητῷ κριτηρίῳ χρῆσθαι διὰ τὸ πᾶν, ὅπερ ἂν λάβωμεν, ἄπιστον εἶναι διαπεφωνημένον. 179. διὰ δὲ τοῦτο οὐδ' ἐξ ἑτέρου τι καταλαμβάνεσθαι συγχωροῦσιν. εἰ μὲν γὰρ τὸ ἐξ οὗ τι καταλαμβάνεται ἀεὶ ἐξ ἑτέρου καταλαμβάνεσθαι δεήσει, εἰς τὸν διάλληλον ἢ τὸν ἄπειρον ἐμβάλλουσι τρόπον.

Quis invenerit has dubitationum formulas ignoratur; fortasse Menodotus, de cuius placitis, licet memoretur inter principes Scepticorum, v. n. 474, not. a, tamen accuratius non constat. Formulas autem illas facile intelligitur nihil aliud esse nisi repetitiones earum, quae tractantur loco antecedenti, quatenus illae spectant rationem argumentandi.

Sext. Emp. adv. Math. IX, 207. *Τὸ αἴτιον τοίνυν, φασίν* 479
(sc. οἱ ἀπορητικοί), *τῶν πρός τι ἐστί· τινὸς γάρ ἐστιν αἴτιον καὶ τινί, οἷον τὸ σμιλίον τινὸς μέν ἐστιν αἴτιον καθάπερ τῆς τομῆς, τινὶ δὲ καθάπερ τῇ σαρκί.* 208. *τὰ δέ γε πρός τι ἐπινοεῖται μόνον, ἀλλ' οὐχ ὑπάρχει, καθὼς ἐν τοῖς περὶ ἀποδείξεως παρεστήσαμεν. καὶ τὸ αἴτιον ἄρα ἐπινοηθήσεται μόνον, οὐχ ὑπάρξει δέ.* 232. *πρὸς τούτοις*[a], *εἴ ἔστι τι τινὸς αἴτιον, ἤτοι τὸ ἅμα ὂν τοῦ ἅμα ὄντος ἐστὶν αἴτιον, ἢ τὸ πρότερον τοῦ ὕστερον, ἢ τὸ ὕστερον τοῦ πρότερον· οὔτε δὲ τὸ ἅμα ὂν τοῦ ἅμα ὄντος αἰτιόν ἐστιν, οὔτε τὸ πρότερον τοῦ ὕστερον, οὔτε τὸ ὕστερον τοῦ πρότερον, ὡς παραστήσομεν. οὐκ ἄρα ἔστι τι αἴτιον.* 233. *τὸ μὲν οὖν ἅμα ὂν τοῦ ἅμα ὄντος οὐ δύναται τυγχάνειν αἴτιον διὰ τὸ συνυπάρχειν ἀμφότερα, καὶ μὴ μᾶλλον τόδε τοῦδε γεννητικὸν ὑπάρχειν ἢ τόδε τοῦδε, ἑκατέρου τὴν ἴσην ὕπαρξιν ἔχοντος*[b]. 234. *οὐδὲ τὸ πρότερον δὲ ἔσται τοῦ ὕστερον γενομένου ποιητικόν. εἰ γὰρ ὅτε ἔστι τὸ αἴτιον, οὔπω ἔστι τὸ οὗ ἐστὶν αἴτιον, οὔτε ἐκεῖνο ἔτι αἰτιόν ἐστι, μὴ ἔχον τὸ οὗ αἰτιόν ἐστιν, οὔτε τοῦτο ἔτι ἀποτέλεσμα, μὴ συμπαρόντος αὐτῷ τοῦ οὗ ἀποτέλεσμά ἐστι· τῶν γὰρ πρός τι ἑκάτερόν ἐστι τούτων, καὶ τὰ πρός τι κατ' ἀνάγκην δεῖ συνυπάρχειν ἀλλήλοις καὶ οὐ τὸ μὲν προηγεῖσθαι, τὸ δὲ ὑστερεῖν.* 235. *λείπεται οὖν τὸ ὕστερον λέγειν τοῦ προτέρου αἴτιον γίγνεσθαι· ὅπερ ἐστὶν ἀτοπώτατον καὶ ἀνδρῶν τὰ πράγματα ἀναστρεφόντων.* 237. *Καὶ μὴν εἴ ἔστι τι αἴτιον, ἤτοι αὐτοτελῶς καὶ ἰδίᾳ μόνον προσχρώμενον δυνάμει τινός ἐστιν αἴτιον, ἢ συνεργοῦ πρὸς τοῦτο δεῖται τῆς πασχούσης ὕλης, ὥστε τὸ ἀποτέλεσμα κατὰ κοινὴν ἀμφοτέρων νοεῖσθαι σύνοδον.* 238. *καὶ εἰ μὲν αὐτοτελῶς καὶ ἰδίᾳ προσχρώμενον δυνάμει ποιεῖν τι πέφυκεν, ὤφειλε διὰ παντὸς ἑαυτὸ ἔχον καὶ τὴν ἰδίαν δύναμιν πάντοτε ποιεῖν τὸ ἀποτέλεσμα καὶ μὴ ἐφ' ὧν μὲν ποιεῖν ἐφ' ὧν δὲ ἀπρακτεῖν*[c]. 239. *εἰ δέ, ὡς φασί τινες τῶν Δογματικῶν, οὐ τῶν ἀπολελυμένων καὶ ἀφεστηκότων ἐστίν, ἀλλὰ τῶν πρός τι, διὰ τὸ καὶ αὐτὸ πρὸς τῷ πάσχοντι θεωρεῖσθαι καὶ τὸ πάσχον πρὸς αὐτῷ, χεῖρόν τι ἀνακύψει.* 240. *εἰ γὰρ τὸ ἕτερον πρὸς τῷ ἑτέρῳ νοεῖται, οὗ τὸ μὲν ποιοῦν τὸ δὲ πάσχον, ἔσται μία μὲν ἔννοια, δυοῖν δ' ὀνομάτων τεύξεται, τοῦ τε ποιοῦντος καὶ τοῦ πάσχοντος· καὶ διὰ τοῦτο οὐ μᾶλλον ἐν αὐτῷ ἢ ἐν τῷ λεγομένῳ πάσχειν ἐγκείσεται ἡ δραστήριος δύναμις. ὡς γὰρ αὐτὸ οὐδὲν δύναται ποιεῖν χωρὶς τοῦ λεγομένου*

πάσχειν, οὕτως οὐδὲ τὸ λεγόμενον πάσχειν δύναται χωρὶς τῆς ἐκείνου παρουσίας πάσχειν. 241. ὥσθ' ἕπεται τὸ μὴ μᾶλλον ἐν αὐτῷ ἢ ἐν τῷ πάσχοντι ὑποκεῖσθαι τὴν δραστήριον τοῦ ἀποτελέσματος δύναμιν[d].

a) Sunt haec ex iis argumentis, quae secundum Sext. Emp. l. l. 218 ad Aenesidemum revocanda fuerint. Apposuimus non omnia, sed quae ad Scepticorum doctrinam gravissima sunt. — **b)** Cf. Sext. Emp. Pyrrh. Hyp. III, 27. *πρότερον δεῖ τὸ αἴτιον γενέσθαι αἴτιον, εἶθ' οὕτως ποιεῖν τὸ ἀποτέλεσμα.* — **c)** Hoc eo firmatur quod causa agens agere dicatur nonnisi ad rationem eius materiae, in qua agat, a materia igitur in agendo dependeat; Sext. Emp. adv. Math. IX, 246 sqq. — **d)** Hoc peculiariter persequitur ea argumentatio, quae demonstrat neque movens posse id quod moveatur movere, neque quiescens retinere in statu id quod quiescat. Sext. Emp. adv. Math. IX, 227 sqq. *οἷον κινεῖται ὁ τροχός, κινεῖται δὲ καὶ ὁ τροχηλάτης, τί οὖν μᾶλλον διὰ τὸν τροχὸν ὁ τροχηλάτης κινεῖται ἢ ἀνάπαλιν διὰ τὸν τροχηλάτην ὁ τροχός; εἴ γέ τοι τὸ ἕτερον μὴ κινοῖτο, οὐδὲ τὸ λειπόμενον κινήσεται.*

480 Sext. Emp. adv. Math. VIII, 156. *Ἀλλὰ γὰρ δυοῖν ὄντων σημείων, τοῦ τε ὑπομνηστικοῦ καὶ ἐπὶ τῶν πρὸς καιρὸν ἀδήλων τὰ πολλὰ χρησιμεύειν δοκοῦντος καὶ τοῦ ἐνδεικτικοῦ, ὅπερ ἐπὶ τῶν φύσει ἀδήλων ἐγκρίνεται, μελλήσομεν πᾶσαν ποιεῖσθαι ζήτησιν καὶ ἀπορίαν οὐ περὶ τοῦ ὑπομνηστικοῦ, τοῦτο γὰρ παρὰ πᾶσι κοινῶς τοῖς ἐκ τοῦ βίου πεπίστευται χρησιμεύειν, ἀλλὰ περὶ τοῦ ἐνδεικτικοῦ· τοῦτο γὰρ ὑπὸ τῶν Δογματικῶν φιλοσόφων καὶ τῶν λογικῶν ἰατρῶν ὡς δυνάμενον τὴν ἀναγκαιοτάτην αὐτοῖς παρέχειν χρείαν πέπλασται.* 157. *ὅθεν οὐδὲ μαχόμεθα ταῖς κοιναῖς τῶν ἀνθρώπων προλήψεσιν, οὐδὲ συγχέομεν τὸν βίον λέγοντες μηθὲν εἶναι σημεῖον, καθάπερ τινὲς ἡμᾶς συκοφαντοῦσιν. εἰ μὲν γὰρ πᾶν ἀνῃροῦμεν σημεῖον, τάχ' ἴσως ἂν καὶ τῷ βίῳ καὶ πᾶσιν ἀνθρώποις ἐμαχόμεθα. νυνὶ δὲ οὕτω καὶ αὐτοὶ ἔγνωμεν, ἐκ μὲν καπνοῦ πῦρ, ἐκ δὲ οὐλῆς προσηγησάμενον ἕλκος, ἐκ δὲ προηγουμένης καρδίας τρώσεως θάνατον, ἐκ δὲ προκειμένης ταινίας ἄλειμμα*[a] *λαμβάνοντες.* 158. *νῦν οὖν ἐπεὶ τὸ μὲν ὑπομνηστικὸν σημεῖον τίθεμεν, ᾧ χρῆται ὁ βίος, τὸ δὲ ὑπὸ τῶν Δογματικῶν ψευδῶς δοξασθὲν ἀναιροῦμεν*[b]*, μήποτε πρὸς τῷ μὴ μάχεσθαι τῷ βίῳ ἔτι καὶ συναγορεύομεν αὐτῷ; ἐπείπερ τοὺς κατεξαναστάντας τῆς κοινῆς προλήψεως Δογματικοὺς καὶ τὰ φύσει ἄδηλα γιγνώσκειν λέγοντας σημειωτικῶς ἐκ φυσιολογίας ἐλέγχομεν.*

a) „Pugiles athletae, quos ad certamen ungi mos, taenia redimiebantur.“ *Fabricius.* — **b)** Sc. *τὸ ἐνδεικτικόν.*

Cf. Sext. Emp. Hyp. Pyrrh. II, 97 sqq. Parum valent ista argumenta, quibus *τὸ σημεῖον ἐνδεικτικὸν* Sceptici tollere satagebant, Sext. Emp. adv. Math. VIII, 159 sqq.; Hyp. Pyrrh. II, 104 sqq.; Diog. L. IX, 96 sqq. Nam redeunt eo quod *τὸ σημεῖον ἐνδεικτικὸν* contendunt, si esset, ad *τὸ πρός τι* et ad demonstrandi modos revocandum fore; utrumque vero, et *τὸ πρός τι* et demonstrandi modi, ipsis illis dubitationibus solito modo impugnabantur. Contra gravissimum est quod ponunt de differentia inter id signum, quod indicet aliquid, et id, quo quid nobis in memoriam revocetur: inde enim profecti (exemplo sit noster locus), tametsi dubitabant de ceteris omnibus, tamen posse esse artes humanitati utiles affirmare non dubitabant: ad quas cum solus homo natus sit, quippe ad quem solum signa illa, quibus in memoriam aliquid revocetur, pertineant, luculenter sequi ut homo ceteris animalibus praestet. Sext. Emp. adv. Math. VIII, 288. *Κἂν δῶμεν δὲ διαφέρειν τῶν ἄλλων ζῴων τὸν ἄνθρωπον, λόγῳ τε καὶ μεταβατικῇ φαντασίᾳ καὶ ἐν τῇ ἀκολουθίᾳ, ἀλλ᾽ οὗτοι γε καὶ ἐν τοῖς ἀδήλοις καὶ ἀνεπικρίτως διαπεφωνημένοις συγχωρήσομεν αὐτὸν εἶναι τοιοῦτον, ἐν δὲ τοῖς φαινομένοις τηρητικήν τινα ἔχειν ἀκολουθίαν, καθ᾽ ἣν μνημονεύων τίνα μετὰ τίνων τεθεώρηται, καὶ τίνα πρὸ τίνων, καὶ τίνα μετὰ τίνα, ἐκ τῆς τῶν προτέρων ὑποπτώσεως ἀνανεοῦται τὰ λοιπά κτλ.* — Probant Sceptici eas quaestiones, ex quibus aliqua ad vitam utilitas redundet et quae positae sint in contemplatione *τῶν φαινομένων* (Diog. L. IX, 108. *ζητήσεις βιωτικαὶ καὶ τηρητικαί* h. e. quibus colligantur *τὰ σημεῖα ὑπομνηστικά*), ceteras reiiciunt ad unam omnes. In illis, quae in *τοῖς φαινομένοις* versentur, usum atque exercitationem plurimum valere affirmant, quorum ope eos qui iis studeant peritiam sibi et calliditatem comparare posse. Cf. Sext. Emp. adv. Math. VIII, 291. Apud antiquiores Scepticos frustra similes opiniones quaesiveris. Inferiore aetate similem viam tenuit *Phavorinus*, qui Academiam h. e. eam, quam Carneades fundaverat, profitebatur et vixit sub Hadriano, cf. Preller in Ersch-Grub. *Encyclop.* III, 22, p. 157 sqq. Contra eum disputat Galenus in scriptione de optima doctrina v. impr. c. 1, p. 40 sq. Kuehn.

Sext. Emp. Pyrrh. Hyp. III, 9. *Ὁ λέγων εἶναι θεὸν ἤτοι* 481
προνοεῖν αὐτὸν τῶν ἐν κόσμῳ φησὶν ἢ οὐ προνοεῖν· καὶ εἰ μὲν προνοεῖν, ἤτοι πάντων ἢ τινῶν. ἀλλ᾽ εἰ μὲν πάντων προὐνόει, οὐκ ἦν ἂν οὔτε κακόν τι οὔτε κακία ἐν τῷ κόσμῳ· κακίας δὲ πάντα μεστὰ εἶναι λέγουσιν· οὐκ ἄρα πάντων προνοεῖν λεχθήσεται ὁ θεός. 10. *εἰ δὲ τινῶν προνοεῖ, διὰ τί τῶνδε μὲν προνοεῖ, τῶνδε δὲ οὔ; ἤτοι γὰρ καὶ βούλεται καὶ δύναται πάντων προνοεῖν, ἢ βούλεται μὲν οὐ δύναται δέ, ἢ δύναται μὲν οὐ βούλεται δέ, ἢ οὔτε βούλεται οὔτε δύναται. ἀλλ᾽ εἰ μὲν καὶ ἠβούλετο καὶ*

ἠδύνατο, πάντων ἂν προὐνόει· οὐ προνοεῖ δὲ πάντων διὰ τὰ προειρημένα· οὐκ ἄρα καὶ βούλεται καὶ δύναται πάντων προνοεῖν. εἰ δὲ βούλεται μὲν οὐ δύναται δὲ, ἀσθενέστερός ἐστι τῆς αἰτίας, δι' ἣν οὐ δύναται προνοεῖν ὧν οὐ προνοεῖ· 11. ἔστι δὲ παρὰ τὴν Θεοῦ ἐπίνοιαν τὸ ἀσθενέστερον εἶναί τινος αὐτόν. εἰ δὲ δύναται μὲν πάντων προνοεῖν, οὐ βούλεται δέ, βάσκανος ἂν εἶναι νομισθείη. εἰ δὲ οὔτε βούλεται οὔτε δύναται, καὶ βάσκανός ἐστι καὶ ἀσθενής, ὅπερ λέγειν περὶ Θεοῦ ἀσεβούντων ἐστίν. οὐκ ἄρα προνοεῖ τῶν ἐν κόσμῳ ὁ Θεός. — 12. ἐκ δὲ τούτων ἐπιλογιζόμεθα· ὅτι ἴσως ἀσεβεῖν ἀναγκάζονται οἱ διαβεβαιωτικῶς λέγοντες εἶναι Θεόν· πάντων μὲν γὰρ αὐτὸν προνοεῖν λέγοντες κακῶν αἴτιον τὸν Θεὸν εἶναι φήσουσιν, τινῶν δὲ ἢ καὶ μηδενὸς προνοεῖν αὐτὸν λέγοντες ἤτοι βάσκανον τὸν Θεὸν ἢ ἀσθενῆ λέγειν ἀναγκασθήσονται· ταῦτα δέ ἐστιν ἀσεβούντων προδήλως.

Caput XIV.

PLATONICI ET PYTHAGORICI RECENTIORES.

1. Philo Iudaeus.

Suidas. *Φίλων Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ γένους* 482
ἱερέων[a]. *φιλοσοφήσας δὲ τὰ Ἑλλήνων εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν πᾶσαν Ἑλληνικὴν παίδευσιν — σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον παρόμοιον Πλάτωνι, ὡς καὶ εἰς παροιμίαν παρ᾽ Ἕλλησι τοῦτο χωρῆσαι, ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει*[b]. Euseb. Hist. Eccles. II, 4. *Κατὰ δὴ τοῦτον* (sc. *τὸν Γάϊον*) *Φίλων ἐγνωρίζετο*[c], *πλείστοις ἀνὴρ οὐ μόνον τῶν ἡμετέρων, ἀλλὰ καὶ τῶν ἀπὸ τῆς ἔξωθεν ὁρμωμένων παιδείας ἐπισημότατος. τὸ μὲν οὖν γένος ἀνέκαθεν Ἑβραῖος ἦν, τῶν δ᾽ ἐπ᾽ Ἀλεξανδρείας ἐν τέλει διαφανῶν οὐδενὸς χείρων. περὶ μὲν οὖν τὰ θεῖα καὶ πάτρια μαθήματα ὅσον τε καὶ πηλίκον εἰσενήνεκται πόνον ἔργῳ πᾶσι δῆλος· καὶ περὶ τὰ φιλόσοφα δὲ καὶ ἐλευθέρια τῆς ἔξωθεν παιδείας οἷός τις ἦν, οὐδὲν δεῖ λέγειν· ὅτε καὶ μάλιστα τὴν κατὰ Πλάτωνα καὶ Πυθαγόραν ἐζηλωκὼς ἀγωγὴν διενέγκεῖν ἅπαντας τοὺς καθ᾽ ἑαυτὸν ἱστορεῖται*[d].

a) Cf. Hieron. Catal. Script. Eccles. 11. De Iudaeo graece docto, qui Aristotelis tempore vixerit, narrat Clearchus Solensis ap. Ioseph. c. Apionem I, 22, p. 454 Haverk., cf. Verraert de Clearcho Sol. p. 72—77. De Aristobulo Iudaeo constat ex diatriba Valckenaerii. De Iudaeis Alexandrinis in universum cf. Zeller *d. Philos. d. Gr.* III, 3, p. 208 sqq. ed. 2. — **b)** Cf. Philo ed. Pfeiffer I, p. XX. — **c)** Loquitur de legatione ad C. Caligulam, quam pro Iudaeis Alexandrinis susceperat Philo p. Chr. n. 40. Ipse tunc iam senex erat, Philo de Leg. ad Caium 28, p. 572 Mang. Summum philosophiae amorem ipse profitetur De Special. L. I init. — **d)** Praeter Platonem et Pythagoreos etiam Peripateticorum

et Stoicorum vestigia in eius scriptis deprehendas, ut labantibus illis antiquae philosophiae temporibus diversarum scholarum placita et rationes commisceri solebant atque ad altiorem scilicet intellectum revocari, cf. supra n. 6. 7. 427 not.; Ritter *Gesch. der Philos.* IV, p. 445 ed. 2; Prantl *Gesch. d. Logik* I, p. 578 sqq. Philo autem praeter Graecos etiam priscam sapientiam Orientis summis laudibus celebrat omnemque illam philosophandi rationem eclecticam ita cum disciplinae Iudaicae observantia consociat, ut quidquid ipsi ex ceterarum gentium philosophia ac litteris probatur, hoc ad Mosaicam legislationem referat ex eaque processisse putet, cf. Quod omn. Prob. lib. 8, p. 454; de Iudice 2, p. 345; Quis Rer. Div. Her. 43, p. 503; de Vita Mos. II, 4, p. 137, ipsa vero Mosaicae legis monumenta allegorica interpretatione ad novas abditasque sententias revocet atque inflectat.

483 De Confus. Ling. 20, p. 419. *Ἐμπρεπὲς γὰρ τοῖς ἑταιρίαν πρὸς ἐπιστήμην θεμένοις ἐφίεσθαι μὲν τοῦ τὸ ὂν*) ἰδεῖν· εἰ δὲ μὴ δύναιντο, τὴν γοῦν εἰκόνα αὐτοῦ, τὸν ἱερώτατον λόγον*[a], *μεθ' ὃν καὶ τὸ ἐν αἰσθητοῖς τελειότατον, τόνδε τὸν κόσμον. τὸ γὰρ φιλοσοφεῖν οὐδὲν ἦν ἄλλο ἢ ταῦτα σπουδάζειν ἀκριβῶς ἰδεῖν*[b].

a) *Τὸ ὄν* est deus, cf. n. 487, not. a. De Logo n. 492 not. Cf. de Post. Caini 30, p. 244. *Ἐπειδὴ γὰρ πρῶτος καὶ μόνος τῶν ὅλων βασιλεὺς ὁ θεός ἐστι, καὶ ἡ πρὸς αὐτὸν ὁδός, ἅτε βασιλέως οὖσα, εἰκότως ὠνόμασται βασιλική, ταύτην δὲ ἡγοῦ φιλοσοφίαν, οὐχ ἣν μέτεισιν ὁ νῦν ἀνθρώπων σοφιστικὸς ὅμιλος· λόγων γὰρ οὗτοι τέχνας μελετήσαντες κατὰ τῆς ἀληθείας τὴν πανουργίαν σοφίαν ἐκάλεσαν, ἔργῳ μοχθηρῷ θεῖον ἐπιφημίσαντες ὄνομα· ἀλλ' ἣν**) ὁ ἀρχαῖος ἀσκητῶν θίασος διήθλει τὰς πιθανοὺς τῆς ἡδονῆς γοητείας ἀποστρεφόμενος, ἀστείῳ καὶ αὐστηρῷ χρώμενος τῇ τοῦ καλοῦ μελέτῃ. τὴν βασιλικὴν ταύτην ὁδόν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμος καλεῖ θεοῦ ῥῆμα καὶ λόγον.*— **b)** Cf. Quod Deus Immut. 30, p. 294. *Ταύτην* (sc. *τὴν τοῦ αἰωνίου καὶ ἀφθάρτου τελείαν ὁδόν, τὴν πρὸς θεὸν ἄγουσαν*) *ἴσθι σοφίαν· διὰ γὰρ ταύτης ὁ νοῦς ποδηγετούμενος εὐθείας καὶ λεωφόρου ὑπαρχούσης ἄχρι τῶν τερμάτων ἀφικνεῖται· τὰ δὲ τέρματα τῆς ὁδοῦ γνῶσίς ἐστι καὶ ἐπιστήμη θεοῦ.*

484 De Congr. Erud. Gr. 18, p. 533. *Ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα εἶναι δοκεῖ, αἴσθησις, λόγος, νοῦς· αἰσθητῶν μὲν αἴσθησις, ὀνομάτων δὲ καὶ ῥημάτων καὶ τῶν λεγομένων ὁ λόγος,*

---

*) Ita Euseb. Pr. Ev. XI, 15 et Cod. A. Pfeifferi. Vulgo *τοῦτον*.— **) Codd. *οὖν*.

νοητῶν δὲ νοῦς. Ἀφ' ἑκάστου δὴ τῶν τριῶν μέτρων τούτων ἀπαρκτέον ὥσπερ τιν' ἱερὰν δεκάτην, ἵνα καὶ τὸ λέγειν καὶ τὸ αἰσθάνεσθαι καὶ τὸ καταλαμβάνειν ἀνυπαιτίως καὶ ὑγιεινῶς κατὰ Θεὸν ἐξετάζηται. τὸ γὰρ ἀληθινόν καὶ δίκαιον μέτρον τοῦτ' ἔστι, τὰ δὲ καθ' ἡμᾶς ψευδῆ τε καὶ ἄδικα.

De Sacrif. Ab. et Caini 28, p. 181. *Θεῷ δὲ οὐδὲν ἄδηλον οὐδὲ ἀμφισβητούμενον, ὃς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδειχε. — — Ἄμεινον δὲ οὐδὲν ἐπινοῆσαι θέμις τοῦ αἰτίου, ὁπότε οὐδὲ ἴσον, ἀλλ' οὐδὲ ὀλίγῳ καταδεέστερον, ἀλλ' ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ Θεὸν εὑρίσκεται.* De Incorr. Mundi 13, p. 500. *Ἴσος γὰρ αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ὁ Θεός, μήτε ἄνεσιν πρὸς τὸ χεῖρον μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος.* De Cherub. 6, p. 142. *Τὸ δὲ στῆναι καὶ ἄτρεπτον κτήσασθαι διάνοιαν ἐγγὺς ἐπιβαίνει Θεοῦ δυνάμεως*), ἐπειδὴ τὸ μὲν Θεῖον ἄτρεπτον, τὸ δὲ γενόμενον φύσει μεταβλητόν. Εἴ τις οὖν τὴν γενέσεως οἰκείαν φορὰν ἔρωτι ἐπιστήμης ἐγχαλινωσάμενος ἐβιάσατο στῆναι ποιῆσαι, μὴ λανθανέτω θείας εὐδαιμονίας ἐγγὺς ὤν.* De Mut. Nom. 5, p. 585. *Τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως ἱκανὸς ἦν αὐτὸς* (sc. *ὁ Θεὸς*) *ἑαυτῷ καὶ**) *μετὰ τὴν κόσμου γένεσιν ὁ αὐτὸς ἔμεινεν οὐ μεταβαλών;* 485

Leg. Alleg. I, 14, p. 52. *Θεοῦ γὰρ οὐδὲ ὁ σύμπας κόσμος ἄξιον ἂν εἴη χωρίον καὶ ἐνδιαίτημα, ἐπεὶ αὐτὸς ἑαυτῷ τόπος καὶ αὐτὸς ἑαυτοῦ πλήρης καὶ ἱκανὸς αὐτός***) ἑαυτῷ ὁ Θεός, τὰ μὲν ἄλλα ἐπιδεῆ καὶ ἔρημα καὶ κενὰ ὄντα πληρῶν καὶ περιέχων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἄλλου περιεχόμενος, ἅτε εἷς καὶ τὸ πᾶν αὐτὸς ὤν.* Ib. II, 1, p. 66. *Ὁ Θεὸς μόνος ἐστὶ καὶ ἕν, οὐ σύγκριμα, φύσις ἁπλῆ· ἡμῶν δ' ἕκαστος καὶ τῶν ἄλλων ὅσα γέγονε πολλά, οἷον ἐγὼ πολλά εἰμι, ψυχὴ σῶμα, καὶ ψυχῆς ἄλογον λογικόν, πάλιν σώματος θερμὸν ψυχρόν, βαρὺ κοῦφον, ξηρὸν ὑγρόν. ὁ δὲ Θεὸς οὐ σύγκριμα οὐδὲ ἐκ πολλῶν συνεστώς, ἀλλ' ἀμιγὴς ἄλλῳ. ὃ γὰρ ἂν προσκριθῇ Θεῷ ἢ κρεῖσσόν ἐστιν αὐτοῦ ἢ* 486

*) Probabilius *εὐδαιμονίας*, quod proponit Mangey. — **) Vulgo *καὶ φίλος*, quod recte eiiciendum dicit Mangey, quem v. — ***) *αὐτὸς* inseruit Mangey ex Mss.

ἐλασσον ἢ ἴσον αὐτῷ. οὔτε δὲ ἴσον οὔτε κρεῖσσόν ἐστι θεοῦ, ἐλασσόν γε μὴν οὐδὲν αὐτῷ προσκρίνεται· εἰ δὲ μή, καὶ αὐτὸς ἐλαττωθήσεται· εἰ δὲ τοῦτο, καὶ φθαρτὸς ἔσται[a], ὅπερ οὐδὲ θέμις νοῆσαι. τέτακται οὖν ὁ θεὸς κατὰ τὸ ἓν καὶ τὴν μονάδα· μᾶλλον δὲ καὶ ἡ μονὰς κατὰ τὸν ἕνα θεόν[b]· πᾶς γὰρ ἀριθμὸς νεώτερος κόσμου, ὡς καὶ χρόνος· ὁ δὲ θεὸς πρεσβύτερος κόσμου καὶ δημιουργός.

a) Cf. de Incorr. Mundi 11, p. 498. *Πάνθ' ὅσα τῶν συνθέτων φθείρεται, διάλυσιν εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει. διάλυσις δ' οὐδὲν ἦν ἄρα ἢ πρὸς τὰ κατὰ φύσιν ἑκάστων ἐπάνοδος.* — **b)** De Vit. Contempl. I, p. 472 deus dicitur *τὸ ὄν, ὃ καὶ ἀγαθοῦ κρεῖττόν ἐστι καὶ ἑνὸς εἰλικρινέστερον καὶ μονάδος ἀρχεγονώτερον.*

487 Quod Deus Immut. 11, p. 281. *Τῶν — ἀνθρώπων οἱ μὲν ψυχῆς, οἱ δὲ σώματος γεγόνασι φίλοι. οἱ μὲν οὖν ψυχῆς ἑταῖροι νοηταῖς καὶ ἀσωμάτοις φύσεσιν ἐνομιλεῖν δυνάμενοι οὐδεμιᾷ τῶν γεγονότων ἰδέᾳ παραβάλλουσι τὸ ὄν[a], ἀλλ' ἐκβιβάσαντες*) *αὐτὸ πάσης ποιότητος (ἓν γὰρ τῶν εἰς τὴν μακαριότητα αὐτοῦ καὶ τὴν ἄκραν εὐδαιμονίαν ἦν τὸ ψιλὴν ἄνευ χαρακτῆρος τὴν ὕπαρξιν καταλαμβάνεσθαι) τὴν κατὰ τὸ εἶναι μόνον φαντασίαν**) ἐνεδέξαντο, μὴ μορφώσαντες αὐτό[b]. οἱ δὲ συμβάσεις καὶ σπονδὰς πρὸς σῶμα θέμενοι, ἀδυνατοῦντες ἀπαμφιάσασθαι τὸ σαρκῶν περίβλημα καὶ μόνην καὶ καθ' ἑαυτὴν ἀπροσδεᾶ καὶ ἁπλῆν φύσιν ἰδεῖν, ἀμιγῆ καὶ ἀσύγκριτον, ὁποῖα περὶ ἑαυτῶν, τοιαῦτα καὶ περὶ τοῦ πάντων αἰτίου διενοήθησαν.*

a) Deus Philoni saepissime *τὸ ὄν* appellatur, v. n. 483. 487, not. b. aliis locis *ὁ ὤν*, secundum Exod. III, 14. *ἐγώ εἰμι ὁ ὤν*. V. Quod Det. Post. Insid. 44, p. 222. *Τῶν γὰρ ἀρετῶν ἡ μὲν θεοῦ πρὸς ἀλήθειάν ἐστι, κατὰ τὸ εἶναι συνεστῶσα· ἐπεὶ καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ὑφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὐτοῦ, Ἐγώ εἰμι ὁ ὤν, ὡς τῶν μετ' αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νομιζομένων.* — **b)** Cum deum idem esse poneret quod *τὸ ὄν*, consequens erat, ut eum diceret esse *ἄποιον* h. e. sine omni proprietate ac forma, Leg. Alleg. I, 13, p. 50; 15, p. 53. *δεῖ γὰρ ἡγεῖσθαι καὶ ἄποιον αὐτὸν εἶναι καὶ ἄφθαρτον καὶ ἄτρεπτον*, nil praeter generalissimum, v. Leg. Alleg. II, 21, p. 82. *τὸ δὲ γενικώτατόν ἐστιν ὁ θεός.*

---

*) Vulgo et cod. A *ἐπιβιβάσαντες. ἐκβ.* Mang. ex codd. — **) Vulgo et cod. A *φαντασίαν μόνην.* Deinde cod. A. *ἐδέξαντο — αὐτόν.*

De Somn. I, 39, p. 655. *Καὶ γὰρ ἐν ἑτέροις σκεψάμε-* 488
νος εἰ ἔστι τι τοῦ ὄντος ὄνομα, σαφῶς ἔγνω (sc. ὁ *ἱερὸς λόγος*) *ὅτι κύριον μὲν οὐδέν, ὃ δ' ἂν εἴπῃ τις, καταχρώμενος ἐρεῖ· λέγεσθαι γὰρ οὐ πέφυκεν ἀλλ' ἢ μόνον εἶναι τὸ ὄν**).

Cf. de Vit. Mos. I, 14, p. 92 extr. Nomen dei proprie non deo sed potestati dei attribuendum est; de Conf. Ling. 27, p. 425. At novit Philo aliud nomen idque sacrum, quo proprie possit appellari, quod est in arcanis et opertis, *ὃ μόνοις τοῖς ὦτα καὶ γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ δ' οὐδενὶ τὸ παράπαν οὐδαμοῦ*. De Vit. Mos. III, 11, p. 152. Cf. Quis Div. Rer. Her. 35, p. 497 in.; de Lgs. ad. Cai. 44, p. 597 extr.

De Praem. et Poen. 6, p. 414. *Ἐκεῖνο μὲν γάρ, ὃ καὶ* 489
ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ ἑνὸς εἰλικρινέστερον, ἀμήχανον ὑφ' ἑτέρου τινὸς θεωρεῖσθαι, διότι μόνον θέμις αὐτὸν ὑφ' αὑτοῦ καταλαμβάνεσθαι. Quod Deus Immut. 13, p. 282. *Τούτοις οἰκειότατον πρόκειται κεφάλαιον ἐν τοῖς ἱεροφαντηθεῖσι χρησμοῖς, ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεός, ἀλλ' οὔθ' ὡς οὐρανὸς οὔθ' ὡς κόσμος· ποιὰ γὰρ εἴδη ταῦτά γε*[a] *καὶ εἰς αἴσθησιν ἐρχόμενα. ὁ δ' ἄρα οὐδὲ τῷ νῷ καταληπτός, ὅτι μὴ κατὰ τὸ εἶναι μόνον· ὕπαρξις γάρ ἐστιν ὃ***) *καταλαμβάνομεν αὐτοῦ, τὸ δὲ χωρὶς ὑπάρξεως οὐδέν.* De Mut. Nom. 2, p. 579. *Μὴ μέντοι νομίσῃς τὸ ὄν, ὃ ἐστι πρὸς ἀλήθειαν ὄν, ὑπ' ἀνθρώπου τινὸς καταλαμβάνεσθαι, ὄργανον****) *γὰρ οὐδὲν ἐν ἑαυτοῖς ἔχομεν, ᾧ δυνησόμεθα ἐκεῖνο φαντασιασθῆναι, οὔτ' αἰσθησιν (αἰσθητὸν γὰρ οὐκ ἔστι) οὔτε ἰσχύν. Μωυσῆς οὖν ὁ τῆς ἀειδοῦς φύσεως θεατὴς καὶ θεόπτης (εἰς γὰρ τὸν γνόφον φασὶν αὐτὸν οἱ χρησμοὶ*[b] *εἰσελθεῖν τὴν ἀόρατον οὐσίαν αἰνιττόμενοι) πάντα διὰ πάντων ἐρευνήσας ἐζήτει τὸν τριπόθητον καὶ μόνον τηλαυγῶς ἰδεῖν. ἐπεὶ δ' οὐδὲν εὕρισκεν, ἀλλ' οὐδὲ ἐμφερῆ τινὰ ἰδέαν τῷ ἐλπιζομένῳ, τὴν ἀπὸ τῶν ἄλλων διδασκαλίαν ἀπογνοὺς ἐπ' αὐτὸ καταφεύγει τὸ ζητούμενον καὶ δεῖται λέγων, Ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἴδω σε*[c]*, καὶ ὅμως ἀμοιρεῖ τῆς προθέσεως, αὐταρκεστάτης δωρεᾶς τῷ θνητῷ ἀρίστῳ γένει νομισθείσης τῆς μετὰ τὸ ὂν σωμάτων τε ὁμοῦ καὶ πραγμάτων ἐπιστήμης. λέγεται γάρ, Ὄψει τὰ ὀπίσω μου, τὸ δὲ*

---

*) Mangey ex Mss. *ἀλλὰ μόνον εἶναι τὸ ὄν*. Edd. prior. *ἀλλ' ἢ μόνον τὸ ὄν*. Cod. A *ἀλλὰ μόνον τὸ ὄν*. — **) Ita codd. Med. Vat. Monac. *ἐσθ' ἣν* edd. prior. — ***) Ex coni. Mangey. Vulgo *ὁρᾶν*.

πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι[d] *· ὡς τῶν ὅσα μετὰ τὸ ὄν, σωμάτων τε ὁμοῦ καὶ πραγμάτων, εἰς κατάληψιν ἐρχομένων, εἰ καὶ μὴ πάντα ἤδη καταλαμβάνεται, μόνου δ' ἐκείνου μὴ πεφυκότος ὁρᾶσθαι. καὶ τί θαυμαστὸν εἰ τὸ ὂν ἀνθρώποις ἀκατάληπτον, ὁπότε καὶ ὁ ἐν ἑκάστῳ νοῦς ἄγνωστος ἡμῖν ἐστί; τίς ψυχῆς οὐσίαν εἶδεν; ἧς ἡ ἀδηλότης μυρίας ἔριδας σοφισταῖς ἐγέννησεν, ἐναντίας εἰσηγουμένοις γνώμας ἢ καὶ ὅλοις γένεσιν ἀντιστατούσας*[e].

a) Cum deus sit sine qualitate (*ἄποιος*), sequitur ut non possit cognosci. Esse deum ratum est, nil amplius. — **b)** Exod. XX, 21. — **c)** Exod. XXXIII, 13. — **d)** Ib. 23. — **e)** Cf. Leg. Alleg. I, 29, p. 62. Vides eum ferme ad instar Academiae novae loqui, quod facit identidem. De ipsis dubitationibus cf. de Ebriet. 41 sqq.. p. 382 sqq. Cum quibus tamen nihil aliud sibi vult nisi hominum scientiam per se inopem esse, a deo solo veritatem repetendam; de Conf. Ling. 25, p. 424. *Ἦ οὐχὶ καὶ ὁ νοῦς πολλάκις ἐπὶ μυρίων ὅσων ἠλέγχθη παρανοιῶν; καὶ αἱ αἰσθήσεις ἅπασαι ψευδομαρτυριῶν ἑάλωσαν, οὐ παρ' ἀλόγοις δικασταῖς, οὓς εἰκὸς ἀπατᾶσθαι, ἀλλ' ἐν τῷ τῆς φύσεως αὐτῆς δικαστηρίῳ, ἣν οὐ θέμις δεκάσασθαι. καὶ μὲν σφαλλομένων γε τῶν καθ' ἡμᾶς αὐτοὺς περί τε νοῦν καὶ αἴσθησιν κριτηρίων, ἀνάγκη τὸ ἀκόλουθον ὁμολογεῖν, ὅτι ὁ θεὸς τῷ μὲν τὰς ἐννοίας, τῇ δὲ τὰς ἀντιλήψεις ἐπομβρεῖ καί ἐστιν οὐ τῶν καθ' ἡμᾶς μερῶν χάρις τὰ γιγνόμενα, ἀλλὰ τοῦ δι' ὃν καὶ ἡμεῖς γεγόναμεν δωρεαὶ πᾶσαι.* Quae eo differunt a nostro loco quod in hoc non attingitur oppositum cognitionis divinitus datae et eius quam homines per se sequuntur, ut dubites utro significetur vera Philonis sententia; et solet ille solutius disserere, ut saepenumero sibimet ipsi pugnet. Ita alibi hominem posse divinum cognoscere dicit, velut Leg. Alleg. II, 18, p. 79, id quod etiam nostro loco ponitur quodam modo, si Moses dicitur *εἰσελθεῖν εἰς τὴν ἀόρατον οὐσίαν.*

Cum deus Philoni videretur supra omnem laudem excellentiamque et supra ipsum bonum longe eminens esse, consentaneum erat ut eum neque notionibus neque nominibus ullis attingi posse poneret. Enimvero quum philosophiam diceret esse studium cognitionis dei, non potuit quin interdum etiam affirmando de deo loqueretur, velut de Mundi Opif. 2, p. 2. *Καὶ ὅτι τὸ μὲν δραστήριον* (sc. *αἴτιον*) *ὁ τῶν ὅλων νοῦς ἐστὶν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος, κρείττων τε ἢ ἀρετὴ καὶ κρείττων ἢ ἐπιστήμη καὶ κρείττων ἢ αὐτὸ τἀγαθὸν καὶ αὐτὸ τὸ καλόν,* ubi patet eum deflectere a doctrina Platonis. Neque in eo sibi constat Philo quod deum sine ulla cautione modo *δημιουργὸν* nominat, cf. n. 486, modo *κτίστην*, de Somn. I, 13 extr., p. 632, modo *τὸν πατέρα τῶν γιγνομένων*, Alleg. Leg. I, 7, p. 47. Quae nomina ponuntur ut quae deo cum mundo intercedat ratio indicetur; sed hoc ipsum est, quo sua decreta deserit, in ceteris dei nullam omnino ad quidquam rationem esse affirmare solitus, velut de Mutat. Nom. 4 in., p. 582. *τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν*

πρός τι. Imprimis notabile Philonem negare dei cognitionem patere nobis in mundo rationaliter contemplando, de Leg. ad Cai. I, p. 546. *Οὐδὲ γὰρ ὁ σύμπας οὐρανὸς ἔναρθρος φωνὴ γενόμενος εὐθυβόλων καὶ εὐσκόπων εἰς τοῦτο ἂν εὐποροίη ῥημάτων* (sc. *πρὸς δήλωσιν τοῦ ὄντος*). Inde sequitur ut deum neget ulla cogitatione ullave argumentatione comprehendi posse, de Post. Caini 48, p. 258. *ἀνθρώπου γὰρ ἐξαρκεῖ λογισμῷ μέχρι τοῦ καταμαθεῖν ὅτι ἔστι τε**) *καὶ ὑπάρχει τὸ τῶν ὅλων αἴτιον προελθεῖν· περαιτέρω δὲ καὶ σπουδάζειν τρέπεσθαι, ὡς περὶ οὐσίας ἢ ποιότητος ζητεῖν, διωλύγιός τις***) *ἠλιθιότης.* Hinc contemtus ille, quem prae se fert, intelligentiae ac philosophiae mundanae, quam negat ad aliud quicquam attinere nisi ad declinandos errores allucinationesque sophistarum. De Ebriet. 12, p. 364; Quod Deter. Pot. Ins. 10 sqq., p. 197; de Migr. Abrah. 13 sq., p. 447. — {Fallitur Ritterus, Philonem his sententiis sibi pugnare censens; est enim vera Platonis doctrina, quam Philo profitetur, cf. *Stud. z. Gesch. d. Begr.* p. 389 sqq. 402. 407.} De theologia Philonis cf. Leg. Alleg. III, 32, p. 107, de Decal. 21 extr., p. 198, de Decal. 10, p. 187; Quod omn. Prob. lib. 2, p. 447; de Gigant. 5 in. p. 265; de Abrah. 17 extr., p. 13; de Mundi Opif. 23, p. 16; de Cherub. 9 in., p. 143; de Vita Contempl. 2, p. 473; de Migr. Abrah. 7, p. 441; 34, p. 466; Quis Rer. Div. Her. 53, p. 511; de Migr. Abr. 24, p. 456.

De Mundi Opif. 2, p. 2. *Τινὲς γὰρ τὸν κόσμον μᾶλλον* 490
*ἢ τὸν κοσμοποιὸν θαυμάσαντες τὸν μὲν ἀγέννητόν τε καὶ ἀΐδιον ἀπεφήναντο, τοῦ δὲ θεοῦ πολλὴν ἀπραξίαν οὐκ εὐαγῶς****) *κατεψεύσαντο, δέον ἔμπαλιν τοῦ μὲν τὰς δυνάμεις ὡς ποιητοῦ καὶ πατρὸς καταπλαγῆναι, τὸν δὲ μὴ πλέον τοῦ μετρίου ἀποσεμνύναι. Μωυσῆς δὲ καὶ φιλοσοφίας ἐπ᾽ αὐτὴν φθάσας ἀκρότητα καὶ χρησμοῖς τὰ πολλὰ καὶ συνεκτικώτατα τῶν τῆς φύσεως ἀναδιδαχθεὶς ἔγνω δὴ ὅτι ἀναγκαιότατόν ἐστιν ἐν τοῖς οὖσι τὸ μὲν εἶναι δραστήριον αἴτιον, τὸ δὲ παθητικόν· καὶ ὅτι τὸ μὲν δραστήριον ὁ τῶν ὅλων νοῦς ἐστὶν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος κρείττων τε ἢ ἀρετὴ καὶ κρείττων ἢ ἐπιστήμη καὶ κρείττων ἢ αὐτὸ τἀγαθὸν καὶ αὐτὸ τὸ καλόν. τὸ δὲ παθητικὸν ἄψυχον καὶ ἀκίνητον ἐξ ἑαυτοῦ, κινηθὲν δὲ καὶ σχηματισθὲν καὶ ψυχωθὲν ὑπὸ τοῦ νοῦ μετέβαλεν εἰς τὸ τελειότατον ἔργον, τόνδε τὸν κόσμον.*

---

*) Vulgo *τι.* Recep. coni. Mang. — **) Vulgo *ὡς δι᾽ ὑγιός.* Mang. coni. *διωλύγιος*, qua voce saepius utitur Philo; cf. Ruhnk. ed. Tim. p. 89. Ed. Lips. *ὠγύγιός τις ἠλιθιότης.* — ***) Sic Mangey fide Mss. pro *ἐναγῶς.*

Quidquid effectum est iudicatur et causa *δι᾽ οὗ* et causa *ἐξ οὗ*: haec est *τὸ παθητικὸν αἴτιον*, materia s. quatuor elementa; de Cherub. 35, p. 162. *πρὸς γὰρ τὴν τινος γένεσιν πολλὰ δεῖ συνελθεῖν, τὸ ὑφ᾽ οὗ, τὸ ἐξ οὗ, τὸ δι᾽ οὗ, τὸ δι᾽ ὅ. καὶ ἔστι μὲν τὸ ὑφ᾽ οὗ τὸ αἴτιον, ἐξ οὗ δὲ ἡ ὕλη, δι᾽ οὗ δὲ τὸ ἐργαλεῖον, δι᾽ ὅ δὲ ἡ αἰτία κτλ.*, ubi apparet subesse causas Aristotelicas, sed aliquantum immutatas. De materia sequitur partim Stoicos, ex parte etiam Aristotelem. Statuit eam esse *οὐσίαν δυναμένην γενέσθαι πάντα, ἐξ ἑαυτῆς ἄτακτον*, appellatque etiam *μὴ ον*, cf. Quod Deus Immutab. 25, p. 290. Nihilominus non potest non concedere dei consilium ac potentiam, si res creatae quantopere sint imperfectae consideramus et ad perfectam dei voluntatem exprimendam quam parum aptae, non absolute videri sese exprimere posse; ib. 17, p. 284 sq. *Ὁ γὰρ θεὸς ταῖς δυνάμεσι πρὸς μὲν ἑαυτὸν ἀκράτοις χρῆται, κεκραμέναις δὲ πρὸς γένεσιν· τὰς γὰρ ἀμιγεῖς θνητὴν ἀμήχανον φύσιν χωρῆσαι. — — εἰδὼς τοίνυν ὁ δημιουργὸς τὰς περὶ αὑτὸν ἐν ἅπασι τοῖς ἀρίστοις ὑπερβολάς, καὶ τὴν τῶν γεγονότων, εἰ καὶ σφόδρα μεγαλαυχοῖεν, φυσικὴν ἀσθένειαν, οὔτε εὐεργετεῖν οὔτε κολάζειν ὡς δύναται βούλεται, ἀλλ᾽ ὡς ἔχοντας ὁρᾷ δυνάμεως τοὺς ἑκατέρου μεθέξοντας.* Materia dicitur etiam *ἡ χείρων οὐσία*, ut quae sit causa, propter quam res maneant imperfectae parumque ad dei consilium accommodatae; de Constit. Princ. 7, p. 367. Deus contra solius boni causa est; de Agric. 29, p. 320; de Nom. Mutat. 4, p. 583. Malum procedit ex materia, cuius ea natura est, ut possit et bonum et malum in se admittere, l. l.

491 De Sacrificantibus 13, p. 261. *Ἐξ ἐκείνης γὰρ* (sc. *τῆς οὐσίας*) *πάντ᾽ ἐγέννησεν ὁ θεός, οὐκ ἐφαπτόμενος αὐτός· οὐ γὰρ ἦν θέμις ἀπείρου καὶ πεφυρμένης ὕλης ψαύειν τὸν ἴδμονα καὶ μακάριον, ἀλλὰ ταῖς ἀσωμάτοις δυνάμεσιν, ὧν ἔτυμον ὄνομα αἱ ἰδέαι, κατεχρήσατο πρὸς τὸ γένος ἕκαστον τὴν ἁρμόττουσαν λαβεῖν μορφήν.* De Conf. Ling. 35, p. 432. *Θεῷ γὰρ τῷ πανηγεμόνι ἐμπρεπὲς οὐκ ἔδοξεν εἶναι τὴν ἐπὶ κακίαν ὁδὸν ἐν ψυχῇ λογικῇ δι᾽ ἑαυτοῦ δημιουργῆσαι· οὗ χάριν τοῖς μετ᾽ αὐτὸν ἐπέτρεψε τὴν τούτου τοῦ μέρους κατασκευήν. ἔδει γὰρ καὶ τὸ ἀντίπαλον τῷ ἀκουσίῳ τὸ ἑκούσιον εἰς τὴν τοῦ παντὸς συμπλήρωσιν κατασκευασθὲν ἀναδειχθῆναι.*

Vides hos locos aliquantum differre. Altero enim deus omnia praeter malum creasse affirmatur, altero nihil quidquam, quod quidem in hoc mundo sit, ab eo creatum esse dicitur. Posteriore sententia Philonis melius exprimitur, priore continetur argumentum sententiae; est enim in hoc mundo nihil ad quod malum non pertineat. Propter id ipsum deus in creando mundo utitur potestatibus quibusdam divinis ministrantibus, veluti deus Platonicus utitur diis minoribus, v. supra n. 266. Philo ex his ipsis potestatibus consistere dicit mundum intelligibilem s. mundum

idearum. De Confus. Ling. 34, p. 431. *Εἷς ὢν ὁ θεὸς ἀμυθήτους περὶ αὑτὸν ἔχει δυνάμεις ἀρωγοὺς καὶ σωτηρίους τοῦ γενομένου πάσας. — δι' αὗ τούτων τῶν δυνάμεων ὁ ἀσώματος καὶ νοητὸς ἐπάγη κόσμος, τὸ τοῦ φαινομένου τοῦδε ἀρχέτυπον, ἰδέαις ἀοράτοις συσταθείς, ὥσπερ οὗτος σώμασιν ὁρατοῖς*: quamquam aliis locis eum mundum ab ipso deo summo repetit, v. loc. sq. Potestates autem illas divinas atque satellites (*δορυφορούσας δυνάμεις*) ubi adhibet, modo *λόγους* eas appellat et *ψυχὰς* et *ἀγγέλους* tanquam nuntios atque ministros dei descendentes atque ascendentes, v. De Somn. I, 12, p. 631; 21, p. 640. *εἰδέναι δὲ νῦν προσήκει ὅτι ὁ θεῖος τόπος καὶ ἡ ἱερὰ χώρα πλήρης ἀσωμάτων ἐστὶ λόγων· ψυχαὶ δέ εἰσιν ἀθάνατοι οἱ λόγοι οὗτοι.* Ib. 22, p. 641; 23, p. 643, al.: modo *ἀρετὰς* s. virtutes, De Profug. 9, p. 553, et *χάριτας θεοῦ*, Leg. Alleg. 20, p. 81, ut quasi actiones atque potestates dei summi esse videantur, quem aliis locis dicit, etiamsi non existat neque loco neque tempore, complere mundum et per eum mediantibus illis potestatibus commeare, v. De Poster. Caini 5, p. 229; De Mutat. Nom. 4, p. 583. *τὸ γὰρ ὄν, ᾗ ὄν ἐστιν, οὐχὶ τῶν πρός τι· αὐτὸ γὰρ ἑαυτοῦ πλῆρες καὶ αὐτὸ ἑαυτῷ ἱκανὸν καὶ πρὸ τῆς τοῦ κόσμου γενέσεως καὶ μετὰ τὴν γένεσιν τοῦ παντὸς ἐν ὁμοίῳ.— τῶν δὲ δυνάμεων, ἃς ἔτεινεν εἰς γένεσιν ἐπ' εὐεργεσίᾳ τοῦ συσταθέντος, ἐνίας συμβέβηκε λέγεσθαι ὡσανεὶ πρός τι.* Maxime inter eas potestates eminent duae, qua deus creavit mundum et qua eum regit, *ἡ ἀγαθότης* et *ἡ ἐξουσία*. Utramque comprehendit Verbum Dei, *ὁ Λόγος*, quem omnem etiam mundum intelligibilem in se comprehendere dicit, v. loc. sq.

De Mundi Opif. 4, p. 4. *Προλαβὼν γὰρ ὁ θεὸς ἅτε θεός,* 492
ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο καλοῦ δίχα παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν ἀνυπαίτιον ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη, βουληθεὶς τὸν ὁρατὸν τουτονὶ κόσμον δημιουργῆσαι προεξετύπου τὸν νοητόν, ἵνα χρώμενος ἀσωμάτῳ καὶ θεοειδεστάτῳ παραδείγματι τὸν σωματικὸν τοῦτον ἀπεργάσηται πρεσβυτέρου νεώτερον ἀπεικόνισμα, τοσαῦτα περιέξοντα αἰσθητὰ γένη ὅσαπερ ἐν ἐκείνῳ νοητά[a]. 5. *Καθάπερ οὖν ἡ ἐν τῷ ἀρχιτεκτονικῷ προδιατυπωθεῖσα πόλις τὴν χώραν ἐκτὸς οὐκ εἶχεν, ἀλλ' ἐνεσφράγιστο τῇ τοῦ τεχνίτου ψυχῇ, τὸν αὐτὸν τρόπον οὐδὲ ὁ ἐκ τῶν ἰδεῶν κόσμος ἄλλον ἂν ἔχοι τόπον ἢ τὸν θεῖον λόγον τὸν ταῦτα διακοσμήσαντα· ἐπεὶ τίς ἂν εἴη τῶν δυνάμεων αὐτοῦ τόπος ἕτερος, ὃς γένοιτ' ἂν ἱκανός, οὐ λέγω πάσας, ἀλλὰ μίαν ἄκρατον ἐντινοῦν δέξασθαί τε καὶ χωρῆσαι*[b]; De Cherubim. 9, p. 143. *Ἤκουσα δέ ποτε καὶ σπουδαιοτέρου λόγου παρὰ ψυχῆς ἐμῆς εἰωθυίας τὰ πολλὰ θεοληπτεῖσθαι καὶ περὶ ὧν οὐχ οἷόν μαντεύεσθαι· ὧν ἐὰν δύνωμαι ἀπομνημονεύσας ἐρῶ. ἔλεγε δέ μοι κατὰ τὸν ἕνα ὄντως ὄντα θεὸν δύο τὰς ἀνωτάτω εἶναι*

καὶ πρώτας δυνάμεις, ἀγαθότητα καὶ ἐξουσίαν, καὶ ἀγαθότητι μὲν τὸ πᾶν γεγεννηκέναι[c], ἐξουσίᾳ δὲ τοῦ γενηθέντος ἄρχειν· τρίτον δὲ συναγωγὸν ἀμφοῖν μέσον εἶναι λόγον· λόγῳ γὰρ καὶ ἄρχοντα καὶ ἀγαθὸν εἶναι τὸν θεόν[d]. Quis Rer. Div. Her. 42, p, 501. Τῷ δὲ ἀρχαγγέλῳ καὶ πρεσβυτάτῳ λόγῳ δωρεὰν ἐξαίρετον ἔδωκεν ὁ τὰ ὅλα γεννήσας πατήρ, ἵνα μεθόριος στὰς τὸ γενόμενον διακρίνῃ τοῦ πεποιηκότος. ὁ δ᾽ αὐτὸς ἱκέτης μέν ἐστι τοῦ θνητοῦ κηραίνοντος ἀεὶ πρὸς τὸ ἄφθαρτον, πρεσβευτὴς δὲ τοῦ ἡγεμόνος πρὸς τὸ ὑπήκοον, — οὔτε ἀγέννητος ὡς ὁ θεὸς ὢν οὔτε γεννητὸς ὡς ὑμεῖς, ἀλλὰ μέσος τῶν ἄκρων, ἀμφοτέροις ὁμηρεύων[e].

a) In sequentibus mundum intelligibilem dicit minime loco contineri, sed esse tanquam adumbratam speciem atque imaginem urbis aedificandae in mente architecti insidentem. Aliis locis intellectum divinum h. e. mundum intelligibilem subesse mundo sensibili aperte significat, v. De Monarch. I, 1, p. 214. παγγέλοιον δὲ οἴεσθαι ὅτι νοῦς μὲν ὁ ἐν ἡμῖν, βραχύτατος ὢν καὶ ἀόρατος, ἡγεμὼν τῶν αἰσθητικῶν ὀργάνων ἐστίν, ὁ δὲ τοῦ παντὸς ὁ μέγιστος καὶ τελεώτατος οὐχὶ βασιλεὺς βασιλέων εἶναι πέφυκε, βλεπομένων οὐ βλεπόμενος. — **b)** Cf. De Mund. Opif. 6. Εἰ δέ τις ἐθελήσειε γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν εἶναι κόσμον ἢ θεοῦ λόγον ἤδη κοσμοποιοῦντος. — — καὶ ἡ ἀρχέτυπος σφραγίς, ὃν φαμεν εἶναι κόσμον νοητόν, αὐτὸς ἂν εἴη τὸ ἀρχέτυπον παράδειγμα, ἰδέα τῶν ἰδεῶν, ὁ θεοῦ λόγος. — **c)** Cf. in Platone n. 263 et quod eum locum Platonis respiciens scribit Philo Opif. Mund. 5, p. 5. εἰ γάρ τις ἐθελήσειε τὴν αἰτίαν, ἧς ἕνεκα τόδε τὸ πᾶν ἐδημιουργεῖτο, διερευνᾶσθαι, δοκεῖ μοι μὴ διαμαρτεῖν τοῦ σκοποῦ φάμενος ὅπερ καὶ τῶν ἀρχαίων εἴπέ τις, ἀγαθὸν εἶναι τὸν πατέρα καὶ ποιητήν κτλ. — **d)** Bonitatem h. e. potestatem creatricem dei solet appellare θεόν, potentiam h. e. potestatem gubernatricem κύριον; utrique si adiungas τὸν ὄντα h. e. deum summum atque ineffabilem (n. 487), effici triadem, v. Qu. in Genes. I, 57; IV, 2: De Abrah. 24, p. 19. Ἀλλ᾽ ἔστιν, ὡς ἂν τις τῆς ἀληθείας ἐγγύτατα ἱστάμενος εἴποι, πατὴρ μὲν τῶν ὅλων ὁ μέσος, ὃς ἐν ταῖς ἱεραῖς γραφαῖς κυρίῳ ὀνόματι καλεῖται ὁ ὤν, αἱ δὲ παρ᾽ ἑκάτερα πρεσβύταται καὶ ἐγγύταται τοῦ ὄντος δυνάμεις, ὧν ἡ μὲν ποιητική, ἡ δ᾽ αὖ βασιλικὴ προσαγορεύεται. καὶ ἡ μὲν ποιητικὴ θεός, ταύτῃ γὰρ ἔθηκέ τε καὶ διεκόσμησε τὸ πᾶν, ἡ δὲ βασιλικὴ κύριος, θέμις γὰρ ἄρχειν καὶ κρατεῖν τὸ πεποιηκὸς τοῦ γενομένου. δορυφορούμενος οὖν ὁ μέσος ὑφ᾽ ἑκατέρας τῶν δυνάμεων παρέχει τῇ ὁρατικῇ διανοίᾳ τοτὲ μὲν ἑνὸς τοτὲ δὲ τριῶν φαντασίαν. Adde Leg. Alleg. III, p. 101; Qu. Deus Immut. 24, p. 289; Mutat. Nom. 3, p. 581, al. Verbum Dei h. e. ὁ Λόγος modo esse ponitur id quo utraque potestas dei, et creandi et regendi mundum, in unum consocietur, modo supra utramque potestatem eminere dicitur, ut sit melius inter summas potestates et summum deum,

v. De Profug. 18, p. 560; Qu. in Exod. II, 68. — e) Cf. Leg. Alleg. III, 61, p. 121. *ὁ λόγος δὲ τοῦ θεοῦ ὑπεράνω παντός ἐστι τοῦ κόσμου καὶ πρεσβύτατος καὶ γενικώτατος τῶν ὅσα γέγονε.* De Confus. Ling. 28, p. 427, ubi dicitur *Λόγος πρωτόγονος, ἄγγελος πρεσβύτατος, ἀρχάγγελος πολυώνυμος.* Aliis locis dicitur primigenitus filius dei, De Agric. 12, p. 308, aliis deus secundus, Fragm. I ap. Euseb. Pr. Ev. VII. 13, p. 625, aliis idem atque Sapientia s. Scientia Dei, cum qua deus nonnunquam hunc mundum genuisse dicitur, Leg. Alleg. I, 19, p. 56; De Ebriet. 8, p. 361, tametsi aliis huius atque dei patris filius appellatur, De Profug. 20, p. 562. *διότι γονέων ἀφθάρτων καὶ καθαρωτάτων ἔλαχε, πατρὸς μὲν θεοῦ, ὃς καὶ τῶν συμπάντων ἐστὶ πατήρ, μητρὸς δὲ σοφίας, δι' ἧς τὰ ὅλα ἦλθεν εἰς γένεσιν.* Nonnullis locis dicitur esse instrumentum dei in mundo creando, Leg. Alleg. III, 31, p. 106. *Σκιὰ θεοῦ δὲ ὁ λόγος αὐτοῦ ἐστίν, ᾧ καθάπερ ὀργάνῳ προσχρησάμενος ἐκοσμοποίει,* cf. de Cherub. 35, p. 162, aliis summus pontifex (*ἀρχιερεύς*) atque advocatus (*παράκλητος*), qui inter deum et mundum tanquam mediator interpositus sit, hominum preces ad deum perferens et dei gratiam hominibus concilians, De Gigant. 11, p. 270; Vita Mos. 14, p. 156; De Profug. 20, p. 562. Denique aliis hunc esse affirmat qui sapientium animos scientia imbuat, Leg. Alleg. III, 61, p. 121. *τρέφεται δὲ τῶν μὲν τελειοτέρων ἡ ψυχὴ ὁλῳ τῷ λόγῳ, ἀγαπήσαιμεν δ' ἂν ἡμεῖς, εἰ καὶ μέρει τραφείημεν αὐτοῦ.* Ib. 73, p. 128. *εἰκότως γὰρ οὐδεὶς ὕμνησι κατὰ θεοῦ, ὅτι γε οὐ περὶ φύσεως αὐτοῦ διαγνῶναι δύναται, ἀλλ' ἀγαπητὸν ἐὰν τοῦ ὀνόματος αὐτοῦ δυνηθῶμεν, ὅπερ ἦν τοῦ ἑρμηνέως λόγου· οὗτος γὰρ ἡμῶν τῶν ἀτελῶν ἂν εἴη θεός, τῶν δὲ σοφῶν καὶ τελείων ὁ πρῶτος.* Ipse enim deus nisi a perfectis cognosci non potest, neque ab illis tam cognoscitur quam raro et raptim hauritur, cf. De Somm. I, 11, p. 630; Quod Deus Immutab. I, p. 273; De Confus. Ling. 20, p. 419.

Leg. Alleg. I, 3 in., p. 44. *Παύεται γὰρ οὐδέποτε ποιῶν* 493
ὁ θεός, ἀλλ' ὥσπερ ἴδιον τὸ καίειν πυρὸς καὶ χιόνος τὸ ψύχειν, οὕτω καὶ θεοῦ τὸ ποιεῖν, καὶ πολύ γε μᾶλλον, ὅσῳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀρχὴ τοῦ δρᾶν ἐστίν. De Cherub. 28, p. 156. *Αὐτὸς* (sc. *ὁ θεὸς*) *δ' ὢν ἀρχέτυπος αὐγὴ μυρίας ἀκτῖνας ἐκβάλλει, ὧν οὐδεμία ἐστὶν αἰσθητή, νοηταὶ δὲ αἱ ἅπασαι.*

Cf. De Somn. I, 13, p. 632. *πρῶτον μὲν ὁ θεὸς φῶς ἐστί, — καὶ οὐ μόνον φῶς, ἀλλὰ καὶ παντὸς ἑτέρου φωτὸς ἀρχέτυπον, μᾶλλον δὲ ἀρχετύπου πρεσβύτερον καὶ ἀνώτερον.* Ib. 19, p. 638, ubi asceticam contemplationem dicit, si sursum feratur, *ταῖς ἀρχετύποις καὶ ἀσωμάτοις ἀκτῖσι τῆς λογικῆς πηγῆς τοῦ τελεσφόρου θεοῦ περιλάμπεσθαι,* si deorsum *ταῖς ἐκείνων εἰκόσιν, ἀθανάτοις λόγοις, οὓς καλεῖν ἔθος ἀγγέλους,* cf. n. 491 not. Omnino quomodo potestates illae divinae atque verbum dei, denique quomodo mundus intelligibilis ac sensibilis ex deo summo exstiterit, hoc imaginibus magis multis atque diversis ludit quam certis

rationibus explicat; neque emanationis doctrinam, si ei hanc tribuere velis, ita sequitur ut origines et diversos gradus rerum creatarum certa ratione inde deducat. Similiter etiam logon modo instrumentum dei in mundo creando esse dicit (n. 492, not. e), modo ipsum inesse in mundo, quem tanquam vestem inductam teneat, tanquam vinculum contineat, tanquam lex dei fulciat, tanquam summa causa penetret etc., cf. De Profug. 20, p. 562; Quis Rer. Div. Her. 24, p. 489; 38, p. 499; De Plantat. No. 2, p. 331; De Agric. 12, p. 308, al. Qua in re nonnunquam similitudinibus suis ita fungitur ut duplicem logon cum in homine tum in omni rerum natura inesse dicat, alterum *ἐνδιάθετον* alterum *προφορικόν* (quae distinctio a Stoicis repetenda est, v. supra n. 391, not. a), v. Vit. Mos. III, 13, p. 154. *διττὸς γὰρ ὁ λόγος ἔν τε τῷ παντὶ καὶ ἐν ἀνθρώπου φύσει· κατὰ μὲν τὸ πᾶν ὅ τε περὶ τῶν ἀσωμάτων καὶ παραδειγματικῶν ἰδεῶν, ἐξ ὧν ὁ νοητὸς ἐπάγη κόσμος, καὶ ὁ περὶ τῶν ὁρατῶν, ἃ δὴ μιμήματα καὶ ἀπεικονίσματα τῶν ἰδεῶν ἐκείνων ἐστίν, ἐξ ὧν ὁ αἰσθητὸς οὗτος ἀπετελεῖτο· ἐν ἀνθρώπῳ δὲ ὁ μέν ἐστιν ἐνδιάθετος ὁ δὲ προφορικός, καὶ ὁ μὲν οἷά τις πηγή, ὁ δὲ γεγωνὸς ἀπ' ἐκείνου ῥέων*, cf. De Migrat. Abrah. 13: ubi apparet non duos logos, sed duos unius logi gradus distingui, quippe quo et mundus intelligibilis et mundus sensibilis contineatur. De ipso mundo creato et de providentia divina deque rebus naturalibus paucis immutatis repetit ea quae apud graecos philosophos, Platonem maxime et Stoicos, legerat. Notabile vero quantum numeris indulgeat, novos Pythagoreos in his secutus, cf. De Mundi Opif. 3, p. 3; 15, p. 10; 20, p. 14; 30 sqq., p. 21 sqq., al.

494 De Somn. I, 22, p. 641. *Ἀπὸ γὰρ τῆς σεληνιακῆς σφαίρας, ἣν ἐσχάτην μὲν τῶν κατ' οὐρανὸν κύκλων, πρώτην δὲ τῶν πρὸς ἡμᾶς ἀναγράφουσιν οἱ φροντισταὶ τῶν μετεώρων, ἄχρι γῆς ἐσχάτης ὁ ἀὴρ πάντη ταθεὶς ἔφθακεν. οὗτος δέ ἐστι ψυχῶν ἀσωμάτων οἶκος, ἐπειδὴ πάντα τῷ ποιητῇ τὰ τοῦ κόσμου μέρη καλὸν ἔδοξεν εἶναι ζῴων ἀναπλήσαι. διὰ τοῦτο γῇ μὲν τὰ χερσαῖα ἐγκατεσκεύασε, θαλάττῃ δὲ καὶ ποταμοῖς τὰ ἔννυδρα, οὐρανῷ δὲ τοὺς ἀστέρας, καὶ γὰρ ἕκαστον τούτων οὐ μόνον ζῷον, ἀλλὰ καὶ νοῦς ὅλος δι' ὅλων ὁ καθαρώτατος εἶναι λέγεται*[a] *· ὥστε καὶ ἐν τῷ λοιπῷ τμήματι τοῦ παντός, ἀέρι, ζῷα γέγονεν. εἰ δὲ μὴ αἰσθήσει καταληπτά, τί τοῦτο; καὶ ψυχὴ γὰρ ἀόρατον. καὶ μὴν εἰκός γε ἀέρα γῆς μᾶλλον καὶ ὕδατος ζωοτροφεῖν· διὰ τί; ὅτι καὶ τὸ ἐν ἐκείνοις οὗτος ἐψύχωσεν· ἐποίει γάρ αὐτὸν ὁ τεχνίτης ἀκινήτων μὲν σωμάτων ἕξιν, κινουμένων δὲ ἀφαντάστως φύσιν, ἤδη δὲ ὁρμῇ καὶ φαντασίᾳ χρῆσθαι δυναμένων ψυχήν· οὐχ ἄτοπον οὖν, δι' οὗ τὰ ἄλλα ἐψυχώθη, ψυχῶν ἀμοιρεῖν; διὸ μηδεὶς τὴν ἀρίστην φύσιν ζῴων τοῦ ἀρίστου τῶν περιγείων, ἀέρος, ἀφαι-*

ρείσθω· οὐ γὰρ μόνον ἐκ πάντων ἔρημος οὗτος, ἀλλ' οἷα πόλις ἐυανδρεῖ, πολίτας ἀφθάρτους καὶ ἀθανάτους ἔχων ψυχὰς ἰσαρίθμους ἄστροις. τούτων οὖν ψυχῶν αἱ μὲν κατίασιν ἐνδεθησόμεναι σώμασι θνητοῖς, ὅσαι προσγειότατοι καὶ φιλοσώματοι, αἱ δὲ ἀνέρχονται, διακριθεῖσαι πάλιν κατὰ τοὺς ὑπὸ φύσεως ὁρισθέντας ὁρισμοὺς καὶ χρόνους. τούτων αἱ μὲν τὰ σύντροφα καὶ συνήθη τοῦ θνητοῦ βίου ποθοῦσαι παλινδρομοῦσιν αὖθις, αἱ δὲ πολλὴν φλυαρίαν αὐτοῖ καταγνοῦσαι δεσμωτήριον καὶ τύμβον ἐκάλεσαν τὸ σῶμα, φυγοῦσαι δὲ ὥσπερ ἐξ εἱρκτῆς ἢ μνήματος ἄνω κούφοις πτεροῖς πρὸς αἰθέρα ἐξαρθεῖσαι μετεωροπολοῦσι τὸν αἰῶνα. ἄλλαι δ' εἰσὶ καθαρώταται καὶ ἄρισται, μειζόνων φρονημάτων καὶ θειοτέρων ἐπιλαχοῦσαι, μηδενὸς μὲν τῶν περιγείων ποτὲ ὀρεχθεῖσαι τὸ παράπαν, ὕπαρχοι δὲ τοῦ πανηγεμόνος, ὥσπερ μεγάλου βασιλέως ὀφθαλμοὶ καὶ ὦτα ἀφορῶσαι πάντα καὶ ἀκούουσαι· ταύτας δαίμονας μὲν οἱ ἄλλοι φιλόσοφοι, ὁ δὲ ἱερὸς λόγος ἀγγέλους εἴωθε καλεῖν[b].

a) Cf. De Mundi Opif. I, 8, p. 7; 17 sqq., p. 12 sqq.; 50, p. 34; De Plantat. 3, p. 331; De Gigant. 2, p. 263. *καὶ γὰρ οὗτοι (οἱ ἀστέρες) ψυχαὶ ὅλαι δι' ὅλων ἀκήρατοί τε καὶ θεῖαι, παρ' ὃ καὶ κύκλῳ κινοῦνται, τὴν συγγενεστάτην νῷ κίνησιν· νοῦς γὰρ ἑκάστοις αὐτῶν ἀκραιφνέστατος.* — **b)** Cf. n. 491 not.

Cf. De Gigant. 2 sq., p. 263 sq. (coll. Plat. Tim. p. 43); De Plantat. 4, p. 331; De Confus. Ling. 34, p. 431. In anima humana ratio et intellectus particula est divini intellectus, extrinsecus in illam intrantis, v. De Mundi Opif. 21, p. 15 sq. *ἐπὶ δὲ πᾶσι (ζῴοις ἐγέννησεν) τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχῆς τινὰ ψυχήν, καθάπερ κόρην ἐν ὀφθαλμῷ.* 22. *ἡ δὲ (φύσις) οἷα τεχνίτης — ζωοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσαν, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν· τὴν γὰρ τοῦ λογισμοῦ τὰ νῦν ὑπερθετέον διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι θεῖον καὶ ἄϊδιον ὄντα*; cf. in Aristotele n. 337 not. Suam sententiam magis prodit his locis: De Mundi Opif. 51, p. 35. *πᾶς ἄνθρωπος κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται θείῳ λόγῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονώς.* Qu. Det. Pot. Ins. 24, p. 209. *πῶς οὖν εἰκός βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν, μήνιγγι ἢ καρδίᾳ, βραχέσιν ὄγκοις ἐγκατειλημμένον, μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι τοσοῦτον, εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς ἀπόσπασμα ἦν οὐ διαίρετον; τέμνεται γὰρ οὐδὲν τοῦ θείου κατ' ἀπάρτησιν, ἀλλὰ μόνον ἐκτείνεται.* De corpore et vita in corpore semper cum ultimo contemtu loquitur, v. De Ebriet. 25, p. 372; Leg. Alleg. I, 33, p. 65; III, 13 sqq., p. 95 sqq.: De Gigant. 7 sqq., p. 266 sqq. Mors nihil est nisi reditus ad deum, De Abrah. 44, p. 37.

495 Quod Deus Immut. 10, p. 279. *Ἐξαίρετον οὗτος* (sc. ὁ *ἄνθρωπος*) *γέρας ἔλαχε, διάνοιαν, ᾗ τὰς ἁπάντων φύσεις σωμάτων τε ὁμοῦ καὶ πραγμάτων εἴωθε καταλαμβάνειν. — — τοῦτο τῆς ψυχῆς τὸ εἶδος οὐκ ἐκ τῶν αὐτῶν στοιχείων, ἐξ ὧν τὰ ἄλλα ἀπετελεῖτο, διεπλάσθη, καθαρωτέρας δὲ καὶ ἀμείνονος ἔλαχε τῆς οὐσίας, ἐξ ἧς αἱ θεῖαι φύσεις ἐδημιουργοῦντο*[a]. *Παρ' ὃ καὶ μόνον τῶν ἐν ἡμῖν εἰκότως ἄφθαρτον ἔδοξεν εἶναι διάνοια. μόνην γὰρ αὐτὴν ὁ γεννήσας πατὴρ ἐλευθερίας ἠξίωσε καὶ τὰ τῆς ἀνάγκης ἀνεὶς δεσμὰ ἄφετον εἴασε, δωρησάμενος αὐτῇ τοῦ πρεπωδεστάτου καὶ οἰκείου κτήματος αὐτῷ, τοῦ ἑκουσίου μοῖραν, ἣν ἠδύνατο δέξασθαι. — — τῶν μὲν γὰρ ἄλλων φυτῶν τε καὶ ζῴων οὔτε αἱ εὐφορίαι ἐπαινεταὶ οὔτε αἱ κακοπραγίαι ψεκταί· τὰς γὰρ ἐφ' ἑκάτερα κινήσεις καὶ μεταβολὰς ἀπροαιρέτους καὶ ἀκουσίους ἔλαβον· μόνη δὲ ἡ ἀνθρώπου ψυχὴ δεξαμένη παρὰ θεοῦ τὴν ἑκούσιον κίνησιν καὶ κατὰ τοῦτο ὁμοιωθεῖσα αὐτῷ, χαλεπῶς καὶ ἀργαλεωτάτης δεσποίνης, τῆς ἀνάγκης, ὡς οἷόν τε ἦν ἐλευθερωθεῖσα κατηγορίας ἂν δεόντως τυγχάνοι, ὅτι τὸν ἐλευθερώσαντα οὐ περιέπει. τοιγάρτοι τὴν κατὰ ἀπελευθέρων ἀχαρίστων ἀπαραίτητον δίκην ὀρθότατα τίσει*[b]. *— — εἰργάσατο γὰρ* (sc. ὁ *θεὸς*) *αὐτὸν* (sc. *τὸν ἄνθρωπον*) *ἄφετον καὶ ἐλεύθερον ἑκουσίοις καὶ προαιρετικαῖς χρησάμενον ταῖς ἐνεργείαις πρὸς τήνδε τὴν χρείαν, ἵνα ἐπιστάμενος ἀγαθά τε αὖ καὶ κακὰ καὶ καλῶν καὶ αἰσχρῶν λαμβάνων ἔννοιαν καὶ δικαίοις καὶ ἀδίκοις καὶ ὅλως τοῖς ἀπ' ἀρετῆς καὶ κακίας καθαρῶς ἐπιβάλλων αἱρέσει μὲν τῶν ἀμεινόνων, φυγῇ δὲ τῶν ἐναντίων χρῆται.*

a) Cf. n. 494. — **b)** Ita etiam Alleg. Leg. I, 13, p. 50 hominem liberum esse ponit, ut sit iustitia puniens dei.

Neque tamen ita haec voluntatis libertas accipienda, ut tollatur persuasio de bonis omnibus a deo promanantibus; quin etiam ipsi homines mali a deo repetuntur h. e. ab ira dei. Quod Deus Immut. 15, p. 283. *οἱ μὲν φαῦλοι θυμῷ γεγόνασι θεοῦ, οἱ δ' ἀγαθοὶ χάριτι*, ubi tamen adiicitur iram dei non posse dici nisi *τροπικώτερον*, ut significetur necessitas imperfecti, quod remaneat in mundo per deum creato. Aliis locis cuique homini ut peccet innatum esse dicit, neque quemquam existere inter eos qui hanc vitam vivant, qui non peccet, cf. Vita Mos. III, 17, p. 157; De Animal. Sacrif. Idon. 14, p. 249. *τῇ δὲ περὶ ἁμαρτίας διὰ τὸ ἄνθρωπος εἶναι· καὶ ἂν γὰρ ὁ τέλειος ᾖ γεννητός, οὐκ ἐκφεύγει τὸ ἁμαρτάνειν.* Adde Qu. Deus Immutab. 16, p. 284; Mutat. Nom. 6, p. 585; Qu. Rer. Div. Her. 59, p. 515.

De Gigant. 13, p. 271. *Βούλεται δὲ* (sc. ὁ *νομοθέτης*) 496
ἐκεῖνό σοι παραστῆσαι, ὅτι οἱ μὲν γῆς, οἱ δὲ οὐρανοῦ, οἱ δὲ θεοῦ γεγόνασιν ἄνθρωποι. γῆς μὲν οἱ θηρευταὶ τῶν σώματος ἡδονῶν ἀπόλαυσίν τε καὶ χρῆσιν ἐπιτηδεύοντες αὐτῶν καὶ πορισταὶ τῶν συντεινόντων εἰς ἑκάστην· οὐρανοῦ δὲ ὅσοι τεχνῖται καὶ ἐπιστήμονες καὶ φιλομαθεῖς· τὸ γὰρ οὐράνιον τῶν ἐν ἡμῖν ὁ νοῦς[a] *· νοῦς δὲ τῶν κατ᾽ οὐρανὸν ἑκάστων τὰ ἐγκύκλια καὶ τὰς ἄλλας ἁπάσας ἐπιτηδεύει τέχνας, παραθήγων καὶ ἀκονῶν ἔτι τε γυμνάζων καὶ συγκροτῶν ἐν τοῖς νοητοῖς αὐτόν· θεοῦ δὲ ἄνθρωποι ἱερεῖς καὶ προφῆται, οἵτινες οὐκ ἠξίωσαν πολιτείας τῆς παρὰ τῷ κόσμῳ τυχεῖν καὶ κοσμοπολῖται γενέσθαι, τὸ δὲ αἰσθητὸν πᾶν ὑπερκύψαντες εἰς τὸν νοητὸν κόσμον μετανέστησαν καὶ ἐκεῖθι ᾤκησαν ἐγγραφέντες ἀφθάρτῳ**) *ἀσωμάτων ἰδεῶν πολιτείᾳ.* Leg. Alleg. III, 14, p. 96. *Ὅταν μέντοι διὰ πάντων ἡ ψυχὴ καὶ λόγων καὶ ἔργων ἐξαπλωθῇ καὶ ἐκθειασθῇ, παύονται τῶν αἰσθήσεων αἱ φωναὶ καὶ πάντες οἱ ὀχληροὶ καὶ δυσώνυμοι ἦχοι. φωνεῖ γὰρ καὶ καλεῖ τὸ μὲν ὁρατὸν τὴν ὅρασιν ἐφ᾽ ἑαυτό, ἡ δὲ φωνὴ τὴν ἀκοήν, ὁ δὲ ἀτμὸς τὴν ὄσφρησιν καὶ συνόλως τὸ αἰσθητὸν τὴν αἴσθησιν ἐφ᾽ ἑαυτὸ προσκαλεῖται. ταῦτα δὲ πάντα παύεται ὅταν ἐξελθοῦσα τὴν ψυχῆς πόλιν*[b] *ἡ διάνοια θεῷ τὰς ἑαυτῆς πράξεις καὶ διανοήσεις ἀνάψῃ.* De Migr. Abr. 9, p. 443. *Ἀλλὰ πρῶτον ἐκεῖνό*[c] *σοι βούλεται παραστῆσαι, ὅτι ἕτερος νηπίων καὶ ἕτερος τελείων χῶρός ἐστιν, ὁ μὲν ὀνομαζόμενος ἄσκησις, ὁ δὲ καλούμενος σοφία*[d] *· ἔπειτα ὅτι τὰ κάλλιστα τῶν ἐν τῇ φύσει ὁρατὰ μᾶλλόν ἐστιν ἢ κτητά. κτήσασθαι μὲν γὰρ τῆς θειοτέρας μοίρας λαχόντα πῶς ἔνεστιν; ἰδεῖν δ᾽ οὐκ ἀδύνατον, ἀλλ᾽ οὐχ᾽ ἅπασιν· εἴη δ᾽ ἂν μόνῳ τῷ καθαρωτάτῳ καὶ ὀξυωπεστάτῳ γένει, ᾧ τὰ ἴδια ἐπιδεικνύμενος ὁ τῶν ὅλων πατὴρ ἔργα μεγίστην πασῶν χαρίζεται δωρεάν. θεωρητικοῦ γὰρ τίς ἀμείνων βίος ἢ μᾶλλον οἰκειούμενος λογικῷ;*

a) Cf. n. 494 not. — **b)** Cf. Exod. IX, 29. — **c)** Dicit hunc locum, Deut. XXXIV, 4. *ἔδειξα τοῖς ὀφθαλμοῖς σου καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.* — **d)** Exercitatione itur ad sapientiam, illa igitur hac infirmior est. Omnino tria virtutis genera esse dicit, virtutem quae procedat ex scientia i. e. humana, et virtutem quae comparatur exercitatione, et eam denique quae datur divinitus: hanc unam voluit consummatam esse; De Nom. Mutat. 14, p. 591 sq. *Ἡ μὲν διδακτὴ ἀρετὴ καὶ ἀσκητικὴ δέχονται τὰ πρὸς*

---

*) Vulg. *ἀφθάρτων*. Corr. Mang.

βελτίωσιν· ἐφίεται γὰρ δὴ ὁ μὲν διδασκόμενος ἐπιστήμης ὧν ἀγνοεῖ, ὁ δ' ἀσκήσει χρώμενος στεφάνων καὶ τῶν προκειμένων ἄθλων φιλοπόνῳ καὶ φιλοθεάμονι ψυχῇ. τὸ δ' αὐτοδίδακτον καὶ αὐτομαθὲς γένος, ἅτε φύσει μᾶλλον ἢ ἐπιτηδεύσει συνιστάμενον, ἐξ ἀρχῆς ἴσον καὶ τέλειον καὶ ἄρτιον ἠνέχθη μηδενὸς ἐνδέοντος τῶν εἰς πλήρωσιν ἀριθμοῦ. Virtus ex scientia nata deterior ei esse videbatur quam virtus ex exercitatione, sed illam esse huius praeparationem necessariam; De Congr. Erud. Grat. 13, p. 528 sq. *Ἀναγκαῖον γὰρ τοῖς παραγγέλμασιν ἀρετῆς τὸν μανθάνοντα πειθαρχεῖν. οὐ πάντες δὲ πειθαρχοῦσιν, ἀλλ' ὅσοις σφοδρὸς ἔρως ἐντέτηκεν ἐπιστήμης. — — δυνατοὶ μὲν γὰρ εἰπεῖν, ἀδύνατοι δέ εἰσι πράττειν τὰ βέλτιστα.* De Somn. I, 27, p. 646. *τὸ γὰρ ἀσκήσει ἔκγονον τοῦ μαθήσει.* Inde derivatur ordo virtutum, qui est Aristotelico ordini prorsus contrarius, sed nihilo secius haud semel cum Aristotelico confunditur. Exercitatione id agitur, ut *τὰ πάθη* prorsus ex animo eradicentur. Legg. Alleg. III, 45, p. 112 sq. *Μωσῆς δὲ ὅλον τὸν θυμὸν ἐκτέμνειν καὶ ἀποκόπτειν οἴεται δεῖν τῆς ψυχῆς, οὐ μετριοπάθειαν, ἀλλὰ συνόλως ἀπάθειαν ἀγαπῶν.* Ipsa voluptas, ad quam natura ferimur, exstirpanda est, quia etiam hac implicamur materiae; ib. 48, p. 115.

497 De Somn. I, p. 643. *Σπούδασον οὖν, ὦ ψυχή, θεοῦ οἶκος γενέσθαι, ἱερὸν ἅγιον, καὶ ἰσχυρὰ μὲν ἐξ ἀσθενεστάτης, ἐκ δὲ ἀδυνάτου δυνατὴ καὶ συνετὴ ἐξ ἀφραινούσης, εὐλογιστοτάτη δὲ ἐκ παραπαιούσης*[a]. *Ἴσως δὲ καὶ τὸν ἑαυτοῦ βίον ὁ ἀσκητὴς φαντασιοῦται κλίμακι ἐοικότα· φύσει γὰρ ἀνώμαλον πρᾶγμα ἄσκησις, τοτὲ μὲν προϊοῦσα εἰς ὕψος τοτὲ δὲ ὑποστρέφουσα πρὸς τοὐναντίον, καὶ τοτὲ μὲν καθάπερ ναῦς εὐπλοίᾳ τοτὲ δὲ δυσπλοίᾳ χρωμένη. ἑτερήμερος*[b] *γάρ, ὡς ἔφη τις, τῶν ἀσκητῶν ὁ βίος, ἄλλοτε μὲν ζῶν καὶ ἐγρηγορὼς ἄλλοτε δὲ τεθνεὼς ἢ κοιμώμενος. καὶ τάχα οὐκ ἀπὸ σκοποῦ τοῦτο λέγεται· σοφοὶ μὲν γὰρ τὸν ὀλύμπιον καὶ οὐράνιον χῶρον ἔλαχον οἰκεῖν, ἄνω ποτᾶν ἀεὶ μεμαθηκότες, κακοὶ δὲ τοὺς ἐν ᾅδου μυχοὺς ἐξ ἀρχῆς ἄχρι τέλους ἀποθνήσκειν ἐπιτετηδευκότες καὶ εἰς γῆρας ἐκ σπαργάνων φθορᾶς ἐθάδες ὄντες. οἱ δ' ἀσκηταί, μεθόριοι γὰρ τῶν ἄκρων εἰσίν, ἄνω καὶ κάτω πολλάκις ὡς ἐπὶ κλίμακος βαδίζουσιν, ἢ ὑπὸ τῆς κρείττονος μοίρας ἀνελκόμενοι ἢ ὑπὸ τῆς χείρονος ἀντισπώμενοι, μέχρις ἂν ὁ τῆς ἁμίλλης καὶ διαμάχης ταύτης βραβευτὴς θεὸς ἀναδῷ τὰ βραβεῖα τάξει τῇ βελτίονι τὴν ἐναντίαν εἰς ἅπαν καθελών*[c].

a) Animus ei videbatur perturbationibus primitus obnoxius esse, quibus continuata demum exercitatione superior evadere posset; De Congr. Erud. Gr. 15, p. 531. *Ἐν ἀρχῇ μὲν τῆς γενέσεως ἡμῶν ἡ ψυχὴ συν-*

τρόφοις τοῖς πάθεσι μόνοις χρῆται, λύπαις, ἀλγηδόσι, πτοίαις, ἐπιθυμίαις, ἡδοναῖς, ἃ διὰ τῶν αἰσθήσεων ἐπ' αὐτὴν ἔρχεται, μήπω τοῦ λογισμοῦ βλέπειν δυναμένου τά τε ἀγαθὰ καὶ κακὰ καὶ ᾗ διαφέρει ταῦτα ἀλλήλων ἀκριβοῦν, ἀλλ' ἔτι νυστάζοντος καὶ ὡς ἐν ὕπνῳ βαθεῖ καταμεμυκότος. χρόνου δέ προϊόντος οτον ἐκβαίνοντες τῆς παιδικῆς ἡλικίας μειρακιοῦσθαι μέλλωμεν, τὸ δίδυμον στέλεχος εὐθὺς ἐκ μιᾶς, ἀρετὴ καὶ κακία, φύεται ῥίζης, καὶ ποιούμεθα μὲν τὴν κατάληψιν ἀμφοῖν, αἱρούμεθα δὲ πάντως τὴν ἑτέραν, οἱ μὲν εὐφυεῖς ἀρετήν, κακίαν δ' οἱ ἐναντίοι. Cf. De Sacrif. Ab. 4, p. 166, et n. 495 not. — **b)** Alluditur ad Hom. Od. XI, 3. — **c)** Felicitatem ponit in pace animi et *ἀναπαύσει ἐν θεῷ.* De Ebriet. 18, p. 368; De Prof. 31, p. 572; Fragm. p. 669 ed. Mangey. *Μία ἀνάπαυσις ψυχῆς ἐστὶν ἡ κρατίστη εἰς τὸν ἱερὸν τοῦ ὄντος πόθον ἡγεμόνι χρῆσθαι θεῷ καὶ βουλευμάτων καὶ λόγων καὶ πράξεων. — πέρας εὐδαιμονίας τὸ ἀκλινῶς καὶ ἀρρεπῶς ἐν μόνῳ θεῷ στῆναι.* Eo revocanda splendida illa laus, qua ornat vitam theoreticam vel potius contemplativam; v. n. 496 extr., quae laus comulatur in libro de vita contemplativa, ubi concelebratur vita Therapeutarum, qui bonis externis penitus repudiatis solitariam vitam elegerant et omne tempus in dei contemplatione ponebant inque precationibus et canticis sacris, et bibliis sacris volvendis; v. impr. c. 3, p. 474 sq., cf. Zeller *Phil. d. Griechen* III, 2, p. 583 sqq.

Leg. Alleg. III, 9, p. 93. *Ὁ γὰρ ἀποδιδράσκων θεὸν* 498
καταφεύγει εἰς ἑαυτόν. δυοῖν γὰρ ὄντων, τοῦ τε τῶν ὅλων νοῦ, ὅς ἐστι Θεός, καὶ τοῦ ἰδίου, ὁ μὲν φεύγων ἀπὸ τοῦ καθ' αὑτὸν καταφεύγει ἐπὶ τὸν συμπάντων. ὁ δὲ νοῦν τὸν ἴδιον ἀπολείπων ὁμολογεῖ μηδὲν εἶναι τὸ κατὰ τὸν ἀνθρώπινον νοῦν, ἅπαντα δὲ προσάπτει θεῷ· ὁ δὲ πάλιν ἀποδιδράσκων θεὸν τὸν μὲν οὐδενὸς αἴτιόν φησιν εἶναι, τῶν δὲ γιγνομένων ἁπάντων ἑαυτόν. λέγεται γοῦν παρὰ πολλοῖς ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα φέρεται χωρὶς ἡγεμόνος ἀπαυτοματίζοντα, τέχνας δὲ καὶ ἐπιτηδεύματα καὶ νόμους καὶ ἔθη καὶ πολιτικὰ καὶ ἴδια καὶ κοινὰ δίκαια πρός τε ἀνθρώπους καὶ πρὸς τὰ ἄλογα ζῷα ἔθετο μόνος ὁ ἀνθρώπινος νοῦς. ἀλλ' ὁρᾷς, ὦ ψυχή, τῶν δοξῶν τὸ παράλογον. ἡ μὲν γὰρ τὸν ἐπὶ μέρους, τὸν γενητὸν καὶ θνητὸν ἀπολιποῦσα τὸν τῶν ὅλων καὶ ἀγένητον καὶ ἄφθαρτον ἐπιγράφεται ὄντως) · ἡ δὲ πάλιν θεὸν ἀποδοκιμάζουσα τὸν μηδ' αὐτῷ βοηθῆσαι ἱκανὸν νοῦν σύμμαχον ἐπισπᾶται πλημμελῶς.* 10. — — *θεοῦ γὰρ τὰ πάντα κτήματα, ὥστε ὁ ἑαυτῷ τι προσνέμων τὰ ἑτέρου νοσφίζεται καί πληγὴν ἔχει παγχάλεπον καὶ δυσίατον, οἴησιν, πρᾶγμα ἀμαθίας καὶ ἀπαιδευσίας συγγενές.*

*) „Melius *δεόντως*, opponitur enim *τῷ πλημμελῶς*.“ *Mangey.*

2. Apollonius Tyanensis.

499 Suidas. *Ἀπολλώνιος Τυανεύς, φιλόσοφος. — — ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ᾽ οὗ καὶ μετήλλαξεν. ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη*[a]. *εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς Μάγους κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα*[b]. *συνέταξε δὲ τοσαῦτα· Τελετὰς ἢ περὶ Θυσιῶν, Διαθήκην, Χρησμούς, Ἐπιστολάς, Πυθαγόρου βίον*[c].

a) Institutus esse dicitur ab Euxeno Pythagoreo, sed magistrum abstinentia et ceteris Pythagoreorum virtutibus longe superasse. Philostr. V, Apoll. I, 7. 8. 14. Pythagoreorum placita ac disciplinam tunc apud multos denuo invaluisse iam supra memoravimus, n. 460 not. Cruenta sacrificia aspernabatur, praeeunte Pythagora, ib. I, 31, sed tamen ultra praecepta Pythagorae progressus ne matrimonium quidem sequendum esse putabat, quippe officiens temperantiae. Numerorum doctrinam symbolicam, quae eadem aetate exemplo Pythagoreorum tradebatur a Moderato, postea a Theone Smyrnaeo et Nicomacho, Apollonius non tanti fecisse videtur; ib. III, 30. — **b)** De quibus multa narrat Philostratus in Vita Apollonii, quam scripsit ad ambiguam fidem Damidis, v. Philostr. Vit. Apoll. I, 2, 3. Philostratus miracula Apollonii non a magicis artibus repetenda esse affirmat, sed a sapientia eius intimaque qua cum diis coniunctus fuerit caritate; ib. I, 2; V, 12. Apud posteriores tantum invaluit eius memoria ac sanctitas, ut passim divinis honoribus afficeretur, v. Dio Cass. LXXVII, 18; Flav. Vopisc. v. Aureliani 24. — **c)** Epistolae sine dubio suppositae sunt. Vita Pythagorae passim exscripta est a Porphyrio, V. Pyth. 2, et Iamblicho, V. Pyth. 254. Libri *περὶ θυσιῶν* mentio iniicitur etiam apud Philostr. V. Apoll. III, 41; IV, 19; fragmentum exstat apud Euseb. Pr. Ev. IV, 13; Demonstr. Ev. III, 3, p. 105, quod apponitur loco sequenti.

500 Apollonius ap. Euseb. Pr. Ev. IV, 13. *Οὕτως τοίνυν μάλιστα ἄν τις οἶμαι τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῖτο τοῦ θείου τυγχάνοι τε αὐτόθεν ἵλεώ τε καὶ εὐμενοῦς αὐτοῦ παρ᾽ ὁντινοῦν μόνος ἀνθρώπων, εἰ θεῷ μέν, ὃν δὴ πρῶτον ἔφαμεν, ἑνί τε ὄντι καὶ κεχωρισμένῳ**) *πάντων, μεθ᾽ ὃν γνωρίζεσθαι τοὺς λοιποὺς ἀναγκαῖον, μὴ θύοι τι τὴν ἀρχήν, μήτε ἀνάπτοι πῦρ, μήτε καθόλου τι τῶν αἰσθητῶν ἐπονομάζοι (δεῖται γὰρ*

*) Vulgo *ἑνὶ δὲ ὄντι κεχωρισμένῳ*. Refinximus ex loco parallelo, Demonstr. Ev. III, 3, p. 105.

οὐδενός, οὐδὲ*) παρὰ τῶν κρειττόνων ἥπερ ἡμεῖς, οὐδ' ἔστιν ὃ τὴν ἀρχὴν γῆ**) ἀνίησι φυτὸν ἢ τρέφει ζῷον ἢ ἀήρ, ᾧ μὴ πρόσεστί***) γέ τι μίασμα), μόνῳ δὲ χρῷτο πρὸς αὐτὸν ἀεὶ τῷ κρείττονι λόγῳ (λέγω δὲ τῷ μὴ διὰ στόματος ἰόντι), παρὰ δὲ†) τοῦ καλλίστου τῶν ὄντων διὰ τοῦ καλλίστου τῶν ἐν ἡμῖν αἰτοίη††) τἀγαθά. νοῦς δέ ἐστιν οὗτος ὀργάνου μὴ δεόμενος.

3. Plutarchus.

Suidas. *Πλούταρχος Χαιρωνεὺς τῆς Βοιωτίας, γεγονὼς ἐπὶ* 501
τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων καὶ ἔτι πρόσθεν[a]. *μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι*[b]. *ἔγραψε δὲ πολλά*[c].

a) Sub Nerone audiebat Ammonium. De *Ei* ap. Delph. 1. — **b)** Georg. Sync. Chronogr. p. 349 B. *Πλούταρχος Χαιρωνεὺς φιλόσοφος ἐπιτροπεύειν Ἑλλάδος ὑπὸ τοῦ αὐτοκράτορος κατεστάθη γηραιός*, de quo potest dubitari. Ex ipso Plutarcho constat eum senem sacerdotio Apollinis Pythici ornatum fuisse. An Seni sit ger. Resp. 17. — **c)** Ut plurimum disserit de moribus et de virtute eoque omnem philosophiam revocandam esse existimat. De Prof. in Virt. 7; de Lib. Educ. 10. Solet tamen et de diis et rebus divinis disputare ad exemplum magistri Ammonii. De *Ei* ap. Delph. 1 sqq. In ceteris Platonem et Aristotelem promiscue sequitur.

De Is. et Os. 45. *Οὔτε γὰρ ἐν ἀψύχοις σώμασι τὰς τοῦ* 502
παντὸς ἀρχὰς θετέον, ὡς Δημόκριτος καὶ Ἐπίκουρος, οὔτ' ἀποίου δημιουργὸν ὕλης ἕνα λόγον καὶ μίαν πρόνοιαν, ὡς οἱ Στωϊκοί, περιγιγνομένην ἁπάντων καὶ κρατοῦσαν· ἀδύνατον γὰρ ἢ φλαύρου ὁτιοῦν ὅπου πάντων†††), ἢ χρηστὸν ὅπου μηδενὸς ὁ θεὸς αἴτιος, ἐγγενέσθαι. — — διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον οὐδὲ ἐν φήμαις, ἀλλ' ἔν τε τελεταῖς ἔν τε θυ-

---

*) Vulgo *οὔτε*. Ref. ex l. parall. — **) V. *ἀνίησι. γῆ*. Ref. ex l. parall. — ***) V. *ὃ μὴ πρὸς αὐτόν γέ τι μίασμα*. Loc. parall. *ᾧ οὐ πρόσεστί γε μίασμα*. — †) Vulgo *καὶ παρὰ τοῦ καλλίστου*. Ref. ex l. parall. — ††) Loc. parall. *καλλίστου τοῦ ἐν ἡμῖν ὄντι τὰ ἀγαθά*. — †††) Ita Wyttenb. Vulg. *γὰρ ἢ καὶ* et *ὁμοῦ*.

σίαις καὶ βαρβάροις καὶ Ἕλλησι πολλαχοῦ περιφερομένην[a], ὡς οὔτ' ἄνουν καὶ ἄλογον καὶ ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔτε εἷς ἐστὶν ὁ κρατῶν καὶ κατευθύνων ὥσπερ οἴακι ἤ τισι πειθηνίοις χαλινοῖς λόγος, ἀλλὰ πολλὰ καὶ μεμιγμένα κακοῖς καὶ ἀγαθοῖς· μᾶλλον δὲ μηδὲν ὡς ἁπλῶς εἰπεῖν ἄκρατον ἐνταῦθα τῆς φύσεως φερούσης, οὐ δυεῖν πίθων εἷς ταμίας ὥσπερ νάματα τὰ πράγματα καπηλικῶς διανέμων ἀνακεράννυσιν ἡμῖν, ἀλλ' ἀπὸ δυεῖν ἐναντίων ἀρχῶν καὶ δυεῖν ἀντιπάλων δυνάμεων, τῆς μὲν ἐπὶ τὰ δεξιὰ καὶ κατ' εὐθεῖαν ὑφηγουμένης, τῆς δ' ἔμπαλιν ἀναστρεφούσης καὶ ἀνακλώσης, ὅ τε βίος μικτὸς ὅ τε κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ' ὁ περίγειος οὗτος καὶ μετὰ σελήνην[b], ἀνώμαλος καὶ ποικίλος γέγονε καὶ μεταβολὰς πάσας δεχόμενος. εἰ γὰρ οὐθὲν ἀναιτίως πέφυκε γενέσθαι, αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν ἰδίαν καὶ ἀρχὴν ὥσπερ ἀγαθοῦ καὶ κακοῦ τὴν φύσιν ἔχειν[c].

a) Antiqui theologi Plutarcho pro antiquissimis philosophis habentur. De Anim. Procr. 33. *οἵ τε πάλαι θεολόγοι πρεσβύτατοι φιλοσόφων ὄντες.* Censet retinendum esse patrium deorum cultum antiquitus receptum. Amat. 12. *Ἀρκεῖ γὰρ ἡ πάτριος καὶ παλαιὰ πίστις, ἧς οὐκ ἔστιν εἰπεῖν οὐδ' ἀνευρεῖν τεκμήριον ἐναργέστερον. — — ἐὰν ἐφ' ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίγνεται πᾶσι καὶ ὕποπτος.* Simul tamen ad illam sacrorum commixtionem proclivis est, quae illa aetate vulgatissima erat. De Is. et Os. 67. *Θεοὺς ἐνομίσαμεν οὐχ ἑτέρους περ' ἑτέροις, οὐδὲ βαρβάρους καὶ Ἕλληνας οὐδὲ νοτίους καὶ βορείους· ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ' ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης καὶ δυνάμεων ὑπουργῶν ἐπὶ πάντας τεταγμένων ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι.* Neque vero non purganda esse haec sacra existimat maximeque instat superstitionibus, quae animos hominum impleant servili metu stupidaque obsequentia, ut ipse atheismus ei sit superstitione probatior. De Superst. 11. *Οὐκ οἴεται θεοὺς εἶναι ὁ ἄθεος· ὁ δὲ δεισιδαίμων οὐ βούλεται, πιστεύει δὲ ἄκων· ἀπιστεῖν γὰρ φοβεῖται.* Propterea philosophiam interpretem traditionum rituumque sacrorum esse dicit. De Is. et Os. 68. *Διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον· ἵνα μὴ — — ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν ἑτέρως ὑπολαμβάνοντες ἐξαμάρτωμεν.* — **b)** Alias omnem sine exceptione mundum mixtum esse dicit, De Anim. Procr. 28. *τῆς δὲ διπλῆς κοινωνίας ταύτης* (sc. *τοῦ παθητικοῦ καὶ τοῦ νοῦ*) *οὐδὲ ἡ περὶ τὸν οὐρανὸν ἀπήλλακται φύσις.* — **c)** Impugnat doctrinam, quam dicit Stoicorum esse, qua ponitur mundi fundamentum esse solus deus

et materia ἄποιος, unde consequeretur ut nulla causa mali esset. De Anim. Procr. 6. *Αἱ γὰρ Στωϊκαὶ καταλαμβάνουσιν ἡμᾶς ἀπορίαι τὸ κακὸν ἐκ τοῦ μὴ ὄντος ἀναιτίως καὶ ἀγενήτως ἐπεισάγοντες· ἐπεὶ τῶν γ' ὄντων οὔτε τὸ ἀγαθὸν οὔτε τὸ ἄποιον εἰκός ἐστιν οὐσίαν κακοῦ καὶ γένεσιν παρασχεῖν.* Cf. Comm. Notit. 34. Ipse alterum illud, ex quo mundus a deo creatur, duplicem naturam habere censet, ut et nondum formatum sit, habeat tamen facultatem formae divinaeque potestatis in se admittendae, et substantia in eo insit animans, quae motione quadam inordinata renitatur bono. Quaest. Plat. IV. *Ἢ τὸ πολλάκις ὑφ' ἡμῶν λεγόμενον ἀληθές ἐστιν; ἡ μὲν γὰρ ἄνους ψυχὴ καὶ τὸ ἄμορφον σῶμα συνυπῆρχον ἀλλήλοις ἀεὶ καὶ οὐδέτερον αὐτῶν γένεσιν ἔσχεν οὐδ' ἀρχήν.* De An. Procr. 5. *ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τοῦ κόσμου γενέσεως· ἀκοσμία δὲ οὐκ ἀσώματος οὐδ' ἀκίνητος οὐδ' ἄψυχος, ἀλλ' ἄμορφον μὲν καί ἀσύστατον τὸ σωματικόν, ἔμπληκτον δὲ καὶ ἄλογον τὸ κινητικὸν ἔχουσα· τοῦτο δ' ἦν ἀναρμοστία ψυχῆς οὐκ ἐχούσης λόγον· ὁ γὰρ θεὸς οὔτε σῶμα τὸ ἀσώματον οὔτε ψυχὴν τὸ ἄψυχον ἐποίησεν, ἀλλ' ὥσπερ ἁρμονικὸν ἄνδρα καὶ ῥυθμικὸν οὐ φωνὴν ποιεῖν οὐδὲ κίνησιν, ἐμμελῆ δὲ φωνὴν καὶ κίνησιν εὔρυθμον ἀξιοῦμεν, οὕτως ὁ θεὸς οὔτε τοῦ σώματος τὸ ἁπτὸν καὶ ἀντίτυπον οὔτε τῆς ψυχῆς τὸ φανταστικὸν καὶ κινητικὸν αὐτὸς ἐποίησεν· ἀμφοτέρας δὲ τὰς ἀρχὰς παραλαβών, τὴν μὲν ἀμυδρὰν καὶ σκοτεινήν, τὴν δὲ ταραχώδη καὶ ἀνόητον, ἀτελεῖς δὲ τοῦ προσήκοντος ἀμφοτέρας καὶ ἀορίστους, ἔταξε καὶ διεκόσμησε καὶ συνήρμοσε τὸ κάλλιστον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῷον.* Quapropter haec causa secundaria appellatur et *πολλὰ τῷ θεῷ δυσμαχοῦσα καὶ ἀφηνιάζουσα*, ib. 6, revocaturque ad malam animam, quam posuerit Plato ante mundum esse; de Is. et Os. 48; cf. de An. Procr. 6. 8. 9. Ad hoc placitum, inesse in mundo malum principium animans, redit etiam doctrina de malis daemonibus, qui hominibus potentiores sint, sed in quibus divinum nonnisi impure insit et cum prava natura commixtum; de Is. et Os. 25 sqq.; de Def. Orac. 14. De Is. et Os. 49. *Μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις καὶ σύστασις ἐξ ἐναντίων, οὐ μὴν ἰσοσθενῶν δυνάμεων, ἀλλὰ τῆς βελτίονος τὸ κράτος ἐστίν· ἀπολέσθαι δὲ τὴν φαύλην παντάπασιν ἀδύνατον, πολλὴν μὲν ἐμπεφυκυῖαν τῷ σώματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς καὶ πρὸς τὴν βελτίονα ἀεί*) *δυσμαχοῦσαν.* Cf. De Virtute Mor. 3, quae disputantur adversus Stoicos.

De Pyth. Orac. 21. *Σῶμα μὲν ὀργάνοις χρῆται πολλοῖς,* 503
*αὐτῷ δὲ σώματι ψυχὴ καὶ μέρεσι τοῖς σώματος· ψυχὴ δὲ ὄργανον θεοῦ γέγονεν· ὀργάνου δ' ἀρετὴ μάλιστα μιμεῖσθαι τὸ χρώμενον ᾗ πέφυκε δυνάμει καὶ παρέχειν τὸ ἔργον αὐτοῦ τοῦ νοήματος ἐν αὐτῷ**). δεικνύναι δ' οὐχ οἷον ἦν ἐν***) τῷ δημιουργῷ*

*) *καὶ* erat loco voc. *ἀεὶ* et invicem. Corr. Wyttenb. — **) Vulg. *νοήματος ἐν αὐτῷ δυναμένῃ.* Postremam vocem Wyttenb. del. censet, Hutten uncinis inclusit. — ***) Wyttenb. et Hutten *ἦν ἐν* recep. ex codd. B. E.

καθαρὸν καὶ ἀπαθὲς καὶ ἀναμάρτητον, ἀλλὰ μεμιγμένον πολλῷ τῷ ἀλλοτρίῳ*). καθ' ἑαυτὸ γὰρ ἄδηλον ἡμῖν[a]· ἕτερον δὲ καὶ δι' ἑτέρου φαινόμενον ἀναπίμπλαται τῆς ἐκείνου φύσεως. — — καὶ γὰρ ἡλίῳ**) οὐθὲν οὔτε μᾶλλον ἰδέαν ἔοικεν οὔτε ὡς ὄργανον χρῆσθαι φύσει γέγονεν εὐπειθέστερον σελήνης· λαμβάνουσα δὲ παρ' ἡλίου τὸ λαμπρὸν καὶ πυρωπὸν οὐχ ὅμοιον ἀποπέμπει πρὸς ἡμᾶς, ἀλλὰ μιχθὲν αὐτῇ, καὶ χρόαν μετέβαλε καὶ δύναμιν ἔσχεν ἑτέραν· ἡ δὲ θερμότης καὶ παντάπασιν ἐξοίχεται καὶ προλέλοιπε τὸ φῶς ὑπ' ἀσθενείας. — — πρόσλαβε δε τούτοις εὖ λεγομένοις καὶ νόησον τὸν ἐνταῦθα θεὸν χρώμενον τῇ Πυθίᾳ πρὸς ἀκοήν, καθὼς ἥλιος χρῆται σελήνῃ πρὸς ὄψιν· δείκνυσι μὲν γὰρ καὶ ἀναφαίνει τὰς αὐτοῦ νοήσεις, μεμιγμένας δὲ δείκνυσι διὰ σώματος θνητοῦ καὶ ψυχῆς ἡσυχίαν ἄγειν μὴ δυναμένης μηδὲ τῷ κινοῦντι παρέχειν ἑαυτὴν ἀκίνητον ἐξ αὐτῆς καὶ καθεστῶσαν, ἀλλ' ὥσπερ ἐν σάλῳ ψοφοῦσαν καὶ συμπλεκομένην τοῖς ἐν αὐτῇ κινήμασι καὶ πάθεσιν ἐπιταράττουσιν αὐτήν***). ὡς γὰρ οἱ δῖνοι τῶν ἅμα κύκλῳ καταφερομένων σωμάτων οὐκ ἐπικρατοῦσι βεβαίως, ἀλλὰ κύκλῳ μὲν ὑπ' ἀνάγκης φερομένων, κάτω δὲ φύσει ῥεπόντων, γίγνεταί τις ἐξ ἀμφοῖν ταραχώδης καὶ παράφορος ἑλιγμός, οὕτως ὁ καλούμενος ἐνθουσιασμὸς ἔοικε μῖξις εἶναι κινήσεων δυοῖν, τὴν μὲν ὡς πέπονθε τῆς ψυχῆς ἅμα, τὴν δὲ ὡς πέφυκε κινουμένης[b].

a) Dei cogitationes in solo coelo cernuntur purae et intemeratae, in terra turbantur et miscentur. De Is. et Os. 59. *Οἱ μὲν γὰρ ἐν οὐρανῷ καὶ ἄστροις λόγοι καὶ εἴδη καὶ ἀπορροαὶ τοῦ θεοῦ μένουσι, τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα, γῇ καὶ θαλάττῃ καὶ φυτοῖς καὶ ζῴοις διαλυόμενα †) καὶ φθειρόμενα καὶ θαπτόμενα πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται ταῖς γενέσεσι.* Ib. 78. *Τὸ γὰρ νοητὸν ἀόρατον καὶ ἄψαυστον. — — ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁγίου νόησις ὥσπερ ἀστραπὴ διαλάμψασα τῇ ψυχῇ ἅπαξ ποτὲ θιγεῖν καὶ προσιδεῖν παρέσχε.* Ipse deus videtur contaminari, si materia tangitur. Ib. 79. *Ὁ δ' ἐστὶ μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ,*

*) πολλῷ τῷ ἀλλοτρίῳ addidit Wyttenb. Vulgo lacuna. — **) Vulgo εἰσί. Corr. Wyttenb. — ***) Vulgo ψυχῆς ** ἡσυχίαν ἄγειν. μὴ δυναμένη δὲ τ. κ. κτλ. et deinde ἐξ αὐτῆς καθεστῶσαν — ψαύουσαν αὐτὴν κ. συμπ. -- καὶ πάθεσιν ἐπιταραττούσης. Corr. Wyttenb. et Hutten. — †) Ita Wyttenb. Vulg. διαλεγόμενα.

πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας. Cf. De *Ei* ap. Delph. 20. Deus cernit omnia, ipse tamen non cernitur, De Is. et Os. 75, estque Unum et id quod vere est. De *Ei* ap. Delph. 20. *Ἀλλ' εἷς ὢν* (sc. *ὁ θεὸς*) *ἐνὶ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε. — — ἀλλ' ἓν εἶναι δεῖ τὸ ὄν, ὥσπερ ὂν τὸ ἕν. ἡ δ' ἑτερότης, διαφορὰ τοῦ ὄντος, εἰς γένεσιν ἐξίσταται τοῦ μὴ ὄντος. — τὸ δὲ ἓν εἰλικρινὲς καὶ καθαρόν· ἑτέρου γὰρ μίξει πρὸς ἕτερον ὁ μιασμός.* — **b)** Cadit hoc in omnem enthusiasmum, ut divinum aperiat nobis invita ac renitente ea parte animi, quae homini propria est ut mortali. De An. Procr. 27. *Οἵ τε τῶν ἐρώντων ἐνθουσιασμοὶ καὶ ποιήσεις καὶ διαμάχαι τοῦ φιλοκάλου πρὸς τὸ ἀκόλαστον ἐνδείκνυνται τὸ μικτὸν ἔκ τε τῆς θείας καὶ ἀποθοῦς ἔκ τε τῆς θνητῆς καὶ περὶ τὰ σώματα παθητῆς μερίδος.* Propterea Amor omnium in quibus de vero deorum cultu dissentiant poetae, legislatores, philosophi, index atque arbiter esse dicitur, ut quem venerentur omnes. Amator 18. Animus, si divino completur, nihil est nisi materia patiens, De Def. Orac. 48, instrumentum spiritus divini, ut ait noster locus. Abstinentia et temperantia purgandus est, ut divinum quam maxime fieri potest pure atque illibate in se recipiat. De Is. et Os. 2; De Genio Socr. 20. *οὕτως οἱ τῶν δαιμόνων λόγοι διὰ πάντων φερόμενοι μόνοις ἐνηχοῦσι τοῖς ἀθόρυβον ἦθος καὶ νήνεμον ἔχουσι τὴν ψυχήν.* Ad talium daemonum efficientiam referendum quod hilaritatem, qua fertur animus in sacris faciendis, inde derivat quod tunc soleamus confidere divinum non defuturum nobis et prope adesse pieque oblata comiter admissurum. Non posse suav. v. s. Epic. 21. Nam de ipso deo ne cogites in his faciunt quae supra apposita sunt de deo supremo ab omnibus rebus terrestribus remoto.

4. Numenius.

Suid. *Νουμήνιος Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθα-* 504
γόρειος. οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν· καὶ διὰ τοῦτό φησι. Τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων[a]*;*

a) Sumsit haec ex Clemente Alex. Strom. I, p. 342 C (cf. n. 6, not. b) vel Euseb. Pr. Ev. XI, 10. Numenius tamen Platoni minime criminari ista voluit, sed sapientiam eius ex superiore antiquitate atque ex Oriente repetere. Pythagoram Numenius pro eo Graecorum philosopho habuisse videtur, per quem prisca Aegyptiorum, Magorum, Iudaeorum, Indorum sapientia in Graeciam translata fuerit; Euseb. Pr. Ev. IX, 7. Mosem ante ceteros Orientalium sapientes vatesque eminuisse non putabat. Ib. 8.

Aetas incerta est. Nominatur primum a Clemente Alexandrino l. c., deinde ab Origene c. Cels. IV, p. 198. *ἐγὼ δ' οἶδα καὶ Νουμήνιον τὸν Πυθαγόρειον — πολλαχοῦ τῶν συγγραμμάτων αὐτοῦ ἐκτιθέμενον τὰ*

Μωυσέως καὶ τῶν προφητῶν καὶ οὐκ ἀπιθάνως αὐτὰ τροπολογοῦντα. — ἐν δὲ τῷ τρίτῳ Περὶ ταγαθοῦ ἐκτίθεται καὶ περὶ τοῦ Ἰησοῦ ἱστορίαν τινὰ τὸ ὄνομα αὐτοῦ λέγων, καὶ τροπολογεῖ αὐτήν. A Proculo in Tim. II, p. 93 cum Numenio duo Platonici nominantur, Atticus et Harpocratio, quorum ille, qui scripsit adversus Aristotelem, sub Marco Aurelio floruit, v. Euseb. Pr. Ev. XV, 4 sqq. A Porphyrio de Antr. Nymph. 21 Numenius cum Cronio nominatur, qui Homeri carmina allegorice interpretatus est. Scripta Numenii plurimi apud Neoplatonicos aestimabuntur, v. Porphyr. V. Plot. 2, ubi Amelius, Plotini discipulus, omnia fere Numenii praecepta edidicisse perhibetur. Quid quod exstiterunt qui Plotinum Numenii inventa sibi arrogasse criminarentur, adversus quos idem Amelius ediderat librum *περὶ τῆς κατὰ τὰ δόγματα τοῦ Πλωτίνου πρὸς τὸν Νουμήνιον διαφορᾶς* inscriptum, v. ib. 17 sqq. Ex libro *περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως* magna fragmenta supersunt apud Euseb. Pr. Ev. XIV, 5 sqq.; apud eundem nonnulla ex libro *περὶ ταγαθοῦ*, XI, 10, 22; XV, 17, qui videtur fuisse dialogus, itemque ex libro *τὰ παρὰ Πλάτωνι ἀπόρρητα*, XIII, 5.

505 Numenius ap. Euseb. Pr. Ev. XI, 22. *Τὰ μὲν οὖν σώματα λαβεῖν ἡμῖν ἔξεστι σημαινομένοις ἔκ τε ὁμοίων ἀπό τε τῶν ἐν τοῖς προκειμένοις γνωρισμάτων ἐνόντων· τἀγαθὸν δὲ οὐδενὸς ἐκ προκειμένου, οὐδ' οὖν ἀπὸ ὁμοίου αἰσθητοῦ ἐστὶ λαβεῖν μηχανή τις οὐδεμία*[a], *ἀλλὰ δεήσει, οἷον εἴ τις ἐπὶ σκοπῆ καθήμενος ναῦν ἁλιάδα, βραχεῖάν τινα τούτων τῶν ἐπακτρίδων τῶν μόνων, μίαν, μόνην, ἔρημον, μετακυμίαις ἐχομένην ὀξυδορκῶς μιᾷ βολῇ κατεῖδε τὴν ναῦν, οὕτω δή τινα ἀπελθόντα πόρρω ἀπὸ τῶν αἰσθητῶν ὁμιλῆσαι τῷ ἀγαθῷ μόνῳ μόνον, ἔνθα μήτε τις ἄνθρωπος μήτε τι ζῷον ἕτερον, μηδὲ σῶμα μέγα μηδὲ σμικρόν, ἀλλά τις ἄφατος καὶ ἀδιήγητος ἀτεχνῶς ἐρημία θεσπέσιος· ἔνθα τοῦ ἀγαθοῦ ἤθη διατριβαί τε καὶ ἀγλαΐαι, αὐτὸ δὲ ἐν εἰρήνῃ, ἐν εὐμενείᾳ τὸ ἔρημον, τὸ ἡγεμονικὸν ἵλεων, ἐποχούμενον ἐπὶ τῇ οὐσίᾳ*[b]. *εἰ δέ τις πρὸς τοῖς αἰσθητοῖς λιπαρῶν τὸ ἀγαθὸν ἐφιπτάμενον φαντάζεται, κἄπειτα τρυφῶν οἴοιτο τῷ ἀγαθῷ ἐντετυχηκέναι, τοῦ παντὸς ἁμαρτάνει. τῷ γὰρ ὄντι οὐ ῥᾳδίας, θείας δὲ πρὸς αὐτὸ δεῖ μεθόδου· καὶ ἔστι κράτιστον τῶν αἰσθητῶν ἀμελήσαντι νεανιευσαμένῳ πρὸς τὰ μαθήματα, τοὺς ἀριθμοὺς θεασαμένῳ οὕτως ἐκμελετῆσαι μάθημα, τί ἐστι τὸ ἕν*[c].

a) Cf. Numenius ap. Euseb. Pr. Ev. XV, 17 et Nemes. de Nat. Hom. 2, p. 29 ed. Antw., ubi explicatur quibus argumentis Numenius contra Stoicos disputaverit, animam corpoream esse statuentes. Ibi inter

alia: *Τὰ σώματα τῇ οἰκείᾳ φύσει τρεπτὰ ὄντα καὶ διόλου εἰς ἄπειρον τμητὰ μηδενὸς ἐν αὐτοῖς ἀμεταβλήτου ὑπολειπομένου δεῖται τοῦ συντιθέντος καὶ συνάγοντος καὶ ὥσπερ συσφίγγοντος καὶ συγκρατοῦντος αὐτά, ὅπερ ψυχὴν λέγομεν.* Bonum igitur incorporale est et rebus corporalibus oppositum: quapropter dicitur etiam *τὸ ἡγεμονικὸν* et *νοῦς*, l. l.: *Εἰ δ' ἔστι μὲν νοητὸν ἡ οὐσία καὶ ἡ ἰδέα, ταύτης δ' ὡμολογήθη πρεσβύτερον καὶ αἴτιον εἶναι ὁ νοῦς, αὐτὸς οὗτος μόνος εὕρηται ὢν τὸ ἀγαθόν.* — **b)** Ostendit hoc simile Numenium dicere eam contemplationem dei, quam fieri volebant nullo medio interposito, cuius compotes fiunt ii qui animum ab omni corporis ac sensuum coniunctione abstrahant: qua contemplatione constat consummata unio cum deo. Iambl. ap. Stob. Ecl. I, p. 1066. *Ἕνωσιν μὲν οὖν καὶ ταυτότητα ἀδιάκριτον τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἀρχὰς πρεσβεύειν φαίνεται Νουμήνιος.* Eodem pertinet quod dicit primum deum ad hominibus prorsus non cognosci, sed cognosci secundum (cf. n. 506), hunc autem pro vera ratione ab iis haberi. Numenius ap. Euseb. Pr. Ev. XI, 18. *Ἐπειδὴ ᾔδει ὁ Πλάτων παρὰ τοῖς ἀνθρώποις τὸν μὲν δημιουργὸν γιγνωσκόμενον μόνον, τὸν μέντοι πρῶτον νοῦν, ὅστις καλεῖται, αὐτὸν παντάπασιν ἀγνοούμενον παρ' αὐτοῖς, διὰ τοῦτο οὕτως εἶπεν, ὥσπερ ἄν τις οὕτω λέγοι· ὦ ἄνθρωποι, ὃν τοπάζετε, ὑμεῖς νοῦν, οὐκ ἔστι πρῶτος, ἀλλ' ἕτερος πρὸ τούτου νοῦς πρεσβύτερος καὶ θειότερος:* ubi videtur distinguere inter cognitionem et contemplationem. — Extrema vocabula *ἐποχούμενον ἐπὶ τῇ οὐσίᾳ* videntur referenda ad Plat. de Rep. VI, p. 509 B. *οὐκ οὐσίας ὄντος τοῦ ἀγαθοῦ, ἀλλ' ἔτι ἐπέκεινα τῆς οὐσίας κτλ.* Secus tamen Numenius ap. Euseb. Pr. Ev. XI, 10. *ἀλλὰ μὴ γελάσάτω τις, ἐὰν φῶ τοῦ ἀσωμάτου εἶναι ὄνομα οὐσίαν καὶ ὄν,* quamquam ibi loquitur de *νοητῷ* in genere. Quam ambiguitatem positam esse dixeris in eo quod utrumque, et *τὸ ἀγαθὸν* et *τὸ νοητόν* subiiciebat *τῷ ἀσώμάτῳ*, altero ab altero non semper diligenter distincto. — **c)** Cf. Plat. de Rep. VII, p. 525 A sqq.

Numenius ap. Euseb. Pr. Ev. XI, 16. *Ὁ θεὸς ὁ μὲν* 506
πρῶτος ἐν ἑαυτῷ ὢν ἐστιν ἁπλοῦς διὰ τὸ ἑαυτῷ συγγιγνόμενος διόλου μηδέποτε) εἶναι διαιρετός· ὁ θεὸς μέντοι ὁ δεύτερος καὶ ὁ τρίτος***) ἐστὶν εἷς, συμφερόμενος δὲ τῇ ὕλῃ δυάδι οὔσῃ ἑνοῖ μὲν αὐτήν, σχίζεται δὲ ὑπ' αὐτῆς ἐπιθυμητικὸν εἶδος ἐχούσης καὶ ῥεούσης, τῷ οὖν μὴ εἶναι πρὸς τῷ νοητῷ (ἦν γὰρ ἂν πρὸς ἑαυτῷ) διὰ τὸ τὴν ὕλην βλέπειν, ταύτης ἐπιμελούμενος ἀπερίοπτος ἑαυτοῦ γίγνεται καὶ ἅπτεται τοῦ αἰσθητοῦ καὶ περιέπει ἀνάγει τε ἔτι εἰς τὸ ἴδιον ἦθος ἐπορεξάμενος***) τῆς ὕλης*[a].

---

*) Euseb. vulg. *μή ποτε.* Dedimus ex Cyrillo contra Iulian. VIII, p. 272. D. E ed. Spanh. — **) Euseb. vulgo *καὶ τρίτος.* Cyrill. *ὁ τρίτος ἐστὶν ὁ εἷς.* — ***) Vulgo *ἀπορεξόμενος.*

— — καὶ γὰρ οὔτε δημιουργεῖν ἐστὶ χρεὼν τὸν πρῶτον καὶ τοῦ δημιουργοῦντος δὲ θεοῦ χρὴ εἶναι νομίζεσθαι πατέρα τὸν πρῶτον θεόν*). — — πρὸ μέντοι τοῦ λόγου τῆς ἀναλύσεως**) διομολογησώμεθα ἡμῖν αὐτοῖς ὁμολογίαν οὐκ ἀμφισβητήσιμον ἀκοῦσαι, τὸν μὲν πρῶτον θεὸν ἀργὸν εἶναι ἔργων ξυμπάντων[b] καὶ βασιλέα, τὸν δημιουργικὸν δὲ θεὸν ἡγεμονεῖν δι᾽ οὐρανοῦ ἰόντα· διὰ δὲ τούτου καὶ ὁ στόλος ἡμῖν ἔστι, κάτω τοῦ νοῦ πεμπομένου ἐν διεξόδῳ πᾶσι τοῖς κοινωνῆσαι συντεταγμένοις[c]. βλέποντος μὲν οὖν καὶ ἐπεστραμμένου πρὸς ἡμῶν ἕκαστον τοῦ θεοῦ συμβαίνει ζῆν τε καὶ βιώσκεσθαι τότε τὰ σώματα κηδευόμενα***) τοῦ θεοῦ τοῖς ἀκροβολισμοῖς· μεταστρέφοντος δὲ εἰς τὴν ἑαυτοῦ περιωπὴν τοῦ θεοῦ ταῦτα μὲν ἀποσβέννυσθαι, τὸν δὲ νοῦν ζῆν βίου ἀπαυρόμενον εὐδαίμονος. — — Euseb. ib. Καὶ ἑξῆς δὲ πάλιν περὶ τοῦ πῶς ἀπὸ τοῦ πρώτου αἰτίου τὸ δεύτερον ὑπέστη τοιάδε φησίν (sc. ὁ Νουμήνιος)· Ὁπόσα δὲ δοθέντα μέτεισι πρὸς τὸν λαμβάνοντα ἀπελθόντα ἐκ τοῦ δεδωκότος ἐστὶν ἀνθρώπινα†), χρήματα, νόμισμα κοῖλον, ἐπίσημον. ταυτὶ μὲν οὖν ἐστὶ θνητὰ καὶ ἀνθρώπινα· τὰ δὲ θεῖά ἐστιν οἷα μεταδοθέντα ἐνθένδ᾽ ἐκεῖθι γεγενημένα ἐνθένδε τε οὐκ ἀπελήλυθε, κἀκεῖθε γενόμενα τὸν μὲν ὤνησε τὸν δ᾽ οὐκ ἔβλαψε, καὶ προσώνησε τῇ περὶ ὧν ἠπίστατο ἀναμνήσει. ἔστι δὲ τοῦτο τὸ καλὸν χρῆμα, ἐπιστήμη ἡ καλή, ἧς ὤνατο μὲν ὁ λαβών, οὐκ ἀπολείπεται δ᾽ αὐτῆς ὁ δεδωκώς. οἷον ἂν ἴδοις ἐξαφθέντα ἀφ᾽ ἑτέρου λύχνου φῶς ἔχοντα. ὃ μὴ τὸν πρότερον††) ἀφείλετο, ἀλλὰ τῆς ἐν αὐτῷ ὕλης πρὸς τὸ ἐκείνου πῦρ ἐξαφθείσης τοιοῦτον τὸ χρῆμά ἐστι τὸ τῆς ἐπιστήμης, ἣ δοθεῖσα καὶ ληφθεῖσα παραμένει μὲν τῷ δεδωκότι, σύνεστι δὲ τῷ λαβόντι ἡ αὐτή· τούτου δὲ τὸ αἴτιον, ὦ ξένε, οὐδέν ἐστιν ἀνθρώπινον, ἀλλ᾽ ὅτι ἕξις τε καὶ οὐσία ἡ ἔχουσα τὴν ἐπιστήμην ἡ αὐτή ἐστι παρὰ τῷ δεδωκότι θεῷ καὶ παρὰ τῷ εἰληφότι ἐμοὶ καὶ σοί. — — εἰσὶ δὲ οὗτοι βίοι ὁ μὲν πρώτου, ὁ δὲ δευτέρου θεοῦ· δηλονότι ὁ μὲν πρῶτος θεός ἐστιν†††) ἑστώς, ὁ δὲ δεύτερος ἔμπαλίν ἐστι κινούμενος. ὁ μὲν οὖν πρῶτος περὶ τὰ νοητά, ὁ δὲ δεύτερος περὶ τὰ νοητὰ

---

*) Euseb. vulgo δημιουργοῦντος δὲ περὶ πατρὸς καὶ υἱοῦ χρὴ κτλ. — **) Vulgo ἁλώσεως. — ***) Vulgo κηδειόντα, quod infra legitur iterum. Corr. Viger. — †) Vulgo ἐστὶ θεραπεία. — ††) Vulgo τὸ πρότερον. τὸν πρότ. in margine. — †††) ἔσται vulgo, ἐστιν in margine.

καὶ αἰσθητά. μὴ θαυμάσῃς δ᾽ εἰ τοῦτ᾽ ἔφην, πολὺ γὰρ ἔτι θαυμαστότερον ἀκούσῃ· ἀντὶ γὰρ τῆς προσούσης τῷ δευτέρῳ κινήσεως τὴν προσοῦσαν τῷ πρώτῳ στάσιν φημὶ εἶναι κίνησιν σύμφυτον, ἀφ᾽ ἧς ἥ τε τάξις τοῦ κόσμου καὶ ἡ μονὴ ἡ ἀΐδιος καὶ ἡ σωτηρία ἀναχεῖται εἰς τὰ ὅλα[d].

a) Cf. ib. 22. *ὁ γὰρ δεύτερος* (sc. *θεός*), *διττὸς ὢν αὐτός, ποιεῖ τήν τε ἰδέαν ἑαυτοῦ καὶ τὸν κόσμον, δημιουργὸς ὤν, ἔπειτα θεωρητικὸς ὅλως.* Distinguit igitur inter theoreticam et practicam actionem dei secundi; priore coniunctus est cum deo primo, altera cum materia, dum condit mundum: quae actio dignitate inferior est. Eodem pertinent haec, ib. 18. *Λαμβάνει δὲ* (sc. *ὁ δημιουργὸς*) *τὸ μὲν κριτικὸν ἀπὸ τῆς θεωρίας, τὸ δὲ ὁρμητικὸν ἀπὸ τῆς ἐφέσεως.* Tertium deum etiam mundum appellasse dicitur, ap. Procl. Tim. II, p. 93, qui tamen locus a ceteris testimoniis adeo discrepat, ut nonnisi liberiore interpretatione cum iis consociari possit: *Νουμήνιος μὲν γὰρ τρεῖς ἀνυμνήσας θεοὺς πατέρα μὲν καλεῖ τὸν πρῶτον, ποιητὴν δὲ τὸν δεύτερον, ποίημα δὲ τὸν τρίτον· ὁ γὰρ κόσμος κατ᾽ αὐτὸν ὁ τρίτος ἐστὶ θεός· ὥστε ὁ κατ᾽ αὐτὸν δημιουργὸς διττός, ὅ τε πρῶτος καὶ ὁ δεύτερος, τὸ δὲ δημιουργούμενον ὁ τρίτος. ἄμεινον γὰρ τοῦτο λέγειν ἢ ὡς ἐκεῖνός φησιν τραγῳδῶν, πάππον ἔγγονον, ἀπόγονον.* Solutio his verbis contineri videtur: *ὁ δὲ* (sc. *Νουμήνιος*) *τὸ αὐτὸ καὶ πατέρα καὶ ἔγγονον καὶ ἀπόγονον ἀπέφηνεν.* — **b)** Hoc ipsum in causa est, cur primum deum dirimebat a demiurgo. Simul vero eam persuasionem secutus esse videtur, quam deprehendimus in Philone et Apollonio et Plutarcho, n. 490. 500. 503, not. a, deum primum contaminari, si materiam attigerit. — **c)** Cf. Plat. Phaedr. p. 246 E sqq. — **d)** Sempiterna quies dei primi minime ab motu abhorret quippe est illa quies simul causa motus, quo agitatur mundus. Demiurgus enim, dum condit mundum, intuetur in deum primum eiusque in suo opere sequitur voluntatem ac nutum. Numenius ap. Euseb. Pr. Ev. XI, 18. *τὴν ἁρμονίαν δὲ ἰθύνει ταῖς ἰδέαις οἰακίζων· βλέπει τε — εἰς τὸν ἄνω θεόν.*

Porphyr. ap. Stob. Ecl. I, p. 836. *Ἄλλοι δέ, ὧν καὶ* 507
Νουμήνιος, οὐ τρία μέρη ψυχῆς μιᾶς, ἢ δύο γε, τὸ λογικὸν καὶ ἄλογον, ἀλλὰ δύο ψυχὰς ἔχειν ἡμᾶς οἴονται —, τὴν μὲν λογικήν, τὴν δὲ ἄλογον· ὧν πάλιν οἱ μὲν ἄμφω ἀθανάτους, οἱ δὲ τὴν λογικὴν ἀθάνατον.

Quod animam in duas animas dispescit, id respondet partitioni dei secundi in deum secundum et tertium: *ψυχὴ ἄλογος* est anima ad materiam vergens, *ψυχὴ λογικὴ* quae intuetur deum. Ex materia proserpit omne quod parvum in anima est, ideoque ipsum corpus, quo anima induta est, malum esse ponitur. Iamb. ap. Stob. Ecl. I, p. 896. 910. Binas istas animae partes sibi invicem reniti ac veluti conflictari sta-

tuebat. Ib. p. 894. Loco ex commentario inedito ad Plat. Phaed. publicato per Cousin *Journ. d. Sav.* 1835, p. 145. *οἱ μὲν ἀπὸ τῆς λογικῆς ψυχῆς ἄχρι τῆς ἐμψύχου ἕξεως ἀπαθανατίζουσιν, ὡς Νουμήνιος*, id subesse videtur, ut immortalem animam h. e. rationalem per omnem naturam animatam intentam esse atque commeare statuerit. — Cf. locus Porphyrii apud Cyrillum contra Iulian. VIII, p. 271 A ed. Spanh. *Ἄχρι γὰρ τριῶν ὑποστάσεων ἔφη Πλάτων τὴν τοῦ θεοῦ προελθεῖν οὐσίαν· εἶναι δὲ τὸν μὲν ἀνώτατον θεὸν τἀγαθόν, μετ' αὐτὸν δὲ τὸν δεύτερον τὸν δημιουργόν, τρίτην δὲ τὴν τοῦ κόσμου ψυχήν· ἄχρι γὰρ ψυχῆς τὴν θεότητα προελθεῖν.*

Caput XV.

NOVI PLATONICI.

1. Plotinus.

Porphyr. V. Plotini cap. 2. Ἀ μέντοι ἡμῖν αὐτὸς (sc. ὁ 508
Πλωτῖνος) ἀφ᾽ ἑαυτοῦ ἐν ταῖς ὁμιλίαις πολλάκις διηγεῖτο ἦν τοιαῦτα· — 3. εἰκοστὸν καὶ ὄγδοον ἔτος αὐτὸν ἄγοντα[a] ὁρμῆσαι ἐπὶ φιλοσοφίαν καὶ τοῖς τότε κατὰ τὴν Ἀλεξάνδρειαν εὐδοκιμοῦσι συσταθέντα κατιέναι ἐκ τῆς ἀκροάσεως αὐτῶν κατηφῆ καὶ λύπης πλήρη, ὡς καί τινι τῶν φίλων διηγεῖσθαι ἃ πάσχει. τὸν δὲ συνέντα αὐτοῦ τῆς ψυχῆς τὸ βούλημα ἀπενέγκαι πρὸς Ἀμμώνιον[b], οὗ μηδέπω πεπείρατο· τὸν δὲ εἰσελθόντα καὶ ἀκούσαντα φάναι πρὸς τὸν ἑταῖρον· Τοῦτον ἐζήτουν· καὶ ἀπ᾽ ἐκείνης τῆς ἡμέρας συνεχῶς τῷ Ἀμμωνίῳ παραμένοντα τοσαύτην ἕξιν ἐν φιλοσοφίᾳ κτήσασθαι ὡς καὶ τῆς παρὰ τοῖς Πέρσαις ἐπιτηδευομένης πεῖραν λαβεῖν σπεῦσαι καὶ τῆς παρ᾽ Ἰνδοῖς κατορθουμένης. Γορδιανοῦ δὲ τοῦ βασιλέως ἐπὶ τοὺς Πέρσας παριέναι μέλλοντος δοὺς ἑαυτὸν τῷ στρατοπέδῳ συνεισῆλθε ἔτος ἤδη τριακοστὸν ἄγων καὶ ἔνατον, ἕνδεκα γὰρ ὅλων ἐτῶν παραμένων τῷ Ἀμμωνίῳ συνεσχόλασε· τοῦ δὲ Γορδιανοῦ περὶ τὴν Μεσοποταμίαν ἀναιρεθέντος μόλις φεύγων εἰς τὴν Ἀντιόχειαν διεσώθη, καὶ Φιλίππου τὴν βασιλείαν κρατήσαντος τεσσαράκοντα γεγονὼς ἔτη εἰς τὴν Ῥώμην ἄνεισιν. Ἐρεννίῳ δὲ καὶ Ὠριγένει[c] καὶ Πλωτίνῳ συνθηκῶν γεγονυιῶν μηδὲν ἐκκαλύπτειν τῶν Ἀμμωνίου δογμάτων, ἃ δὴ ἐν ταῖς ἀκροάσεσιν αὐτοῖς ἀνεκεκάθαρτο, ἐνέμενε*) καὶ ὁ Πλωτῖνος συνὼν μέν τισι τῶν προσιόντων,

*) Vulgo ἔμενε. Corr. Creuzer.

τηρῶν δὲ ἀνέκπυστα τὰ παρὰ τοῦ Ἀμμωνίου δόγματα. Ἐρεννίου δὲ πρώτου τὰς συνθήκας παραβάντος Ὠριγένης μὲν ἠκολούθει τῷ φθάσαντι Ἐρεννίῳ, ἔγραψε δὲ οὐδὲν πλὴν τὸ Περὶ τῶν δαιμόνων σύγγραμμα καὶ ἐπὶ Γαλιήνου Ὅτι μόνος ποιητὴς ὁ βασιλεύς. Πλωτῖνος δὲ ἄχρι μὲν πολλοῦ γράφων οὐδὲν διετέλεσεν, ἐκ δὲ τῆς Ἀμμωνίου συνουσίας ποιούμενος τὰς διατριβάς, καὶ οὕτως ὅλων ἐτῶν δέκα διετέλεσε συνὼν μέν τισι, γράφων δὲ οὐδέν[d]. 7. Ἔσχε δὲ καὶ ἐμὲ Πορφύριον, Τύριον ὄντα, ἐν τοῖς μάλιστα ἑταῖρον, ὃν καὶ διορθοῦν αὐτοῦ τὰ συγγράμματα ἠξίου. 8. γράψας γὰρ ἐκεῖνος δὶς τὸ γραφὲν μεταβαλεῖν οὐδέποτ' ἂν ἠνέσχετο, ἀλλ' οὐδὲ ἅπαξ γοῦν ἀναγνῶναι καὶ διελθεῖν διὰ τὸ τὴν ὅρασιν μὴ ὑπηρετεῖσθαι αὐτῷ πρὸς τὴν ἀνάγνωσιν. ἔγραφε δὲ οὔτε εἰς κάλλος ἀποτυπούμενος τὰ γράμματα οὔτε εὐσήμως τὰς συλλαβὰς διαιρῶν οὔτε τῆς ὀρθογραφίας φροντίζων, ἀλλὰ μόνον τοῦ νοῦ ἐχόμενος[e]. 10. Ἦν δὲ καὶ κατὰ γένεσιν πλέον τι ἔχων παρὰ τοὺς ἄλλους ὁ Πλωτῖνος. Αἰγύπτιος γάρ τις ἱερεὺς ἀνελθὼν εἰς τὴν Ῥώμην καὶ διά τινος φίλου αὐτῷ γνωρισθείς, θέλων τε τῆς ἑαυτοῦ σοφίας ἀπόδειξιν δοῦναι ἠξίωσε τὸν Πλωτῖνον ἐπὶ θέαν ἀναφικέσθαι τοῦ συνόντος αὐτῷ οἰκείου δαίμονος καλουμένου. τοῦ δὲ ἑτοίμως ὑπακούσαντος γίγνεται μὲν ἐν τῷ Ἰσείῳ ἡ κλῆσις· μόνον γὰρ ἐκεῖνον τὸν τόπον καθαρὸν φησιν*) εὑρεῖν ἐν τῇ Ῥώμῃ τὸν Αἰγύπτιον. κληθέντα δὲ εἰς αὐτοψίαν τὸν δαίμονα θεὸν ἐλθεῖν καὶ μὴ τοῦ δαιμόνων εἶναι γένους· ὅθεν τὸν Αἰγύπτιον εἰπεῖν, Μακάριος εἶ θεὸν ἔχων τὸν δαίμονα καὶ οὐ τοῦ ὑφειμένου γένους τὸν συνόντα. — — 12. Ἐτίμησαν δὲ τὸν Πλωτῖνον μάλιστα καὶ ἐσέφθησαν Γαλιῆνός τε ὁ αὐτοκράτωρ καὶ ἡ τούτου γυνὴ Σαλωνίνα. ὁ δὲ**) τῇ φιλίᾳ τῇ τούτων καταχρώμενος φιλοσόφων τινὰ πόλιν[f] κατὰ τὴν Καμπανίαν γεγενῆσθαι λεγομένην, ἄλλως δὲ κατηριπωμένην ἠξίου ἀνεγείρειν καὶ τὴν πέριξ χώραν χαρίσασθαι οἰκισθείσῃ τῇ πόλει, νόμοις δὲ χρῆσθαι τοὺς κατοικεῖν μέλλοντας τοῖς Πλάτωνος καὶ τὴν προσηγορίαν αὐτῇ Πλατωνόπολιν θέσθαι. ἐκεῖ τε αὐτὸς μετὰ τῶν ἑταίρων ἀναχωρήσειν ὑπισχνεῖτο. καὶ ἐγένετ' ἂν τὸ βούλημα ἐκ τοῦ ῥᾴστου τῷ φιλοσόφῳ, εἰ μή τινες τῶν συνόν-

*) Nonnulli codd. φῆσαι, Par. om. εὑρεῖν. Inde Creuz. scrib. cens. φάναι ἐν τῇ Ῥώμῃ. Kirch. φασιν. — **) Ita vulg., nisi quod omittitur δέ. Creuz. ex plurimis codd. ἐν δὲ τῇ φ.

των τῷ βασιλεῖ φθονοῦντες ἢ νεμεσῶντες ἤ δι' ἄλλην τινὰ αἰτίαν μοχθηρὰν ἐνεπόδισαν[g]. 23. *Οὕτως δὲ μάλιστα τούτῳ τῷ δαιμονίῳ φωτὶ πολλάκις ἀνάγοντι ἑαυτὸν εἰς τὸν πρῶτον καὶ ἐπέκεινα θεὸν ταῖς ἐννοίαις — — ἐφάνη ἐκεῖνος ὁ θεὸς ὁ μήτε μορφὴν μήτε τινὰ ἰδέαν ἔχων, ὑπὲρ δὲ νοῦν καὶ πᾶν τὸ νοητὸν ἱδρυμένος. — τέλος γὰρ αὐτῷ καὶ σκοπὸς ἦν τὸ ἑνωθῆναι καὶ πελάσαι τῷ ἐπὶ πᾶσι θεῷ. ἔτυχε δὲ τετράκις που, ὅτε συνήμην αὐτῷ, τοῦ σκοποῦ τούτου ἐνεργείᾳ ἀῤῥήτῳ καὶ οὐ δυνάμει.* 2. *Μέλλων δὲ τελευτᾶν — φήσας πειρᾶσθαι τὸ ἐν ἡμῖν θεῖον ἀνάγειν πρὸς τὸ ἐν τῷ παντὶ θεῖον — ἀφῆκε τὸ πνεῦμα, ἔτη γεγονὼς — ἓξ τε καὶ ἑξήκοντα, τοῦ δευτέρου ἔτους τῆς Κλαυδίου βασιλείας πληρουμένου*[h].

a) De patria ipse noluit pronuntiare, nam *ἐῴκει αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη*, ut ait idem Porphyrius. Sed Eunapius V. Soph. p. 6 Boisson. et Suidas v. *Πλωτῖνος* et David in Scholl. Arist. p. 18 a eum Lycopoli in Aegypto natum esse perhibent. — **b)** Ammonius Saccas s. Saccophorus patria Alexandrinus, v. Suidas v. *Ἀμμώνιος* et *Πλωτῖνος* et supra n. 7. Christianis parentibus natus posteaquam ad Ethnicorum sacra graeca redierat, v. Porphyr. ap. Euseb. Hist. Eccl. VI, 19, scholam in urbe patria aperuit et recentioris philosophiae Platonicae fundamenta iecit. Ipse nihil scripti reliquit, ut ambiguam fidem habeant quae de eius doctrina traduntur ap. Nemesium de Nat. Hom. c. 2, p. 29; 3, p. 56. — **c)** De Erennio non constat; pauca exstant de Origene eiusque doctrina, cf. supra n. 7. Praeter hos etiam Longinus, qui scripsit de Sublimitate, inter discipulos Ammonii recensetur. — **d)** Postea Porphyrio adhortante placita sua perscribere incipiebat, Porphyrio, qui anno decimo Gallieni ad eius disciplinam accesserat, singulos libros excipiente atque emendante, v. V. Plotini 4 sqq. 18. Oratio haud pure graeca erat, ib. 13. sed animus intentissimus atque elatior, ib. 14. *ἐν δὲ τῷ γράφειν σύντονος γέγονε καὶ πολύνους, βραχύς τε νοήμασι πλεονάζων ἢ λέξεσι, τὰ πολλὰ ἐνθουσιῶν καὶ ἐκπαθῶς φράζων καὶ μετὰ συμπαθείας ἢ παραδόσεως, ἐμμέμικται δ' ἐν τοῖς συγγράμμασι καὶ τὰ Στωϊκὰ λανθάνοντα δόγματα καὶ τὰ Περιπατητικά, καταπεπύκνωται δὲ καὶ ἡ μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους πραγματεία*: ubi recte dicit Stoicos eum et Aristotelem in plurimis secutum esse, quamquam ipse Plotinus hos fere aspernatur, nihil nisi Platonem professus, divinum illum et sanctum quem appellare solet. — **e)** Porphyrius libros emendatos digessit et composuit secundum argumenta, sic uti nunc leguntur a F. Creuzero et G. A. Mosero editi Oxon. 1835, 3 Voll. 4 et Paris. 1855. 8 mai. Ordinem librorum secundum Plotinum restituere ausus est Kirchhoff in editione sua Lips. 1859. De Philosophia Plotini et de historia novorum Platonicorum cf. Vacherot *Hist. de l'école d' Alexandrie*, Paris. 1846. 1850, 3 Voll.; Steinhart Quaestt. de dialectica Plotini ratione, Numb. 1829; Meletemata Ploti-

niana, Hal. 1840; C. H. Kirchner *die Philosophie des Plotin*, Hal. 1854. — **f)** Cogitandum videtur de Pythagoreorum societate olim exstincta, v. supra n. 47. 49. — **g)** Ceteroquin discipulos ad contemtum vitae civilis impellebat, Porphyr. l. l. cap. 7, ubi simul enumerantur praecipui discipuli Plotini. — **h)** H. e. a. 270 p. Chr. n.

509 Enn. V, 1, 1. *Τί ποτε ἆρά ἐστι τὸ πεποιηκὸς τὰς ψυχὰς πατρὸς*) θεοῦ ἐπιλαθέσθαι καὶ, μοίρας ἐκεῖθεν οὔσας καὶ ὅλως ἐκείνου, ἀγνοῆσαι καὶ ἑαυτὰς καὶ ἐκεῖνον; ἀρχὴ μὲν οὖν αὐταῖς τοῦ κακοῦ ἡ τόλμα*[a] *καὶ ἡ γένεσις καὶ ἡ πρώτη ἑτερότης*[b] *καὶ τὸ βουληθῆναι δὲ ἑαυτῶν εἶναι. τῷ δὴ αὐτεξουσίῳ*[c] *ἐπειδήπερ ἐφάνησαν ἡσθεῖσαι πολλῷ τῷ κινεῖσθαι παρ᾽ αὐτῶν κεχρημέναι, τὴν ἐναντίαν δραμοῦσαι καὶ πλείστην ἀπόστασιν*[d] *πεποιημέναι ἠγνόησαν καὶ ἑαυτὰς ἐκεῖθεν εἶναι. — — οὔτ᾽ οὖν ἔτι ἐκεῖνον οὔτε ἑαυτὰς ὁρῶσαι, ἀτιμάσασαι ἑαυτὰς ἀγνοίᾳ τοῦ γένους, τιμήσασαί τε ἄλλα καὶ πάντα μᾶλλον ἢ ἑαυτὰς θαυμάσασαι, καὶ πρὸς αὐτὰ ἐκπλαγεῖσαι καὶ ἀγασθεῖσαι καὶ ἐξηρτημέναι τούτων, ἀπέρρηξαν ὡς οἷόν τε ἑαυτὰς ὧν ἀπεστράφησαν ἀτιμάσασαι. — — διὸ δεῖ διττὸν γίγνεσθαι τὸν λόγον πρὸς τοὺς οὕτω διακειμένους, εἴπερ τις ἐπιστρέψοι αὐτοὺς εἰς τὰ ἐναντία καὶ τὰ πρῶτα καὶ ἀνάγοι μέχρι τοῦ ἀκροτάτου καὶ ἑνὸς καὶ πρώτου. τίς οὖν ἑκάτερος; ὁ μὲν δεικνὺς τὴν ἀτιμίαν **) τῶν νῦν ψυχῇ τιμωμένων, ἵν᾽ ἐν ἄλλοις δίμεν ἐπιπλέον· ὁ δὲ διδάσκων καὶ ἀναμιμνήσκων τὴν ψυχήν, οἷον τοῦ γένους καὶ τῆς ἀξίας· ὃς πρότερός ἐστιν ἐκείνου καὶ σαφηνισθεὶς κἀκεῖνον δηλώσει· περὶ οὗ νῦν λεκτέον.*

a) Consimili sensu *ἡ τόλμα* dicitur Enn. II, 9, 11, ut quae animam primitus seduxerit atque ut principium suum deserat impulerit. Eodem sensu Platonis locus, Alcib. I, p. 104 E, ab interpretibus Neoplatonicis accipitur, ubi tamen haec vocis *τόλμα* significatio ad Pythagoreos rovocatur, Procl. Plat. Alcib. p. 134; Olympiodor. Plat. Alcib. p. 48 Creuz. Cf. Theol. Arithm. 2, p. 10. *πρώτη γὰρ ἡ δυὰς διεχώρισεν αὐτὴν ἐκ τῆς μονάδος, ὅθεν καὶ τόλμα καλεῖται.* Plotinus etiam in plantis inesse dicit *τὸ τολμηρότατον καὶ ἀφρονέστατον μέρος τῆς ψυχῆς.* Enn. V, 2, 2. — **b)** Ἑτερότης pertinet ad *νοῦν*, v. n. 512, qui dicitur Enn. VI, 9. 5. *ἀποστῆναί πως τοῦ ἑνὸς τολμήσας.* — **c)** Liberum arbitrium esse utique contendit, sed negat veram voluntatis libertatem positam esse in eo, ut possimus opposita patrare. Enn. VI, 8, 21. *καὶ γὰρ τὸ τὰ ἀντικείμενα δύνασθαι ἀδυναμίας ἐστί.* Ait eam nonnisi in bene factis cerni,

---

*) Ita Creuz. ex codd. Ed. Bas. *πρὸς θεοῦ*. — **) Cr. ex codd. Ed. Bas. *αἰτίαν*.

non in iis quae faciamus sensuum impulsionibus obnoxii. Enn. III, 1, 9. *ὅταν μὲν οὖν ἀλλοιωθεῖσα παρὰ τῶν ἔξω ψυχὴ πράττῃ τι καὶ ὁρμᾷ οἷον τυφλῇ τῇ φορᾷ χρωμένη, οὐχὶ ἑκούσιον τὴν πρᾶξιν οὐδὲ τὴν διάθεσιν λεκτέον· καὶ ὅταν αὐτὴ παρ' αὐτῆς χείρων οὖσα περιττὸν οὐκ ὀρθαῖς πανταχοῦ οὐδὲ ἡγεμονούσαις ταῖς ὁρμαῖς ᾗ χρωμένη. λόγον δὲ ὅταν ἡγεμόνα καθαρὸν καὶ ἀπαθῆ τὸν οἰκεῖον ἔχουσα ὁρμᾷ, ταύτην μόνον τὴν ὁρμὴν φατέον εἶναι ἐφ' ἡμῖν καὶ ἑκούσιον.* Hoc tamen sensu nostro loco libertas voluntatis non accipitur, ut qua dicatur anima primum ad lapsum atque errorem inducta esse; quamquam etiam haec libertatis interpretatio late per doctrinam Plotini patet. Enn. III, 2, 10. *ἀλλ' εἰ ἄνθρωποι ἄκοντές εἰσι κακοὶ καὶ τοιοῦτοι οὐχ ἑκόντες, οὔτ' ἂν τις τοὺς ἀδικοῦντας αἰτιάσαιτο οὔτε τοὺς πάσχοντας ὡς δι' αὐτοὺς ταῦτα πάσχοντας.* Fluctuat Plotinus inter utramque interpretationem, non semel affirmans eam libertatem, qua pravum sequamur, non differre a necessitate. Enn. IV, 8, 5. *πᾶν μὲν γὰρ ἰὸν ἐπὶ τὸ χεῖρον ἀκούσιον· φορᾷ γε μὴν οἰκείᾳ ἰὸν πάσχον τὰ χείρω ἔχειν λέγεται τὴν ἐφ' οἷς ἔπραξε δίκην. ὅταν δὲ ταῦτα πάσχειν καὶ ποιεῖν ᾖ ἀναγκαῖον ἀϊδίως φύσεως νόμῳ, τόδε συμβαῖνον εἰς ἄλλου του χρείαν, καταβαῖνον ἀπὸ τοῦ ὑπὲρ αὐτὸ αὐτὸν θεὸν εἴ τις λέγοι καταπέμψαι, οὐκ ἂν ἀσύμφωνος οὔτε τῇ ἀληθείᾳ οὔτε ἑαυτῷ ἂν εἴη.* — **d)** Scil. a principio suo sive deo. Eodem referendum in sequentibus *ἐκεῖθεν* et *ἐκεῖνον*.

In hoc omnis Plotini doctrina posita est, ut nos in hac vita sensibus ac tempori obnoxia a principio nostro alienatos esse ostendat, quo revertendum esse animis nostris ab alienioribus, quae nobis adhaerescant, purgandis ac veluti februandis. Enn. III, 6, 5. Remotiore tamen sensu negat nos a deo vere alienatos esse, v. infra 518, not. d.

Enn. V, 1, 2. *Ἐνθυμείσθω τοίνυν πρῶτον ἐκεῖνο πᾶσα* 510
ψυχή, ὡς αὐτὴ μὲν ζῷα ἐποίησε πάντα, ἐμπνεύσασα αὐτοῖς ζωήν ἃ τε γῆ τρέφει ἃ τε θάλασσα ἃ τε ἐν ἀέρι ἃ τε ἐν οὐρανῷ ἄστρα θεῖα· αὐτὴ δὲ ἥλιον, αὐτὴ δὲ τὸν μέγαν τοῦτον οὐρανόν, αὐτὴ δὲ ἐκόσμησεν, αὐτὴ δὲ ἐν τάξει περιάγει φύσις οὖσα ἑτέρα ὧν κοσμεῖ καὶ ὧν κινεῖ καὶ ἃ ζῆν ποιεῖ, καὶ τούτων ἀνάγκη εἶναι τιμιωτέραν, γιγνομένων μὲν τούτων καὶ φθειρομένων ὅταν αὐτὰ ψυχὴ ἀπολείπῃ ἢ χορηγῇ τὸ ζῆν, αὐτὴ δὲ οὖσα ἀεὶ τῷ μὴ ἀπολείπειν ἑαυτήν. — — οἷον σκοτεινὸν νέφος ἡλίου βολαὶ φωτίσασαι λάμπειν ποιοῦσι χρυσοειδῆ ὄψιν ποιοῦσαι, οὕτω τοι καὶ ψυχὴ ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ κείμενον· ὁ δὲ κινηθεὶς κίνησιν ἀΐδιον ὑπὸ ψυχῆς ἔμφρονος) ἀγούσης ζῷον εὔδαιμον ἐγένετο, ἔσχε τε ἀξίαν*

*) Ita Creuz. ex codd. Ed. B. *ἔμφωνος*.

οὐρανὸς ψυχῆς εἰσοικισθείσης, ὢν πρὸ ψυχῆς σῶμα νεκρόν, γῆ καὶ ὕδωρ, μᾶλλον δὲ σκότος ὕλης καὶ μὴ ὂν καὶ ὃ στυγέουσιν οἱ θεοί, φησί τις. γένοιτο δ' ἂν φανερωτέρα αὐτῆς καὶ ἐναργεστέρα ἡ δύναμις καὶ ἡ φύσις, εἴ τις ἐνταῦθα διανοηθείη ὅπως περιέχει καὶ ἄγει ταῖς αὑτῆς βουλήσεσι τὸν οὐρανόν. παντὶ μὲν γὰρ τῷ μεγέθει τούτῳ, ὅσος ἐστίν, ἔδωκεν ἑαυτήν, καὶ πᾶν διάστημα καὶ μέγα καὶ μικρὸν ἐψίχωται, ἄλλου μὲν ἄλλη κειμένου τοῦ σώματος, καὶ τοῦ μὲν ὠδὶ τοῦ δὲ ὠδὶ ὄντος, καὶ τῶν μὲν ἐξ ἐναντίας τῶν δὲ ἄλλων ἀπάρτησιν ἀπ' ἀλλήλων ἐχόντων. ἀλλ' οὐχ ἡ ψυχὴ οὕτως οὐδὲ μέρει αὐτῆς ἑκάστῳ κατακερματισθεῖσα μορίῳ ψυχῆς ζῆν ποιεῖ, ἀλλὰ τὰ πάντα ζῇ τῇ ὅλῃ, καὶ πάρεστι πᾶσα πανταχοῦ τῷ γεννήσαντι πατρὶ ὁμοιουμένη*) καὶ κατὰ τὸ ἓν καὶ κατὰ τὸ πάντη. καὶ πολὺς ὢν ὁ οὐρανὸς καὶ ἄλλος ἄλλη ἔν ἐστι τῇ ταύτης δυνάμει· καὶ θεός ἐστι διὰ ταύτην ὁ κόσμος ὅδε. ἔστι δὲ καὶ ἥλιος θεός, ὅτι ἔμψυχος, καὶ τὰ ἄλλα ἄστρα· καὶ ἡμεῖς, εἴπερ τι, διὰ τοῦτο· νέκυες γὰρ κοπρίων ἐκβλητότεροι[a]. — — εἰ δ' ὅ τι ἔμψυχον διωκτὸν ἔσται, τί παρείς τις ἑαυτὸν ἄλλον διώκει; τὴν δὲ ἐν ἄλλῳ ψυχὴν ἀγάμενος σεαυτὸν ἄγασαι.

a) Fragmentum Heracliti, v. Plut. Symp. IV, 4, 3, secundum alios Empedoclis, Scholl. et Eustath. ad Il. XXIV, 54.

Patet de anima mundi sermonem esse. Per totum librum IX. Enneadis IV. hoc persequitur, ὅτι πᾶσαι αἱ ψυχαὶ μία. Praecipuum argumentum est quod nonnisi corpora separantur mole (ὄγκος) et loco et terminis. Enn. IV, 9, 1. διὰ τί γὰρ ἡ ἐν ἐμοὶ μία, ἡ δ' ἐν τῷ παντὶ οὐ μία; οὐ γὰρ ὄγκος οὐδὲ ἐκεῖ, οὐδὲ σῶμα. Ib. VI, 4, 4. διέστησαν γὰρ (sc. αἱ ψυχαὶ) οὐ διεστῶσαι καὶ πάρεισιν ἀλλήλαις οὐκ ἀλλοτριωθεῖσαι. οὐ γὰρ πέρασίν εἰσι διωρισμέναι, ὥσπερ οὐδὲ ἐπιστῆμαι αἱ πολλαὶ ἐν ψυχῇ μιᾷ. καὶ ἔστιν ἡ μία τοιαύτη, ὥστε ἔχειν ἐν ἑαυτῇ πάσας. οὕτως ἐστὶν ἄπειρος ἡ τοιαύτη φύσις. Nam patet etiam sic multitudinem animarum non omnino tolli, quod significatur etiam nostro loco, ubi anima similis dumtaxat esse dicitur procreatori suo', qui solus est consummate unus, quod intelligitur ex sequentibus. Enn. IV, 9, 2. οὐδὲ γὰρ οὕτω μίαν λέγομεν (sc. τὴν ψυχήν), ὡς πάντη πλῆθους ἄμοιρον, τοῦτο γὰρ τῇ κρείττονι φύσει δοτέον. ἀλλὰ μίαν**) καὶ πλήθος λέγομεν, καὶ μετέχειν τῆς φύσεως τῆς περὶ τὰ σώματα μεριστῆς γιγνομένης καὶ τῆς ἀμερίστου αὖ, ὥστε πάλιν εἶναι μίαν. Unitatis argumenta sunt etiam sympathia

*) Creuz. ex Cyrill. adv. Iulian. III, p. 275 sq. ed. Spanh. et codd. Ed. B. περὶ ὁμοιωμένη. — **) Creuz. ex codd. plurimis. Ed. B. μήν.

et magia et incantationes. Enn. IV, 9, 3. *καὶ μὴν ἐκ τῶν ἐναντίων φησὶν ὁ λόγος συμπαθεῖν ἀλλήλοις ἡμᾶς καὶ συναλγοῦντας ἐκ τοῦ ὁρᾶν καὶ διαχεομένους καὶ εἰς τὸ φιλεῖν ἑλκομένους κατὰ φύσιν. — — εἰ δὲ καὶ ἐπῳδαὶ καὶ ὅλως μαγεῖαι συνάγουσι καὶ συμπαθεῖς πόρρωθεν ποιοῦσι, πάντως τοι διὰ ψυχῆς μιᾶς.* Unitatis ac multitudinis in anima consociatio quo pacto accipienda sit, cognoscitur ex hisce l. c. *ὅτι τὸ μὲν ἀμέριστον αὐτῆς κατὰ τὸ λογικὸν τακτέον, οὐ μεριζόμενον ἐν τοῖς σώμασιν τὸ δὲ μεριζόμενον περὶ τὰ σώματα, ἓν μὲν ὂν καὶ αὐτό, περὶ δὲ τὰ σώματα μεριζόμενον, παρεχόμενον τὴν αἴσθησιν πανταχοῦ, ἄλλην δύναμιν αὐτῆς θετέον· τό τε πλαστικὸν αὐτῆς καὶ ποιητικὸν σωμάτων δύναμιν ἄλλην. οὐχ ὅτι δὲ πλείους αἱ δυνάμεις, οὐ μία· καὶ γὰρ ἐν τῷ σπέρματι πλείους αἱ δυνάμεις καὶ ἕν, καὶ ἐξ ἑνὸς τούτου πολλὰ ἕν.* Una illa anima mundi manet una etiam si in multas animas dispertitur; exemplo est sapientiae unitas. Ib. 5. *αἱ δὲ πολλαὶ εἰς ταύτην ὡς μίαν, δοῦσαν ἑαυτὴν εἰς πλῆθος καὶ οὐ δοῦσαν· ἱκανὴ γὰρ πᾶσι παρασχεῖν ἑαυτὴν καὶ μένειν μία. δύναται γὰρ εἰς πάντα ἅμα καὶ ἑκάστου οὐκ ἀποτέτμηται πάντη. τὸ αὐτὸ οὖν ἐν πολλοῖς, μὴ δή τις ἀπιστείτω· καὶ γὰρ ἡ ἐπιστήμη ὅλη καὶ τὰ μέρη αὐτῆς, ὡς μένειν τὴν ὅλην καὶ ἀπ' αὐτῆς τὰ μέρη.* Cf. Enn. VI, 4, 4, qui locus allegatur supra; ib. 5, 10.

Enn. V, 1, 3. *Οὕτω δὴ τιμίου καὶ θείου ὄντος χρήματος* 511
τῆς ψυχῆς, πιστεύσας ἤδη τῷ τοιούτῳ θεὸν μετιέναι μετὰ τοιαύτης αἰτίας ἀνάβαινε πρὸς ἐκεῖνον. πάντως που οὐ πόρρω βαλεῖς, οὐδὲ πολλὰ τὰ μεταξύ. λάμβανε τοίνυν τὸ τοῦ θείου τούτου θειότερον τὸ ψυχῆς πρὸς τὸ ἄνω γειτόνημα, μεθ' ὃ καὶ ἀφ' οὗ ἡ ψυχή. καίπερ γὰρ οὖσα χρῆμα οἷον ἔδειξεν ὁ λόγος, εἰκών τίς ἐστι νοῦ, οἷον λόγος ὁ ἐν προφορᾷ λόγου τοῦ ἐν ψυχῇ[a], *οὕτω τοι καὶ αὐτὴ λόγος νοῦ· καὶ ἡ πᾶσα ἐνέργεια, καὶ ἣν προΐεται ζωὴν εἰς ἄλλου ὑπόστασιν, οἷον πυρὸς τὸ μὲν ἡ συνοῦσα θερμότης, ἡ δὲ ἣν παρέχει. δεῖ δὲ λαβεῖν ἐκεῖ οὐκ ἐκρέουσαν, ἀλλὰ μένουσαν μὲν τὴν ἐν αὐτῷ, τὴν δὲ ἄλλην ὑφισταμένην*[b]. *οὖσα οὖν ἀπὸ νοῦ νοερά ἐστι. καὶ ἐν λογισμοῖς ὁ νοῦς αὐτῆς· καὶ ἡ τελείωσις ἀπ' αὐτοῦ πάλιν, οἷον πατρὸς ἐκθρέψαντος, ὃν οὐ τέλειον ὡς πρὸς αὑτὸν ἐγέννησεν. ἥ τε οὖν ὑπόστασις αὐτῇ ἀπὸ νοῦ, ὅ τε ἐνεργείᾳ λόγος νοῦ αὐτῇ ὁρωμένου· ὅταν γὰρ ἐνίδῃ εἰς νοῦν, ἔνδοθεν ἔχει καὶ οἰκεῖα ἃ νοεῖ καὶ ἐνεργεῖ· καὶ ταύτας μόνας δεῖ λέγειν ἐνεργείας ψυχῆς, ὅσα νοερῶς καὶ ὅσα οἴκοθεν, τὰ δὲ χείρω ἄλλοθεν καὶ πάθη ψυχῆς τῆς τοιαύτης. νοῦς οὖν ἐπὶ μᾶλλον θειοτέραν ποιεῖ καὶ τῷ πατρὶ εἶναι καὶ τῷ παρεῖναι· οὐδὲν γὰρ μεταξὺ ἢ τὸ ἑτέροις εἶναι, ὡς ἐφεξῆς μέντοι καὶ ὡς τὸ δεχόμενον, τὸ δὲ ὡς εἶδος· καλὴ δὲ καὶ ἡ νοῦ ὕλη, νοοειδὴς*

οὖσα καὶ ἁπλῆ°. οἷον δὲ ὁ νοῦς καὶ ταὐτῷ μὲν τούτῳ δῆλον, ὅτι κρείττων ψυχῆς τοιᾶσδε οὔσης.

a) De hoc discrimine v. n. 489 not. — **b)** Cf. n. 493 not. Multis ille similitudinibus quo modo res ex principiis exstiterint illustrare conatur, effundi eas tanquam lumen a sole, scaturire tanquam aquam ex fonte, pullulare tanquam arborem ex stirpe dicens. Id ipsum, unde res emanant, semper integrum restat atque illibatum, cf. I, 6, 7. *ἐκεῖνο ὃ χορηγεῖ μὲν ἅπασιν, ἐφ' ἑαυτοῦ δὲ μένον δίδωσι.* III, 8, 9. *νόησον γὰρ πηγὴν ἀρχὴν οὐκ ἔχουσαν, δοῦσαν δὲ ποταμοῖς πᾶσιν αὐτήν, οὐκ ἀναλωθεῖσαν τοῖς ποταμοῖς, ἀλλὰ μένουσαν αὐτὴν ἡσύχως.* Tanta enim primi principii abundantia est, ut sponte superfluxerit, V, 2, 1. *πρώτη γέννησις αυτη. ὂν γὰρ τέλειον — οἷον ὑπερρύη, καὶ τὸ ὑπερπλῆρες αὐτοῦ πεποίηκεν ἄλλο.* Neque temporis neque ullius motionis atque mutationis notio in talibus adhibenda est, V, 1, 6. *ἐκποδὼν δὲ ἡμῖν ἔστω γένεσις ἢ ἐν χρόνῳ τὸν λόγον περὶ τῶν ἀεὶ ὄντων ποιουμένοις. — — τὸ οὖν γιγνόμενον ἐκεῖθεν οὐ κινηθέντος φατέον γίγνεσθαι· εἰ γὰρ κινηθέντος αὐτοῦ τι γίγνοιτο, τρίτον ἀπ' ἐκείνου τὸ γιγνόμενον μετὰ τὴν κίνησιν αν γίγνοιτο καὶ οὐ δεύτερον. δεῖ οὖν ἀκινήτου ὄντος, εἴ τι δεύτερον μετ' αὐτό, οὐ προσνεύσαντος οὐδὲ βουληθέντος, οὐδὲ ὅλως κινηθέντος ὑποστῆναι αὐτό. — — καὶ πάντα τὰ ὄντα ἕως μένει, ἐκ τῆς αὐτῶν οὐσίας ἀναγκαίαν τὴν περὶ αὑτὰ πρὸς τὸ ἔξω αὐτῶν ἐκ τῆς παρούσης δυνάμεως δίδωσιν αὐτῶν ἐξηρτημένην ὑπόστασιν εἰκόνα οὖσαν οἷον ἀρχετύπων ὧν ἐξέφυ· πῦρ μὲν τὴν παρ' αὐτοῦ θερμότητα καὶ χιὼν οὐκ εἴσω μόνον τὸ ψυχρὸν κατέχει. μάλιστα δὲ ὅσα εὐώδη μαρτυρεῖ τοῦτο. ἕως γάρ ἐστι, πρόεισί τι ἐξ αὐτῶν περὶ αὐτά, ὧν ἀπολαύει ὑποστάντων ὅ τι πλησίον· καὶ πάντα δὲ ὅσα ἤδη τέλεια γεννᾷ.* — **c)** De materia intelligibili, quam ponit in intelligentia, v. Enn. II, 4, 4. *Εἰ οὖν πολλὰ τὰ εἴδη, κοινὸν μέν τι ἐν αὐτοῖς ἀνάγκη εἶναι· καὶ δὴ καὶ ἴδιον, ᾧ διαφέρει ἄλλο ἄλλου. τοῦτο δὴ τὸ ἴδιον καὶ ἡ διαφορὰ ἡ χωρίζουσα ἡ οἰκεία ἐστὶ μορφή· εἰ δὲ μορφή, ἔστι καὶ τὸ μορφούμενον, περὶ ὃ ἡ διαφορὰ ἔστιν ἆρα καὶ ὕλη ἡ τὴν μορφὴν δεχομένη, καὶ ἀεὶ τὸ ὑποκείμενον. ἔτι εἰ κόσμος νοητός ἐστιν ἐκεῖ, μίμημα δὲ οὗτος ἐκείνου, οὗτος δὲ σύνθετος καὶ ἐξ ὕλης, κἀκεῖ δεῖ ὕλην εἶναι.*

512 Enn. V, 1, 4. *Ἴδοι δ' ἄν τις καὶ ἐκ τῶνδε, κόσμον αἰσθητὸν τόνδε εἴ τις θαυμάζει εἴς τε τὸ μέγεθος καὶ τὸ κάλλος καὶ τὴν τάξιν τῆς φορᾶς τῆς ἀϊδίου ἀποβλέπων καὶ θεοὺς τοὺς ἐν αὐτῷ, τοὺς μὲν ὁρωμένους τοὺς δὲ καὶ ἀφανεῖς ὄντας, καὶ δαίμονας καὶ ζῷα φυτά τε πάντα, ἐπὶ τὸ ἀρχέτυπον αὐτοῦ καὶ τὸ ἀληθινώτερον ἀναβὰς κἀκεῖ πάντα ἰδέτω νοητὰ καὶ παρ' αὐτῷ ἀΐδια, ἐν οἰκείᾳ συνέσει καὶ ζωῇ, καὶ τούτων τὸν ἀκήρατον νοῦν προστάτην καὶ σοφίαν ἀμίχανον καὶ τὸν ὡς ἀληθῶς ἐπὶ*

Κρόνου βίον, θεοῦ κόρου*) καὶ νοῦ ὄντος· πάντα γὰρ ἐν αὐτῷ τὰ ἀθάνατα περιέχει, νοῦν πάντα, θεὸν πάντα, ψυχὴν πᾶσαν, ἑστῶτα ἀεί. τί γὰρ ζητεῖ μεταβάλλειν εὖ ἔχων; ποῦ δὲ μετελθεῖν πάντα παρ' αὐτῷ ἔχων; ἀλλ' οὐδὲ αὔξην**) ζητεῖ τελειότατος ὤν. διὸ καὶ τὰ παρ' αὐτῷ πάντα τέλεια, ἵνα πάντη ᾖ τέλειος, οὐδὲν ἔχων ὅ τι μὴ τοιοῦτον, οὐδὲν ἔχων ἐν αὐτῷ ὃ μὴ νοεῖ· νοεῖ δὲ οὐ ζητῶν, ἀλλ' ἔχων[a], καὶ τὸ μακάριον αὐτῷ οὐκ ἐπίκτητον, ἀλλ' ἐν αἰῶνι πάντα καὶ ὁ ὄντως αἰών, ὃν μιμεῖται χρόνος περιθέων ψυχήν, τὰ μὲν παριεὶς τοῖς δὲ ἐπιβάλλων. καὶ γὰρ ἄλλα καὶ ἄλλα αὖ περὶ ψυχήν, ποτὲ μὲν Σωκράτης ποτὲ δὲ ἵππος. ἕν τι ἀεὶ τῶν ὄντων, ὁ δὲ νοῦς πάντα· ἔχει οὖν ἐν τῷ αὐτῷ πάντα ἑστῶτα ἐν τῷ αὐτῷ, καὶ ἔστι μόνον καὶ τὸ ἔστιν ἀεί, καὶ οὐδαμοῦ τὸ μέλλον (ἔστι γὰρ καὶ τότε) οὐδὲ τὸ παρελήλυθός· οὐ γάρ τι ἐκεῖ παρελήλυθεν, ἀλλ' ἐνέστηκεν ἀεὶ ἅτε τὰ αὐτὰ ὄντα, οἷον ἀγαπῶντα ἑαυτὰ οὕτως ἔχοντα· ἕκαστον δὲ αὐτῶν νοῦς καὶ ὃν ἐστι, καὶ τὸ σύμπαν πᾶς νοῦς καὶ πᾶν ὄν, ὁ μὲν νοῦς κατὰ τὸ νοεῖν ὑφιστὰς τὸ ὄν, τὸ δὲ ὂν τῷ νοεῖσθαι τῷ νῷ διδὸν τὸ νοεῖν καὶ τὸ εἶναι· τοῦ δὲ νοεῖν αἴτιον ἄλλο, ὃ καὶ τῷ ὄντι. ἀμφοτέρων οὖν ἅμα αἴτιον ἄλλο· ἅμα***) μὲν γὰρ ἐκεῖνα καὶ συνυπάρχει καὶ οὐκ ἀπολείπει ἄλληλα. ἀλλὰ δύο ὄντα, τοῦτο τὸ ἓν ὁμοῦ νοῦς καὶ ὂν καὶ νοοῦν καὶ νοούμενον· ὁ μὲν νοῦς κατὰ τὸ νοεῖν, τὸ δὲ ὂν κατὰ τὸ νοούμενον[b]· οὐ γὰρ ἂν γένοιτο τὸ νοεῖν ἑτερότητος μὴ οὔσης καὶ ταυτότητος δέ. γίγνεται οὖν τὰ πρῶτα νοῦς, ὄν, ἑτερότης, ταυτότης. δεῖ δὲ καὶ κίνησιν λαβεῖν καὶ στάσιν[c]· καὶ κίνησιν μέν, εἰ νοεῖ, στάσιν δέ, ἵνα τὸ αὐτό, τὴν δὲ ἑτερότητα, ἵν' ᾖ νοοῦν καὶ νοούμενον, ἢ ἐὰν ἀφέλῃς τὴν ἑτερότητα, ἓν γενόμενον σιωπήσεται. δεῖ δὲ καὶ τοῖς νοηθεῖσιν ἑτέροις πρὸς ἄλληλα εἶναι· ταὐτὸν δέ, ἐπεὶ ἓν ἑαυτῷ καὶ κοινόν δέ τι ἓν πᾶσι, καὶ ἡ διαφορὰ ἑτερότης. ταῦτα δὲ πλείω γενόμενα ἀριθμὸν καὶ τὸ ποσὸν ποιεῖ· καὶ τὸ ποιὸν δὲ ἕ ἑκάστου τούτων ἰδιότης, ἐξ ὧν ὡς ἀρχῶν τἆλλα.

a) Inquirere, ζητεῖν, imperfectae mentis est; non igitur intellectui hoc attribuendum. Anima habet nonnisi νοῦν λογιζόμενον. Enn. V, 1, 10. νοῦς δὲ ὁ μὲν λογιζόμενος ὁ δὲ λογίζεσθαι παρέχων· τὸ δὴ λογιζόμενον τοῦτο τῆς ψυχῆς. Ib. 11. καὶ εἰ ὁτὲ μὲν λογίζεται περὶ τούτων ψυχὴ

*) Ed. B. Κρόνου. Corr. Creuz. Cf. Plat. Cratyl. p. 896. B. ibique Heind. et Stallbaum. — **) Ita Cr. ex Cyrill. l. l. Ed. B. αὖξειν. — ***) Cr. ex codd. optt. Ed. B. ἃ μὲν γάρ.

ὁτὲ δὲ μή, δεῖ τὸν μὴ*) λογιζόμενον, ἀλλ' ἀεὶ ἔχοντα τὸ δίκαιον νοῦν ἐν ἡμῖν εἶναι. Omnis λογισμὸς inferioris gradus est. Enn. IV, 3, 18. ἐλάττωσις γὰρ νοῦ εἰς αὐτάρκειαν τὸ λογισμοῦ δεῖσθαι, ὥσπερ καὶ ἐν ταῖς τέχναις ὁ λογισμὸς ἀποροῦσι τοῖς τεχνίταις. Neque in mundo intelligibili τὸ λογίζεσθαι reperitur, neque homo vere intelligibilis λογικὸς est. Enn. VI, 7, 9. Inde contemtus ille, quem prae se fert, mentis atque cogitationis, eius maxime cogitationis, quae proficiscitur a sensuum affectionibus. Verum intellectum dicit neque perceptionis neque collectionis ope ad cognoscendum pervenire. Enn. V, 5, 1. δεῖ ἄρα αὐτὸν (sc. τὸν ἀληθῆ νοῦν) ἀεὶ εἰδέναι. — — τὴν δὲ εἴδησιν αὐτῷ μήτε εἰκάζοντι εἶναι μήτε ἀμφίβολον, μηδ' αὖ παρ' ἄλλου οἷον ἀκούσαντι· οὐ τοίνυν οὐδὲ δι' ἀποδείξεως. Cum sensibus hic intellectus nil commune habet; nihil contemplatur praeter se ipsum. Enn. V, 3, 4; 9, 7. — **b)** Ὄν et νοῦς ita solent a Plotino coniungi, ut una esse atque una exstitisse ponantur, idque propterea quod verum ὄν nihil esse possit nisi τὸ νοητόν. Enn. V, 4, 2. Ἔστι μὲν οὖν καὶ αὐτὸς (sc. ὁ νοῦς) νοητόν, ἀλλὰ καὶ νοῶν. — — νοῦς δὴ καὶ ὂν ταὐτόν· οὐ γὰρ τῶν πραγμάτων ὁ νοῦς, ὥσπερ ἡ αἴσθησις τῶν αἰσθητῶν προόντων, ἀλλ' αὐτὸς νοῦς τὰ πράγματα. Ib. 1, 10. ἔστι δὲ ἐφεξῆς (post supremum principium) τὸ ὂν καὶ νοῦς. — Τὸ ὂν appellatur etiam οὐσία. Enn. I, 7, 1; 8, 1. νοῦν καὶ οὐσίαν, ubi dicitur principium secundum, id quod primum exstitit ex principio primo i. e. ex Uno. — **c)** Hoc referendum ad quatuor categorias quae recentioribus vocantur Platonis cf. supra, n. 254 not. Praeter eas utitur etiam categoriis Aristotelicis, sed immutatis et cum Platonicis consociatis, v. Trendelenburg *Gesch. d. Kateg. L.* p. 232 sqq.; Kirchner l. c. p. 86 sqq. Dialecticam fere eodem sensu appellat quo Plato, logicam quo Peripatetici inferiores, v. Enn. I, 3, 4—6, ubi inter alia: αὕτη (sc. ἡ διαλεκτικὴ) καὶ περὶ ἀγαθοῦ διαλέγεται καὶ περὶ μὴ ἀγαθοῦ, καὶ ὅσα ὑπὸ τὸ ἀγαθὸν καὶ ὅσα ὑπὸ τὸ ἐναντίον, καὶ τί τὸ αἴδιον δῆλον ὅτι καὶ τὸ μὴ τοιοῦτον, ἐπιστήμη περὶ πάντων, οὐ δόξη· παύσασα δὲ τῆς περὶ τὸ αἰσθητὸν πλάνης ἐνιδρύει τῷ νοητῷ κἀκεῖ τὴν πραγματείαν ἔχει τὸ ψεῦδος ἀφεῖσα, — τῇ διαιρέσει τῇ Πλάτωνος χρωμένη μὲν καὶ εἰς διάκρισιν τῶν εἰδῶν, χρωμένη δὲ καὶ εἰς τί ἐστι, χρωμένη δὲ καὶ ἐπὶ τὰ πρῶτα γένη, καὶ τὰ ἐκ τούτων νοερῶς πλέκουσα ἕως ἂν διέλθῃ πᾶν τὸ νοητόν, καὶ ἀνάπαλιν ἀναλύουσα εἰς ὃ ἂν ἐπ' ἀρχὴν ἔλθῃ· τότε δὲ ἡσυχίαν ἄγουσα — εἰς ἓν γενομένη βλέπει τὴν λεγομένην λογικὴν πραγματείαν περὶ προτάσεων καὶ συλλογισμῶν· ὥσπερ ἂν τὸ εἰδέναι γράφειν ἄλλη τέχνη δοῦσα, ὧν τινα ἀναγκαῖα καὶ πρὸ τέχνης ἡγουμένη.

Νοῦς cum idem sit atque νόησις et idem atque ὄν, sequitur ut et motus et quies ei attribuenda sit. Nam νόησις ἡ πρώτη ζωή, Enn. III, 8, 7. ζωὴ vero idem est atque ἐνέργεια, I, 8, 2; III, 6, 6. Cf. VI, 2, 7. 8. ἐν μὲν οὖν τῷ νοεῖν ἡ ἐνέργεια καὶ ἡ κίνησις, ἐν δὲ τῷ ἑαυτὸν ἡ οὐσία καὶ τὸ ὄν· ὢν γὰρ νοεῖ καὶ ὄντα ἑαυτόν, — ὂν δὲ τὸ πάντων ἑδραιότατον καὶ περὶ ὃ τὰ ἄλλα τὴν στάσιν ὑπεστήσατο. Plerumque tamen animae

*) Cr. δεῖ μὴ τὸν λ. ex uno cod.

motus, intellectui quies tribuitur: unde maxime cernitur quid inter utrumque, animam et intellectum, intersit, v. Enn. II, 9, 1. *ἔστι γάρ, ὡς ἔστι, νοῦς ἀεὶ ὡσαύτως ἐνεργείᾳ κείμενος ἑστώσῃ· κίνησις δὲ πρὸς αὐτὸν καὶ περὶ αὐτὸν ψυχῆς ἤδη ἔργον.* Enn. IV, 4, 19. *εἰ δὲ τἀγαθόν τις κατὰ κέντρον τάξειε, τὸν νοῦν κατὰ κύκλον ἀκίνητον, ψυχὴν δὲ κατὰ κύκλον κινούμενον ἂν τάξειε, κινούμενον δὲ τῇ ἐφέσει· νοῦς γὰρ εὐθὺς καὶ ἔχει καὶ περιείληφεν, ἡ δὲ ψυχὴ τοῦ ἐπέκεινα ὄντος ἐφίεται.* Intellectus enim semper in se ipso requiescit, neque aliud quidquam contemplatur, neque aliorsum convertitur moveturve; neque propterea est *πρακτικός*. Enn. V, 3, 6. *οὐ γὰρ δὴ πρακτικός τε οὗτος* (sc. *νοῦς*), *ὡς πρὸς τὸ ἔξω βλέποντι τῷ πρακτικῷ καὶ μὴ ἐν αὐτῷ μένοντι εἴη ἂν τῶν μὲν ἔξω τις γνῶσις.* Anima vero per se sine intellectu est; hic in illam sese insinuat, si anima se ad eum convertit. Enn. V, 6, 4. *ψυχὴ μὲν γὰρ ἐπακτὸν νοῦν ἔχει. — — νοῦς δ' ἐν αὑτῷ οἰκεῖον ἔχει.* Anima igitur etiam externum quid operatur et practica est, dum condit mundum. Enn. IV, 8, 3. *ψυχῆς δὲ ἔργον τῆς λογικωτέρας νοεῖν μέν, οὐ τὸ νοεῖν δὲ μόνον· τί γὰρ ἂν καὶ νοῦ διαφέροι; προσλαβοῦσα γὰρ τῷ νοερὰ εἶναι καὶ ἄλλο, καθὸ τὴν οἰκείαν ἔσχεν ὑπόστασιν, νοῦς οὐκ ἔμεινεν· ἔχει τε ἔργον καὶ αὐτή. εἴπερ πᾶν ὅ ἂν ᾖ τῶν νοητῶν. βλέπουσα δὲ πρὸς μὲν τὸ πρὸ ἑαυτῆς νοεῖ, εἰς δὲ ἑαυτὴν σώζει ἑαυτήν, εἰς δὲ τὸ μετ' αὐτὴν ὃ κοσμεῖ τε καὶ διοικεῖ ἄρχει αὐτοῦ.* Quamquam si altius in rem inquiras, omnem actionem inservire cognitioni et contemplationi reperies. Enn. III, 8, 5. *ἡ ἄρα πρᾶξις ἕνεκα θεωρίας καὶ θεωρήματος, ὥστε καὶ τοῖς πράττουσιν ἡ θεωρία τέλος· καὶ οἷον ἐξ εὐθείας ὃ μὴ ἠδυνήθησαν λαβεῖν, τοῦτο περιπλανώμενοι ἑλεῖν ζητοῦσι. καὶ γὰρ αὖ ὅταν τύχωσιν οὗ βούλονται, ὃ γενέσθαι ἠθέλησαν, οὐχ ἵνα μὴ γνῶσιν, ἀλλ' ἵνα γνῶσι καὶ παρὸν ἴδωσιν ἐν ψυχῇ, δῆλον ὅτι κείμενον θεατόν, ἐπεὶ καὶ ἀγαθοῦ χάριν πράττουσι· τοῦτο δὲ οὐχ ἵνα ἔξω αὐτῶν, οὐδ' ἵνα μὴ ἔχωσιν, ἀλλ' ἵνα ἔχωσι τὸ ἐκ τῆς πράξεως ἀγαθόν. τοῦτο δὲ ποῦ; ἐν ψυχῇ. ἀνέκαμψεν οὖν πάλιν ἡ πρᾶξις εἰς θεωρίαν. ὃ γὰρ ἐν ψυχῇ λαμβάνει λόγῳ οὖσῃ, τί ἂν ἄλλο ἢ λόγος σιωπῶν εἴη;* Neque ipsa conformatio mundi, quae fit per animam, aliud est quam theorema. Ib. 4. *ἀλλὰ περὶ μὲν φύσεως εἰπόντες, ὃν τρόπον θεωρία ἡ γένεσις* (suppl. *αὐτῆς ἐστί*), *ἐπὶ τὴν ψυχὴν τὴν πρὸ ταύτης ἐλθόντες λέγομεν, ὡς ἡ ταύτης θεωρία καὶ τὸ φιλομαθὲς καὶ τὸ ζητητικὸν καὶ ἡ ἐξ ὧν ἐγνώκει ὠδὶς καὶ τὸ πλῆρες πεποίηκεν αὐτήν, θεώρημα πᾶν γενομένην, ἄλλο θεώρημα ποιῆσαι*: sed *θεώρημα ἀσθενέστερον*, quod explicatur in subsequentibus.

Enn. V, 1, 5. *Πολὺς οὖν οὗτος ὁ Θεὸς*[a] *ἐπὶ τῇ ψυχῇ τῇδε ὑπάρχει. — — τίς οὖν ὁ τοῦτον γεννήσας; ὁ ἁπλοῦς καὶ ὁ πρὸ τοιούτου πλήθους, ὁ αἴτιος τοῦ καὶ εἶναι καὶ πολὺν εἶναι τοῦτον, ὁ τὸν ἀριθμὸν ποιῶν· ὁ γὰρ ἀριθμὸς οὐ πρῶτος, καὶ γὰρ πρὸ δυάδος τὸ ἕν*[b], *δεύτερον δὲ δυάς· καὶ παρὰ τοῦ ἑνὸς γεγενημένη ἐκεῖνο ὁριστὴν ἔχει, αὐτὴ δὲ ἀόριστον παρ' αὐτῆς. ὅταν δὲ ὁρισθῇ, ἀριθμὸς ἤδη.* 513

a) Sc. ὁ νοῦς. — **b)** Praecipuum argumentum, quo demonstratur necesse esse ut superius aliquod principium, quod supra intellectum sit, statuatur, scilicet Unum, in eo positum est quod nostro loco attingitur, intellectum per se multitudinem esse, quippe quo contineatur contrarium intellectus et entis, praeterque id etiam multitudo idearum; multitudinem vero esse Unius quo comprehendatur indigentem, cf. Enn. III, 8. 8. (ὁ νοῦς) *μὲν τοιοῦτος, διὸ οὐ πρῶτος· ἀλλὰ δεῖ εἶναι τὸ ἐπέκεινα αὐτοῦ —, ὅτι μὲν πλῆθος ἑνὸς ὕστερον, καὶ ἀριθμὸς δὲ οὗτος, ἀριθμοῦ δὲ ἀρχὴ καὶ τοῦ τοιούτου τὸ οὕτως ἕν, καὶ οὗτος νοῦς καὶ νοητὸν ἅμα, ὥστε δύο ἅμα· εἰ δὲ δύο, δεῖ τὰ πρὸ τοῦ δύο λαβεῖν.* Unde sequitur ut Uni nihil quod ab ipso diversum esse videatur attribuendum sit, quandoquidem, si tale quid esset, ipsum Unum multitudo esse deprehenderetur. Enn. V, 4, 1. *δεῖ μὲν γάρ τι πρὸ πάντων εἶναι ἁπλοῦν τοῦτο καὶ πάντων ἕτερον τῶν μετ' αὐτό, ἐφ' ἑαυτοῦ ὄν, οὐ μεμιγμένον τοῖς ἀπ' αὐτοῦ — —, ὃν ὄντως ἕν, οὐχ ἕτερον ὄν, εἶτα ἕν· καθ' οὗ ψεῦδος καὶ τὸ ἓν εἶναι, οὗ μὴ λόγος μηδὲ ἐπιστήμη. — — αὐταρκέστατόν τε τῷ ἁπλοῦν εἶναι καὶ πρῶτον ἁπάντων. τὸ γὰρ μὴ πρῶτον ἐνδεὲς τοῦ πρὸ αὐτοῦ, τό τε μὴ ἁπλοῦν τῶν ἐν αὐτῷ ἁπλῶν δεόμενον, ἵν' ᾖ ἐξ ἐκείνων.* VI, 9, 6. *ὅταν γὰρ ἂν αὐτὸν* (sc. primum principium) *νοήσῃς οἷον νοῦν ἢ θεόν, πλέον ἐστί. — πᾶν δὲ πολὺ καὶ μὴ ἓν ἐνδεές, μὴ ἓν ἐκ πολλῶν γενομένων.* Aliud argumentum ex eo petitur quod omnia necesse sit esse per unum, siquidem omnino non essent, si Unum non esset. Enn. VI, 9, 1. *Πάντα τὰ ὄντα τῷ ἑνί ἐστιν ὄντα, ὅσα τε πρώτως ἐστὶν ὄντα καὶ ὅσα ὁπωσοῦν λέγεται ἐν τοῖς οὖσιν εἶναι. τί γὰρ ἂν καὶ εἴη, εἰ μὴ ἓν εἴη; ἐπείπερ ἀφαιρεθέντα τοῦ ἑνός, ὃ λέγεται, οὐκ ἔστιν ἐκεῖνα.* Quamquam ipsi Uni quodam modo multitudo attribuenda est, eo videlicet nomine, quod principium quodque habet *δύναμιν ἄπειρον.* Enn. III, 7, 4. *εἰ δ' ἐκ πολλῶν λέγομεν αὐτὸν* (sc. *τὸν θεόν*), *οὐ δεῖ θαυμάζειν, πολλὰ γὰρ ἕκαστον τῶν ἐκεῖ* (sc. in rebus intelligibilibus) *διὰ δύναμιν ἄπειρον.* VI, 9, 6. *Ληπτέον δὲ καὶ ἄπειρον αὐτὸν* (primum principium) *οὐ τῷ ἀδιεξιτήτῳ ἢ τοῦ μεγέθους ἢ τοῦ ἀριθμοῦ, ἀλλὰ τῷ ἀπεριλήπτῳ τῆς δυνάμεως.* Cf. n. 515 not.

514 Enn. VI, 9, 3. *Γεννητικὴ γὰρ ἡ τοῦ ἑνὸς φύσις οὖσα τῶν πάντων οὐδέν ἐστιν αὐτῶν· οὔτε οὖν τι, οὔτε ποιόν, οὔτε ποσόν, οὔτε νοῦν, οὔτε ψυχήν, οὐδὲ κινούμενον, οὐδ' αὖ ἑστώς, οὐκ ἐν τόπῳ, οὐκ ἐν χρόνῳ, ἀλλὰ τὸ καθ' αὑτὸ μονοειδές, μᾶλλον δὲ ἀνείδεον, πρὸ εἴδους ὂν παντός, πρὸ κινήσεως, πρὸ στάσεως. ταῦτα γὰρ περὶ τὸ ὄν, ἃ πολλὰ αὐτὸ ποιεῖ.*

Unum convenit non posse nisi negationibus terminari, Enn. VI, 8, 11. *πῶς φθεγξόμεθα τοῦτο, ὅτι καὶ τὰ ἄλλα ἐν ἀφαιρέσει πάντα τὰ περὶ τούτου λεγόμενα;* Negatur quidquam ei attribui posse; non possumus alia via ad illud penetrare quam connivendo (*μύοντες*) h. e. mystica contemplatione, sensibus occlusis. I, 6, 8. *Ἀλλὰ ταῦτα πάντα* (sensuum apprehensiones) *ἀφεῖναι δεῖ καὶ μὴ βλέπειν, ἀλλ' οἷον μύσαντα ὄψιν ἄλλην*

ἀλλάξασθαι καὶ ἀνεγείραι, ἣν ἔχει μὲν πᾶς, χρῶνται δὲ ὀλίγοι. Unum est sine cogitatione, verum etiam sine ignoratione cuiusquam. VI, 9, 6. οὐ τοίνυν ὅτι μὴ γιγνώσκει οὐδὲ νοεῖ ἑαυτόν, ἄγνοια περὶ αὐτὸν ἔσται. ἡ γὰρ ἄγνοια ἑτέρου ὄντος γίγνεται, ὅταν θάτερον ἀγνοῇ θάτερον. τὸ δὲ μόνον οὔτε τι γιγνώσκει οὔτε τι ἔχει ὃ ἀγνοεῖ, ἓν δὲ ὂν συνὸν αὐτῷ οὐ δεῖται νοήσεως ἑαυτοῦ, ἐπεὶ οὐδὲ τὸ συνεῖναι δεῖ προσάπτειν, ἵνα τηρῇς τὸ ἕν, ἀλλὰ καὶ τὸ νοεῖν καὶ τὸ συνεῖναι*) ἀφαιρεῖν καὶ ἑαυτοῦ νόησιν καὶ τῶν ἄλλων. Unde sequitur ut Unum non sit per se νοητόν, sed quatenus refertur ad νοῦν. V, 6, 2. πρὸς μὲν τὸν νοῦν νοητὸν ἔσται, καθ' ἑαυτὸ δὲ οὔτε νοοῦν οὔτε νοητὸν κυρίως ἔσται. Neque voluntatem habet Unum; quod si solet a Plotino ad modum Platonis Bonum appellari, etiam hoc τροπικώτερον accipiendum. VI, 9, 6. ὥστε τῷ ἐνὶ οὐδὲν ἀγαθόν ἐστιν, οὐδὲ βούλησις τοίνυν οὐδενός, ἀλλ' ἔστιν ὑπεράγαθον καὶ αὐτὸ οὐχ ἑαυτῷ, τοῖς δ' ἄλλοις ἀγαθόν, εἴ τι αὐτοῦ δύναται μεταλαμβάνειν. VI, 7, 38. λέγομεν δὲ τὸ ἀγαθὸν περὶ αὐτοῦ λέγοντες, οὐκ αὐτό. Neque, si ἀρχὴ et αἴτιον appellatur, his nominibus ipsum Unum consignatur, sed ratio Unius ad aliud. VI, 8, 8. πάντα γὰρ ἐκείνου καὶ τὰ καλὰ καὶ τὰ σεμνὰ ὕστερα· τούτων γὰρ αὐτὸς ἀρχή, καίτοι ἄλλον τρόπον οὐκ ἀρχή. Ib. 9, 3. ἐπεὶ καὶ τὸ αἴτιον λέγειν οὐ κατηγορεῖν ἐστὶ συμβεβηκός τι αὐτῷ, ἀλλ' ἡμῖν, ὅτι ἔχομεν τι παρ' αὐτοῦ, ἐκείνου ὄντος ἐν αὐτῷ. Ipsum Unius nomen parum ad essentiam eius exprimendam accommodatum esse dicit, neque omnino quoquam modo exprimi posse, neque ullam eius scientiam esse. Ib. 9, 5. τὸ ἕν, ᾧ**) ὄνομα μὲν κατ' ἀλήθειαν οὐδὲν προσῆκον· εἴπερ δὲ δεῖ ὀνομάσαι, κοινῶς ἂν λεχθείη προσηκόντως***) δ' ἕν, οὐχ ὡς ἄλλο εἶτα ἕν. Cf. Enn. V, 3, 13. διὸ καὶ ἄρρητον τῇ ἀληθείᾳ· ὅ τι γὰρ ἂν εἴπῃς, τὶ ἐρεῖς. ἀλλὰ τὸ ἐπέκεινα πάντων καὶ ἐπέκεινα τοῦ σεμνοτάτου νοῦ, ἐν τοῖς πᾶσι μόνον ἀληθὲς οὐκ ὄνομα ὂν αὐτοῦ ἄλλο τι, οὔτε τι τῶν πάντων· οὔτε ὄνομα αὐτοῦ, ὅτι μηδὲν κατ' αὐτοῦ· ἀλλ', ὡς ἐνδέχεται, ἡμῖν αὐτοῖς σημαίνειν ἐπιχειροῦμεν περὶ αὐτοῦ. VI, 8, 8. οὐδὲν ἂν εὕροιμεν εἰπεῖν οὐχ ὅτι κατ' αὐτοῦ, ἀλλ' οὐδὲ περὶ αὐτοῦ κυρίως.

Enn. II, 9, 1. Εἰ οὖν (sc. τὸ ἕν) μηδὲ παρ' ἄλλου μηδὲ 515
ἐν ἄλλῳ μηδὲ σύνθεσις μηδεμία, ἀνάγκη μηδὲν ὑπὲρ αὐτὸ εἶναι. οὐ τοίνυν δεῖ ἐφ' ἑτέρας ἀρχὰς ἰέναι, ἀλλὰ τοῦτο προστησαμένους, εἶτα νοῦν μετ' αὐτὸ καὶ τὸ νοοῦν πρώτως, εἶτα ψυχὴν μετὰ νοῦν· αὕτη γὰρ τάξις κατὰ φύσιν. μήτε πλείω τούτων τίθεσθαι ἐν τῷ νοητῷ μήτε ἐλάττω· εἴτε γὰρ ἐλάττω, ἢ ψυχὴν καὶ νοῦν ταὐτὸ φήσουσιν, ἢ νοῦν καὶ τὸ πρῶτον· ἀλλ' ὅτι ἕτερα ἀλλήλων ἐδείχθη πολλαχῆ. λοιπὸν δὲ ἐπισκέψασθαι ἐν τῷ παρόντι, εἰ πλείω

*) Ed. Bas. et Creuz. συνιέναι. Nos συνεῖναι ex coni. propter antecedens. — **) Ed. Bas. et Creuz. ex codd. ὧν. Alii codd. ᾧ. — ***) Cr. ex codd. Ed. B. προσήκοντος. Idem retinuit λεχθέν. quod est in ed. B.

τῶν τριῶν τούτων, τίνες ἂν οὖν εἶεν φύσεις παρ᾽
γὰρ λεχθείσης οὕτως ἔχειν ἀρχῆς τῆς πάντων
ἁπλουστέραν, οὐδὲ ἐπαναβεβηκυῖαν ἡντιναοῦ
τὸν μέν τινα νοῦν ἐν ἡσυχίᾳ τινί, τὸν δὲ ο
οὐ μὴν οὐδὲ διὰ τοῦτο πλείους νοῦς ποι
νοεῖ ὅ τι νοεῖ καὶ γὰρ εἰ ἄλλο τὸ ἐν τ
νοεῖν ὅ τι νοεῖ, ἀλλ᾽ οὖν μία προσβ
ἐνεργημάτων ἑαυτῆς. γελοῖον γὰρ ἐ
ὑπολαμβάνειν, ἀλλὰ πάντως γε ὁ
ὅ τι νοεῖ. — — τὸν δὲ λόγον,
εἶτα ἀπὸ τούτου γίγνεσθαι ἐν
ἵνα μεταξὺ ψυχῆς καὶ νοῦ
νοεῖν[a]. 2. οὐ τοίνυν οὔτε
ἐν ἐκείνοις, ἃς οὐ δέχον
ὡσαύτως ἔχοντα, ἀκλιν
ὅσον οἷόν τε αὐτῷ[b].

naturam et
γέννημα ψυχῆς
ram cum Venere coe-
III, 5, 2. A posteriore
latio transit in actionem,
et naturam in plantis ab
V, 2, 1. προελθοῦσα δὲ
ν αὐτῆς, αἴσθησιν καὶ φύσιν
animas ex una anima mundi

a) Hoc eo pertinet qu… multitudo in anima mundi, Enn. III, 2, 2. τὸ γὰρ … sequitur, v. n. 326. — c) Similiter ψυχὴ τὰ τῶν ὄντων εἴδ… κατελθεῖν τὸ ἐν σώματι γενέσθαι. Quibus si anima ponitu… τοῦτῳ δοῦναί τι παρ᾽ αὐτῆς. est exputare causam, … sensibilium ingressa dilabitur ac Sed vides eum non … in mundum ingrediatur et deo- iis qui multiplicab… deterior, II, 9, 2. τὸ χεῖρον αὐτῆς versus quos disput… ἡ θέμις καθελκύσαι. Cum intellectus eum … quoniam quicquid in agendo ver- (n. 512, not. b) … est, VI, 8, 2. ἐπεὶ καὶ τὸ ἐν πράξει ideae, quas … καὶ οὐ καθαρὸν δύναται τὸ ἐφ᾽ potestates in… ἑκάστη ἰδέ… ἕκαστον δ… IV, 8, 3. … ἐξ ἀνάγκης, εἰ τὸ ἀγαθόν, δὲ καὶ … ἐν τῷ παντὶ δεῖ τὴν ὕλην ἕκαστα … τοῦδε τοῦ παντός· ἢ οὐδ᾽ ἂν εἴη sit ma… ἢ τοῦδε τοῦ κόσμου φύσις existur… — εἰ δὴ οὕτως, ὀρθῶς ἂν λέγοιτο reve… — — ἔστι δὲ τοῦ κακοῦ λαβεῖν ἀπά… ἔστι … μόνον τὸ ἀγαθόν, ἀνάγκη τῇ καὶ … ἢ εἰ οὕτω τις ἐθέλει λέγειν, V, …

… (qui est optimi generis) et ed. … uncinis includitur.

ἀποστάσει τὸ ἔσχατον, καὶ μεθ᾽ ὃ οὐκ ἦν
ο εἶναι τὸ κακόν. ἐξ ἀνάγκης δὲ εἶναι
τὸ ἔσχατον. τοῦτο δὲ ἡ ὕλη, μηδὲν
νάγκη τοῦ κακοῦ.

in n. 271.
quam Plato exprimit. Est
veri ac boni habet. In-
ον τοῦ ὄντος, quam-
ar. Enn. I, 8, 3. μὴ
ον τοῦ ὄντος. οὐχ οὕτω
ον, ἀλλ᾽ ὡς εἰκὼν τοῦ ὄντος
ν ἔλλειπον ὀλίγον τοῦ ἀγαθοῦ οὐ
ὡς πρὸς φύσιν τὴν αὐτοῦ. ἀλλ᾽ ὅταν
ἡ ὕλη, τοῦτο τὸ ὄντως κακόν, μηδεμίαν
περ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ
αὐτῇ τὸ εἶναι, ὡς ἀληθὲς εἶναι λέγειν αὐτὴν
τ. οὔτε δύναμις (sc. ἡ ὕλη ἐστίν). — — μὴ ὂν δ᾽
ιο, καὶ οὐχ ὥσπερ κίνησις μὴ ὂν ἢ στάσις μὴ ὄν, ἀλλ
ν. Sequeretur enim ex principiis Plotini ut, in quacunque
liquid sive non ens sive deficiens, ei etiam materiale aliquid
am esset: id quod etiam in animam atque in intellectum cadere
tur, quod tamen nolit concedere Plotinus. Propterea loco laudato
alum negat in defectu ponendum esse; posse etiam quod perfectum sit
defectum aliquem habere.

Enn. IV, 3, 9. Ἐπεὶ οὐκ ἦν ὅτε οὐκ ἐψυχοῦτο**) τόδε 518
τὸ πᾶν, οὐδ᾽ ἐνῆν ὅτε σῶμα ὑφειστήκει ψυχῆς ἀποίσης, οὐδὲ
ὕλη ποτὲ ὅτ᾽ ἀκόσμητος ἦν*) · ἀλλ᾽ ἐπινοῆσαι ταῦτα χωρίζοντας
αὐτὰ ἀπ᾽ ἀλλήλων τῷ λόγῳ οἷόν τε. ἔξεστι γὰρ ἀναλύειν τῷ
λόγῳ καὶ τῇ διανοίᾳ πᾶσαν σύνθεσιν · ἐπεὶ τό γε ἀληθὲς ὧδε
ἔχει. σώματος μὲν μὴ ὄντος οὐδ᾽ ἂν προέλθοι ψυχή, ἐπεὶ οὐδὲ
τόπος ἄλλος ἔστιν ὅπου πέφυκεν εἶναι. προϊέναι δὲ εἰ μέλλοι,
γεννήσει ἑαυτῇ τόπον, ὥστε καὶ σῶμα. τῆς δὴ στάσεως αὐτῆς ἐν
αὐτῇ τῇ στάσει οἱονεὶ ῥωννυμένης οἷον πολὺ φῶς ἐκλάμψαν ἐπ᾽

*) Ed. Bas. ὡς ἀληθῶς εἶναι λέγει αὐτὸ μὴ εἶναι, quod tuetur Creuz.. Desunt haec in codd. Darmst. Marc. B. Nonnulli codd. ἀληθές, alii λέγειν, unde nostrum conflatum. Creuz. ἀλλ᾽ ὁμώνυμον κτλ. interpretatur: „Sed ipsi (in ipsa materia) aequivocum est (verbum) *esse;* ita ut vere dicatur (sc. de materia) esse ipsam non esse“: quod redit eodem, nisi quod extrema vertas: „ut vere dicatur eam (materiam) non *esse*“. —
**) Vulg. et Creuz. ἐψύχωτο.

δευτέρας ἀνάγκη· οὐ γὰρ ἦν τοιοῦτον ἐκεῖνο, οἷον ἐσχατον εἶναι τῶν ὄντων. πρῶτον γὰρ ἦν καὶ πολλὴν δύναμιν ἔχον καὶ πᾶσαν, καὶ ταύτην τοίνυν τὴν τοῦ ποιεῖν ἄλλο ἄνευ τοῦ ζητεῖν ποιῆσαι· ἤδη γὰρ ἄν αὐτόθεν οὐκ εἶχεν, εἰ ἐζήτει. οὐδ' ἂν ἦν ἐκ τῆς αὐτοῦ οὐσίας, ἀλλ' ἦν οἷον τεχνίτης, ἀφ' αὑτοῦ τὸ ποιεῖν οὐκ ἔχων, ἀλλ' ἐπακτὸν ἐκ τοῦ μαθεῖν λαβὼν τοῦτο. νοῦς τοίνυν δούς τι ἑαυτοῦ εἰς ὕλην[c] ἀτρεμὴς καὶ ἥσυχος τὰ πάντα εἰργάζετο· οὗτος δὲ ὁ λόγος ἐκ νοῦ ῥυείς.

a) Ἡ φρόνησις est anima ad intellectum vergens (n. 511; 515 not.) s. anima prior quam dicit, opposita illa quae pertinet ad naturam et corpora, Enn. III, 8, 3. ἡ λεγομένη φύσις ψυχὴ οὖσα γέννημα ψυχῆς προτέρας δυνατώτερον ζώσης κτλ.: quapropter alteram cum Venere coelesti comparat, alteram cum Venere vulgari, III, 5, 2. A posteriore natura efficitur eadem ratione, qua contemplatio transit in actionem, III, 8, 4. Aliis locis sensum in animalibus et naturam in plantis ab anima in motum progressa effectam esse dicit, V, 2, 1. προελθοῦσα δὲ εἰς κίνησιν ἄλλην καὶ ἐναντίαν γεννᾷ εἴδωλον αὐτῆς, αἴσθησιν καὶ φύσιν τὴν ἐν τοῖς φυτοῖς. Minus accurate multas animas ex una anima mundi procedere dicit IV, 9, 4, cum sint potius multitudo in anima mundi, IV, 8, 4. — **b)** In his Aristotelem sequitur, v. n. 326. — **c)** Similiter Enn. VI, 4, 16 de anima: ὥστε τὸ μὲν κατελθεῖν τὸ ἐν σώματι γενέσθαι. ὡς φαμεν ψυχὴν ἐν σώματι γενέσθαι τὸ τούτῳ δοῦναί τι παρ' αὑτῆς. Nam ipsa anima in multitudinem rerum sensibilium ingressa dilabitur ac veluti separatur, v. l. l., ut pars tantum in mundum ingrediatur et deorsum ad materiam detrahatur, h. e. pars deterior, II, 9, 2. τὸ χεῖρον αὐτῆς καθελκυσθέν· — τὸ γὰρ πᾶν αὐτῆς οὐκ ἦν θέμις καθελκύσαι. Cum corpore coniuncta detrahitur libertas, quoniam quicquid in agendo versatur, quamvis ratio superet, mixtum est, VI, 8, 2. ἐπεὶ καὶ τὸ ἐν πράξει πᾶν, κἂν κρατῇ ὁ λόγος, μικτὸν καὶ οὐ καθαρὸν δύναται τὸ ἐφ' ἡμῖν ἔχειν.

517 Enn. I, 8, 7. Ἀλλὰ πῶς οὖν ἐξ ἀνάγκης, εἰ τὸ ἀγαθόν, καὶ τὸ κακόν; ἆρα οὖν οὕτως, ὅτι ἐν τῷ παντὶ δεῖ τὴν ὕλην εἶναι; ἐξ ἐναντίων γὰρ ἐξ ἀνάγκης τόδε τὸ πᾶν· ἢ οὐδ' ἂν εἴη μὴ ὕλης οὔσης. μεμιγμένη γὰρ οὖν δὴ ἡ τοῦδε τοῦ κόσμου φύσις ἔκ τε νοῦ καὶ ἀνάγκης. — — εἰ δὴ οὕτως, ὀρθῶς ἂν λέγοιτο μὴ ἂν ἀπολέσθαι τὰ κακά[a]. — — ἔστι δὲ τοῦ κακοῦ λαβεῖν καὶ οὕτω τὴν ἀνάγκην. ἐπεὶ γὰρ οὐ μόνον τὸ ἀγαθόν, ἀνάγκη τῇ ἐκβάσει, τῇ παρ' αὐτὸ ὑποστάσει*). ἢ εἰ οὕτω τις ἐθέλει λέγειν,

*) ὑποστάσει est in cod. Monac. C. (qui est optimi generis) et ed. Bas., deest in ceteris codd. ideoque ap. Creuz. uncinis includitur.

τῇ ἀεὶ ὑποβάσει καὶ ἀποστάσει τὸ ἔσχατον, καὶ μεθ' ὃ οὐκ ἦν ἔτι γενέσθαι ὁτιοῦν, τοῦτο εἶναι τὸ κακόν. ἐξ ἀνάγκης δὲ εἶναι τὸ μετὰ τὸ πρῶτον, ὥστε καὶ τὸ ἔσχατον. τοῦτο δὲ ἡ ὕλη, μηδὲν ἔτι ἔχουσα αὐτοῦ, καὶ αὕτη ἡ ἀνάγκη τοῦ κακοῦ.

a) Cf. Plat. Theaet. p. 176 A, supra in n. 271.

Materiam nihili esse longe vehementius quam Plato exprimit. Est illa nil nisi terminus veri ac boni, id quod nihil veri ac boni habet. Interdum vero, ut Plato, materiam ponit esse τὸ ἕτερον τοῦ ὄντος, quamquam haec quoque finitio aliquantum ab eo acuitur. Enn. I, 8, 3. μὴ ὂν δὲ οὔ τι τὸ παντελῶς μὴ ὄν, ἀλλ' ἕτερον μόνον τοῦ ὄντος. οὐχ οὕτω δὲ μὴ ὄν, ὡς κίνησις καὶ στάσις ἡ περὶ τὸ ὄν, ἀλλ' ὡς εἰκὼν τοῦ ὄντος ἢ καὶ ἔτι μᾶλλον μὴ ὄν. Ib. 5. τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ οὐ κακόν· δύναται γὰρ καὶ τέλεον εἶναι ὡς πρὸς φύσιν τὴν αὐτοῦ. ἀλλ' ὅταν παντελῶς ἐλλείπῃ, ὅπερ ἐστὶν ἡ ὕλη, τοῦτο τὸ ὄντως κακόν, μηδεμίαν ἔχον ἀγαθοῦ μοῖραν. οὐδὲ γὰρ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ μετεῖχεν, ἀλλ' ὁμώνυμον αὐτῇ τὸ εἶναι, ὡς ἀληθὲς εἶναι λέγειν αὐτὴν μὴ εἶναι*). III, 6, 7. οὔτε δύναμις (sc. ἡ ὕλη ἐστίν). — — μὴ ὂν δ' ἂν εἰκότως λέγοιτο, καὶ οὐχ ὥσπερ κίνησις μὴ ὂν ἢ στάσις μὴ ὄν, ἀλλ ἀληθινῶς μὴ ὄν. Sequeretur enim ex principiis Plotini ut, in quacunque re esset aliquid sive non ens sive deficiens, ei etiam materiale aliquid admixtum esset: id quod etiam in animam atque in intellectum cadere videtur, quod tamen nolit concedere Plotinus. Propterea loco laudato malum negat in defectu ponendum esse; posse etiam quod perfectum sit defectum aliquem habere.

Enn. IV, 3, 9. Ἐπεὶ οὐκ ἦν ὅτε οὐκ ἐψυχοῦτο**) τόδε 518
τὸ πᾶν, οὐδ' ἐνῆν ὅτε σῶμα ὑφειστήκει ψυχῆς ἀποίσης, οὐδὲ ὕλη ποτὲ ὅτ' ἀκόσμητος ἦν[a]· ἀλλ' ἐπινοῆσαι ταῦτα χωρίζοντας αὐτὰ ἀπ' ἀλλήλων τῷ λόγῳ οἷόν τε. ἔξεστι γὰρ ἀναλύειν τῷ λόγῳ καὶ τῇ διανοίᾳ πᾶσαν σύνθεσιν· ἐπεὶ τό γε ἀληθὲς ὧδε ἔχει. σώματος μὲν μὴ ὄντος οὐδ' ἂν προέλθοι ψυχή, ἐπεὶ οὐδὲ τόπος ἄλλος ἔστιν ὅπου πέφυκεν εἶναι. προϊέναι δὲ εἰ μέλλοι, γεννήσει ἑαυτῇ τόπον, ὥστε καὶ σῶμα. τῆς δὴ στάσεως αὐτῆς ἐν αὐτῇ τῇ στάσει οἱονεὶ ῥωννυμένης οἷον πολὺ φῶς ἐκλάμψαν ἐπ'

*) Ed. Bas. ὡς ἀληθῶς εἶναι λέγει αὐτὸ μὴ εἶναι, quod tuetur Creuz.. Desunt haec in codd. Darmst. Marc. B. Nonnulli codd. ἀληθές, alii λέγειν, unde nostrum conflatum. Creuz. ἀλλ' ὁμώνυμον κτλ. interpretatur: „Sed ipsi (in ipsa materia) aequivocum est (verbum) *esse;* ita ut vere dicatur (sc. de materia) esse ipsam non esse": quod redit eodem, nisi quod extrema vertas: „ut vere dicatur eam (materiam) non *esse*". — **) Vulg. et Creuz. ἐψύχωτο.

ἄκροις τοῖς ἐσχάτοις τοῦ πυρὸς σκότος[b] ἐγένετο· ὅπερ ἰδοῦσα ἡ ψυχή, ἐπείπερ ὑπέστη, ἐμόρφωσεν αὐτό. οὐ γὰρ ἦν θεμιτὸν γειτονοῦντι αὐτῇ λόγου ἄμοιρον εἶναι, οἷον ἐδέχετο τὸ λεγόμενον ἀμυδρὸν ἐν ἀμυδρῷ, τῷ γενομένῳ[c]. γενόμενος δὴ οἷον οἰκός τις καλὸς καὶ ποικίλος οὐκ ἀπετμήθη τοῦ πεποιηκότος, οὐδ' αὖ ἐκοίνωσεν αὐτὸν αὐτῇ, ἀλλὰ πανταχοῦ πᾶς ἄξιος ἐπιμελείας νομισθείς, ὠφελίμου μὲν ἑαυτῷ τῷ εἶναι καὶ τῷ καλῷ, ὅσον δὴ τοῦ εἶναι δυνατὸν ἦν αὐτῷ μεταλαμβάνειν, ἀβλαβοῦς δὲ τῷ ἐφεστηκότι (ἄνω γὰρ μένων ἐπιστατεῖ)[d], ἔμψυχος τῷ τοιούτῳ τρόπῳ ἔχων ψυχὴν οὐχ αὑτοῦ ἀλλ' αὐτῷ, κρατούμενος οὐ κρατῶν, καὶ ἐχόμενος ἀλλ' οὐκ ἔχων. κεῖται γὰρ ἐν τῇ ψυχῇ ἀνεχούσῃ αὐτόν, καὶ οὐδὲν ἄμοιρόν ἐστιν αὐτῆς[e], ὡς ἂν ἐν ὕδασι δίκτυον τεγγόμενον ζωῇ, οὐ δυνάμενον δὲ αὐτοῦ ποιεῖσθαι ἐν ᾧ ἐστίν. ἀλλὰ τὸ μὲν δίκτυον ἐκτεινομένης ἤδη τῆς θαλάσσης συνεκτέταται ὅσον αὐτὸ δύναται· οὐ γὰρ δύναται ἀλλαχόθι ἕκαστον τῶν μορίων ἢ ὅπου κεῖται εἶναι. ἡ δὲ τοσαύτη ἐστὶ τὴν φύσιν, ὅτι μὴ τοσήδε, ὥστε πᾶν τὸ σῶμα καταλαμβάνειν τῷ αὐτῷ, καὶ ὅπου ἂν ἐκταθῇ ἐκεῖνο, ἐκεῖ ἐστι[f].

a) Censet mundum sempiternum esse neque unquam interire, propterea quod res nunquam non procedant ex principiis istis quae statuebat aeternis; Enn. II, 1, 1 sqq.; III, 2, 1; IV, 8, 6. — **b)** Materia etiam alibi cum caligine comparatur, velut Enn. I, 8, 4. (ἡ ψυχὴ) *σκότον ὁρᾷ καὶ ἔχει ἤδη ὕλην.* Ib. 5. *ἔλλειψις τοῦ ἀγαθοῦ αἰτία τοῦ ὁρᾶν καὶ συνεῖναι τῷ σκότει.* — **c)** Verba implicatiora. Sensus esse videtur: Nam nefas erat corpus, vicinum animae, rationis expers esse: quod si esset tale, esset, quod in proverbium abiit, obscurum in obscuro i. e. caeca anima in corpore caeco. In sequentibus recte Ficinus: „Factus itaque *mundus* tanquam aedificium quoddam speciosum" etc. — **d)** H. e. anima illa prior, quae ad intellectum vergit, nam quae in materiam delabitur, deterior est, v. n. 515 not.; 516, not. a. c. Quamquam aliis locis animam creatricem lapsam esse omnino negat, Enn. II, 9, 4. *ἡμεῖς δὲ οὐ νεῦσίν φαμεν* (sc. *τῆς ψυχῆς. νεῦσις* saepe dicitur de descensu ad peius) *τὴν ποιοῦσαν* (sc. *τὸν κόσμον*), *ἀλλὰ μᾶλλον μὴ νεῦσιν, εἰ δὲ ἔνευσε, τῷ ἐπιλελῆσθαι δηλονότι τῶν ἐκεῖ· εἰ δὲ ἐπελάθετο, πῶς δημιουργεῖ; πόθεν γὰρ ποιεῖ; ἢ ἐξ ὧν εἶδεν ἐκεῖ; εἰ δὲ ἐκείνων μεμνημένη ποιεῖ, οὐδὲ ὅλως ἔνευσεν.* Neque ipsa conformatio mundi praxis est, sed potius theoria, et mundus theorema, v. n. 512, not. c. — **e)** Omnia enim, quicquid est in mundo, animam habent et vim vitalem, et sunt velut imagines vitae aeternae, quae obtinet in mundo intelligibili; id quod prolixe exponitur Enn. VI, 7, 11. Mundus consummate pulcher est neque vituperari potest nisi a stultis II, 9, 4. *οὐδὲ τὸ κακῶς γεγονέναι τόνδε τὸν κόσμον δοτέον τῷ πολλὰ εἶναι ἐν αὐτῷ δυσχερῆ· τοῦτο γὰρ ἀξίωμα μειζόν ἐστι περι-*

τιθέντων αὐτῷ, εἰ ἀξιοῦσι τὸν αὐτὸν εἶναι τῷ νοητῷ, ἀλλὰ μὴ εἰκόνα ἐκείνου κτλ. Ipsum malum, quod in mundo est, bono inservit et in causam boni est, cerniturque providentia dei vel luculentissime in hoc quod etiam malis ad consilia sua exsequenda uti sciat. Enn. III, 2, 5. ἡ δὲ κακία εἰργάσατό τι χρήσιμον εἰς τὸ ὅλον, παράδειγμα δίκης γενομένη καὶ πολλὰ ἐξ αὐτῆς χρήσιμα παρασχομένη. — — τοῦτο δὲ δυνάμεως μεγίστης καλῶς καὶ τοῖς κακοῖς χρῆσθαι δύνασθαι. — f) Nam mundus tanquam animal est, quod totum vivit et omnibus membris in unum vitae finem ac sensum conspirat, cf. Enn. IV, 4, 32. πρῶτον τοίνυν θετέον ζῷον ἕν, πάντα τὰ ζῷα τὰ ἐντὸς αὐτοῦ περιέχον, τόδε τὸ πᾶν εἶναι, ψυχὴν μίαν ἔχον εἰς πάντα αὐτοῦ μέρη. — συμπαθὲς δὴ πᾶν τοῦτο ἓν καὶ ὡς ζῷον ἕν, καὶ τὸ πόρρω δὴ ἐγγύς. Ib. 36. ποικιλώτατον γὰρ τὸ πᾶν καὶ λόγοι πάντες ἐν αὐτῷ καὶ δυνάμεις ἄπειροι καὶ ποικίλαι κτλ. Ib. 45. ὡς ἕκαστον τῶν ἐν τῷ παντὶ ἔχει φύσεως καὶ διαθέσεως, οὕτω τοι συντελεῖ εἰς τὸ πᾶν καὶ πάσχει καὶ ποιεῖ. Eodem referendum quod tantum patrocinatur cultui statuarum et artibus magicis, v. Enn. IV, 3, 11; 4, 26 sqq.

Enn. IV, 3, 15. Ἴασι δὲ (ψυχαὶ) ἐκκύψασαι τοῦ νοητοῦ 519
εἰς οὐρανὸν μὲν πρῶτον· καὶ σῶμα ἐκεῖ προσλαβοῦσαι δι᾽ αὐτοῦ ἤδη χωροῦσι καὶ ἐπὶ τὰ γεωδέστερα σώματα, εἰς ὅσον ἂν εἰς μῆκος ἐκταθῶσι, καὶ αἱ μὲν ἀπ᾽ οὐρανοῦ εἰς σώματα τὰ κατωτέρω, αἱ δὲ ἀπ᾽ ἄλλων εἰς ἄλλα εἰσκρινόμεναι, αἷς ἡ δύναμις οὐκ ἤρκεσεν ἆραι ἐντεῦθεν διὰ βάρυνσιν καὶ λήθην, πολὺ ἐφελκομέναις ὃ αὐταῖς ἐβαρύνθη[a]. Ib. 17. Ὅτι δὲ ἐκ τοῦ νοητοῦ εἰς τὴν οὐρανοῦ ἴασιν αἱ ψυχαὶ τὸ πρῶτον χώραν, λογίσαιτο ἄν τις ἐκ τῶν τοιούτων. εἰ γὰρ οὐρανὸς ἐν τῷ αἰσθητῷ τόπῳ ἀμείνων, εἴη ἂν προσεχὴς τῶν νοητῶν τοῖς ἐσχάτοις· ἐκεῖθεν τοίνυν ψυχοῦνται ταῦτα πρῶτα καὶ μεταλαμβάνει ὡς ἐπιτηδειότερα μεταλαμβάνειν· τὸ δὲ γηρὸν ὕστατόν τε καὶ ψυχῆς ἥττονος πεφυκὸς μεταλαμβάνειν καὶ τῆς ἀσωμάτου φύσεως πόρρω. πᾶσαι μὲν δὴ καταλάμπουσι τὸν οὐρανὸν καὶ διδόασιν οἷον τὸ πολὺ αὐτῶν καὶ τὸ πρῶτον ἐκείνῳ[b], τὰ δὲ ἄλλα τοῖς ὑστέροις ἐναυγάζονται. αἱ δ᾽ ἐπὶ πλέον κατιοῦσαι ἐναυγάζουσι μᾶλλον κάτω, αὐταῖς δὲ οὐκ ἄμεινον εἰς πολὺ προϊούσαις. VI, 4, 14. Ἡμεῖς δέ, τίνες δὲ ἡμεῖς; — ἢ καὶ πρὸ τοῦ ταύτην τὴν γένεσιν γενέσθαι ἦμεν ἐκεῖ ἄνθρωποι ἄλλοι ὄντες, καί τινες καὶ θεοί, ψυχαὶ καθαραὶ καὶ νοῦς συνημμένος τῇ ἁπάσῃ οὐσίᾳ[c], μέρη ὄντες τοῦ νοητοῦ, οὐκ ἀφωρισμένα οὐδ᾽ ἀποτετμημένα, ἀλλ᾽ ὄντες τοῦ ὅλου.

a) Ipsum descensum animarum modo inde explicat, quod et anima requirat materiam et materia animam, Enn. I, 8, 14; IV, 8, 7, modo inde quod fato ita praestitutum sit, ut quaeque anima suam naturam

suumque arbitrium sequatur, IV, 3, 13. *τὸ γὰρ ἀναπόδραστον καὶ ἡ δίκη οὕτως ἐν φύσει κρατούσῃ ἰέναι ἕκαστον ἐν τάξει πρὸς ὃ ἐστιν ἕκαστον γενόμενον εἴδωλον προαιρέσεως καὶ διαθέσεως ἀρχετύπου κτλ.*, cf. III, 2, 12 sq.; IV, 4, 45. Accedit oblivio illa primi principii et audacia atque licentia, de qua dictum est n. 509. — **b)** Cf. Enn. V, 1, 2. *ψυχὴ ἐλθοῦσα εἰς σῶμα οὐρανοῦ ἔδωκε μὲν ζωήν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ κείμενον. ὁ δὲ κινηθεὶς κίνησιν αἴδιον ὑπὸ ψυχῆς ἔμφρονος ἀγούσης ζῷον εὔδαιμον ἐγένετο.* Totum coelum est deus, itemque sol et sidera, qui sunt dii secundi ordinis; nam statuit praeter summum deum h. e. Unum tres deorum ordines esse, primum intellectus et potestatum intellectualium, cf. n. 515, not. b, et Enn. II, 9, 9; V, 5, 3; V, 8, 3 sqq., secundum corporum coelestium, tertiam daemonum qui vocantur h. e. qui medii sunt inter terram et lunam et inter deos et homines, cf. III, 5, 6; V, 8, 3. Astrologorum opiniones quamquam impugnat, tamen concedit significationes stellarum fieri, idque propter mirabilem rerum omnium, summarum minimarum, in mundo connexionem, II, 3, 7. *ἔστω τοίνυν ὥσπερ γράμματα ἐν οὐρανῷ γραφόμενα ἀεί, ἢ γεγραμμένα καὶ κινούμενα, ποιοῦντα μέν τι ἔργον καὶ ἄλλο, ἐπακολουθείτω δὲ τῷδε ἡ παρ' αὐτῶν σημασία*: cf. III, 1, 6; IV, 3, 12; n. 515 not. — **c)** De materia intelligibili cf. n. 511. not. c, de hominum animis Enn. IV, 3, 12. *ἀνθρώπων δὲ ψυχαὶ — ἐκεῖ ἐγένοντο ἄνωθεν ὁρμηθεῖσαι, οὐκ ἀποτμηθεῖσαι οὐδ' αὗται τῆς ἑαυτῶν ἀρχῆς τε καὶ νοῦ· οὐ γὰρ μετὰ τοῦ νοῦ ἦλθον, ἀλλ' ἔφθασαν μὲν μέχρι γῆς, κάρα δὲ αὐταῖς ἐστήρικται ὑπεράνω τοῦ οὐρανοῦ.* Cf. IV, 4, 1 sq.; 8, 4 sq.

520 Enn. I, 1, 10. *Ἀλλ' εἰ ἡμεῖς ἡ ψυχή, πάσχομεν δὲ ταῦτα* (sc. *τὰ παθήματα*) *ἡμεῖς, ταῦτα ἂν εἴη πάσχουσα ἡ ψυχή· καὶ αὖ ποιήσει ἃ ποιοῦμεν. ἢ καὶ τὸ κοινὸν ἔφαμεν ἡμῶν εἶναι, καὶ μάλιστα οὔπω κεχωρισμένων*[a]*· ἐπεὶ καὶ ἃ πάσχει τὸ σῶμα ἡμῶν, ἡμᾶς φαμὲν πάσχειν. διττὸν οὖν τὸ ἡμεῖς, ἢ συναριθμουμένου τοῦ θηρίου ἢ τὸ ὑπὲρ τοῦτο ἤδη· θηρίον δὲ ζωωθὲν τὸ σῶμα*[b]*. ὁ δὲ ἀληθὴς ἄνθρωπος ἄλλος, ὁ καθαρὸς τούτων, τὰς ἀρετὰς ἔχων τὰς ἐν νοήσει, αἳ δὴ ἐν αὐτῇ τῇ χωριζομένῃ ψυχῇ ἵδρυνται, χωριζομένῃ δὲ καὶ χωριστῇ ἔτι ἐνταῦθα οὔσῃ· ἐπεὶ καὶ ὅταν αὕτη παντάπασιν ἀποστῇ καὶ ἡ ἀπ' αὐτῆς ἐλλαμφθεῖσα ἀπελήλυθε συνεπομένη. αἱ δὲ ἀρεταὶ αἱ μὴ φρονήσει, ἔθεσι δὲ ἐπιγιγνόμεναι καὶ ἀσκήσεσι τοῦ κοινοῦ*[c]*· τούτου γὰρ αἱ κακίαι, ἐπεὶ καὶ φθόνοι καὶ ζῆλοι καὶ ἔλεοι.*

a) Sc. *ἀπὸ τοῦ σώματος*. Anima morte libera, quo quaeque inclinat et prout in vita ante acta meruit, aut sursum in coelum et ad sidera vel in ipsum mundum intelligibilem tollitur, aut in alia hominum corpora transit, aut in materiam altius etiam deprimitur, ut vel inter bruta animalia vel inter plantas vivere pergat, v. Enn. III, 4, 2 sqq.; I, 8, 13;

III, 2, 13; IV, 3, 24. — **b)** Sensus: Vera hominis substantia cernitur in ratione et intellectu. Corpus nihil est nisi bestia animata. — **c)** *Τὸ κοινὸν* s. *τὸ συναμφότερον* est illud quod ex anima et corpore compositum est. Verum illam animam atque separabilem omnino non esse in corpore neque corpore contineri censet, sed corpus potius inesse atque contineri illa, cf. Enn. I, 1, 7 sqq.; IV, 3, 20—23, ubi inter alia: *καὶ γὰρ αὖ τοῦτο παρὸν οὐ πάρεστι καὶ δι' ὅλου παρὸν οὐδενὶ μίγνυται, καὶ ἔστηκε μὲν αὐτό, τὸ δὲ παραρρεῖ· — ὥστε ὀρθῶς ἔχειν καὶ ἐνταῦθα λέγειν, ὡς ὁ ἀὴρ ἐν τῷ φωτὶ ἥπερ τὸ φῶς ἐν τῷ ἀέρι.*

Vera igitur substantia hominis est anima h. e. superior illa, quae mundi intelligibilis pars est ex eoque oriunda, cf. n. 519, not. c; Enn. I, 1, 7. *ἡμεῖς δὲ τὸ ἐντεῦθεν, ἄνω ἐφεστηκότες τῷ ζῴῳ· — τὸ δὲ ἐντεῦθεν ὁ ἄνθρωπος ὁ ἀληθὴς σχεδόν· ἐκεῖνα δὲ τὸ λεοντῶδες καὶ τὸ ποικίλον ὅλως θηρίον* (Plat. Rep. IX, p. 588 C); adde II, 1, 5; IV, 7, 12; VI, 7, 5. *οὐ γὰρ ἐξίσταται τοῦ νοητοῦ (ἡ θειοτέρα ψυχή), ἀλλὰ συναψαμένη οἷον ἐκκρεμαμένην ἔχει τὴν κάτω* (h. e. animam inferiorem, cum corpore mixtam), *συμμίξασα ἑαυτὴν λόγῳ πρὸς λόγον.* Sequitur ut sensuum perceptiones et animi perturbationes non pertineant ad verum hominem, sed ad corpus vel mixtum illud ex anima et corpore, ita ut vera anima non afficiatur affectu, sed sentiat tantummodo affectum, cf. Enn. I, 1, 7; IV, 4, 18. *καὶ τὸ ἀλγεῖν καὶ τὸ ἥδεσθαι δὲ τὰς τοῦ σώματος ἡδονὰς περὶ τὸ τοιόνδε σῶμά ἐστιν. ἡμῖν δὲ ἡ τούτου ἀλγηδὼν καὶ ἡ τοιαύτη ἡδονὴ εἰς γνῶσιν ἀπαθὴ ἔρχεται. λέγω δὲ ἡμῖν — κατὰ τὸ κύριον.* Ib. 6, 1 sq. Eodem pertinent virtutes *αἱ μὴ φρονήσει* h. e. virtutes morales s. practicae, cf. n. 521, not. c; itemque vitia et peccata (*αἱ κακίαι*), quibus et ipsis non anima superior, sed inferior duntaxat afficitur, cf. Enn. I, 1, 11; 12. *ἀλλ' εἰ ἀναμάρτητος ἡ ψυχή, πῶς αἱ δίκαι; ἀλλὰ γὰρ οὗτος ὁ λόγος ἀσυμφωνεῖ παντὶ λόγῳ, ὃς φησιν αὐτὴν καὶ ἁμαρτάνειν καὶ κατορθοῦν καὶ διδόναι δίκας ἐν ᾅδου καὶ μετενσωματοῦσθαι. προσθετέον μὲν οὖν ὅτῳ τις βούλεται λόγῳ· τάχα δ' ἂν τις ἐξεύροι καὶ ὅπη μὴ μαχοῦνται· ὁ μὲν γὰρ τὸ ἀναμάρτητον διδοὺς τῇ ψυχῇ λόγος ἓν ἁπλοῦν πάντη ἐτίθετο, τὸ αὐτὸ ψυχὴν καὶ τὸ ψυχὴν εἶναι**) *λέγων ὁ δ' ἁμαρτεῖν διδοὺς συμπλέκει μὲν καὶ προστίθησιν αὐτῇ καὶ ἄλλο ψυχῆς εἶδος, τὸ τὰ δεινὰ ἔχον πάθη.* Contra vera virtus non cernitur nisi in vera hominis substantia, Enn. I, 4, 14. *τὸ δὲ μὴ συναμφότερον εἶναι τὸν ἄνθρωπον καὶ μάλιστα τὸν σπουδαῖον, μαρτυρεῖ καὶ ὁ χωρισμὸς ὁ ἀπὸ τοῦ σώματος καὶ ἡ τῶν λεγομένων ἀγαθῶν τοῦ σώματος καταφρόνησις*: nam solvitur vera anima sive verus homo a corpore aut morte aut philosophando, id quod etiam nostro loco significatur, *χωριζομένη δὲ καὶ χωριστὴ ἔτι ἐνταῦθα οὖσα*, cf. Porphyr. Sententt. 9. *ὁ γοῦν θάνατος διπλοῦς κτλ.* Denique omnis huius vitae afflictatio omnesque rerum vicissitudines non pertinent nisi ad eum qui inferioribus illis atque externis nimium tribuit, v. Enn. III, 2, 15. *ὥσπερ δὲ ἐπὶ τῶν θεάτρων ταῖς*

---

*) Expectaveris *τὸ ψυχῇ εἶναι*, ad consuetudinem Aristotelis h. e. animae substantiam.

σκηναῖς, οὕτω χρὴ καὶ τοὺς φόνους θεᾶσθαι καὶ πάντας θανάτους καὶ πόλεων ἁλώσεις καὶ ἁρπαγάς, μεταθέσεις πάντα καὶ μετασχηματίσεις καὶ θρήνων καὶ οἰμωγῶν ὑποκρίσεις· καὶ γὰρ ἐνταῦθα ἐπὶ τῶν ἐν τῷ βίῳ ἑκάστων οὐχ ἡ ἔνδον ψυχή, ἀλλ' ἡ ἔξω ἀνθρώπου σκιὰ καὶ οἰμώζει καὶ ὀδύρεται καὶ πάντα ποιεῖ ἐν σκηνῇ τῇ ὅλῃ γῇ πολλαχοῦ σκηνὰς ποιησαμένων. τοιαῦτα γὰρ ἔργα ἀνθρώπου τὰ κάτω καὶ τὰ ἔξω μόνα ζῆν εἰδότος καὶ ἐν δακρύοις καὶ σπουδαίοις ὅτι παίζων ἐστὶν ἠγνοηκότος. μόνῳ γὰρ τῷ σπουδαίῳ σπουδαστέον ἐν σπουδαίοις τοῖς ἔργοις· ὁ δ' ἄλλος ἄνθρωπος παίγνιον. Cf. quae de vera felicitate disputantur I, 4.

521 Enn. I, 2, 3. *Λέγων δὴ ὁ Πλάτων τὴν ὁμοίωσιν τὴν πρὸς τὸν θεὸν φυγὴν τῶν ἐντεῦθεν εἶναι*[a], *καὶ ταῖς ἀρεταῖς ταῖς ἐν πολιτείᾳ οὐ τὸ ἁπλῶς διδούς, ἀλλὰ προστιθεὶς πολιτικάς γε, καὶ ἀλλαχοῦ καθάρσεις λέγων ἁπάσας*[b], *δῆλός τέ ἐστι διττὰς τιθεὶς καὶ τὴν ὁμοίωσιν οὐ κατὰ τὴν πολιτικὴν τιθείς. πῶς οὖν λέγομεν ταύτας καθάρσεις καὶ πῶς καθαρθέντες μάλιστα ὁμοιούμεθα; ἢ ἐπειδὴ κακὴ μέν ἐστιν ἡ ψυχὴ συμπεφυρμένη τῷ σώματι καὶ ὁμοπαθὴς γιγνομένη αὐτῷ καὶ πάντα συνδοξάζουσα, εἴη ἂν ἀγαθὴ καὶ ἀρετὴν ἔχουσα, εἰ μήτε συνδοξάζοι, ἀλλὰ μόνη ἐνεργοῖ, ὅπερ ἐστὶ νοεῖν τε καὶ φρονεῖν, μήτε ὁμοιοπαθὴς εἴη, ὅπερ ἐστὶ σωφρονεῖν, μήτε φοβοῖτο ἀφισταμένη τοῦ σώματος, ὅπερ ἐστὶν ἀνδρίζεσθαι· ἡγοῖτο δὲ λόγος καὶ νοῦς, τὰ δὲ μὴ ἀντιτείνοι, δικαιοσύνη δ' ἂν εἴη τοῦτο. τὴν δὴ τοιαύτην διάθεσιν τῆς ψυχῆς, καθ' ἣν νοεῖ τε καὶ ἀπαθὴς οὕτως ἐστίν, εἴ τις ὁμοίωσιν λέγει πρὸς θεόν, οὐκ ἂν ἁμαρτάνοι· καθαρὸν γὰρ καὶ τὸ θεῖον, καὶ ἡ ἐνέργεια τοιαύτη ὡς τὸ μιμούμενον ἔχειν φρόνησιν*[c]. V, 3, 9. *Ψυχὴν οὖν, ὡς ἔοικε, καὶ τὸ ψυχῆς θειότατον κατιδεῖν δεῖ τὸν μέλλοντα νοῦν εἴσεσθαι ὅ τι ἐστί. γένοιτο δ' ἂν τοῦτο ἴσως καὶ ταύτῃ, εἰ ἀφέλοις πρῶτον τὸ σῶμα ἀπὸ τοῦ ἀνθρώπου, καὶ δῆλον ὅτι σαυτοῦ, εἶτα καὶ τὴν πλάττουσαν τοῦτο ψυχήν, καὶ τὴν αἴσθησιν δὲ εὖ μάλα, ἐπιθυμίας δὲ καὶ θυμοὺς καὶ τὰς ἄλλας τὰς τοιαύτας φλυαρίας, ὡς πρὸς τὸ θνητὸν νευούσας καὶ πάνυ. τὸ δὴ λοιπὸν αὐτῆς τοῦτό ἐστιν, ὃ εἰκόνα ἔφαμεν νοῦ, σώζουσάν τι φῶς ἐκείνου*[d].

a) Cf. Plato Theaet. p. 176 A (supra n. 271). — **b)** Cf. Phaed. p. 69 B. C; p. 82 A (n. 246 not.). — **c)** Vides omnes virtutes revocari ad illam, quam ipse dicit, *κάθαρσιν* h. e. ut anima rationalis separetur a corpore et ab anima cum corpore mixta. Cf. I, 6, 6. *ἔστι γὰρ δή, ὡς ὁ παλαιὸς λόγος, καὶ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία καὶ πᾶσα ἀρετὴ κάθαρσις, καὶ ἡ φρόνησις αὐτή. — ἡ δὲ φρόνησις νόησις ἐν ἀποστροφῇ τῶν κάτω,*

πρὸς δὲ τὰ ἄνω τὴν ψυχὴν ἄγουσα. Falluntur omnino qui in agendo et in virtutibus moralibus consummatam felicitatem quaerunt, cum omnis actio pertineat ad externa et ad vitam mixtam, cf. I, 1, 10 (n. 520); ib. 5, 10. τὸ δὲ ἐν ταῖς πράξεσι τὸ εὐδαιμονεῖν τίθεσθαι ἐν τοῖς ἔξω τῆς ἀρετῆς καὶ τῆς ψυχῆς ἐστὶ τιθέντος· ἡ γὰρ ἐνέργεια τῆς ψυχῆς ἐν τῷ φρονῆσαι καὶ ἐν ἑαυτῇ ὡδὶ ἐνεργῆσαι· καὶ τοῦτο τὸ εὐδαιμόνως. Cf. n. 512 not., et I, 1, 12, ubi Homerum dicit recte finxisse ipsum Herculem inter deos versari, simulacrum eius apud inferos esse: ὅτι δὴ πρακτικὴν ἀρετὴν ἔχων Ἡρακλῆς καὶ ἀξιωθεὶς διὰ καλοκἀγαθίαν θεὸς εἶναι (ὅτι πρακτικὸς ἀλλ' οὐ θεωρητικὸς ἦν, ἵνα ἂν ὅλος ᾖ ἐκεῖ), ἄνω τέ ἐστι καὶ ἔτι ἐστί τι αὐτοῦ καὶ κάτω. — **d)** Cf. Enn. V, 3, 7. Sed agendum est ut non solum missum faciamus malum, sed etiam ut acquiramus bonum, Enn. I, 2, 6. ἀλλ' ἡ σπουδὴ οὐκ ἔξω ἁμαρτίας εἶναι, ἀλλὰ θεὸν εἶναι. Quamquam si modo malum a nobis propulerimus, bonum sponte nobis conciliabitur. Enn. V, 3, 6. καὶ γὰρ καὶ ἕως ἦμεν ἄνω, ἐν νοῦ φύσει ἠρκούμεθα καὶ ἐνοοῦμεν καὶ εἰς ἓν πάντα συνάγοντες ἐωρῶμεν· νοῦς γὰρ ἦν ὁ νοῶν καὶ περὶ αὐτοῦ λέγων. ἡ δὲ ψυχὴ ἡσυχίαν ἦγε συγχωροῦσα τῷ ἐνεργήματι τοῦ νοῦ. Ib. 3. τὸ γὰρ καθαρὸν τῆς ψυχῆς τοῦτο, καὶ νοῦ δέχεται ἐπικείμενα ἴχνη. — ἀλλ' οὐ ψυχῆς μὲν φήσομεν (sc. τοῦτο), ἡμέτερον δὲ νοῦν φήσομεν. Ib. 8. φῶς ἆρα φῶς ἄλλο ὁρᾷ· αὐτὸ ἆρα αὐτὸ ὁρᾷ. τὸ δὲ φῶς τοῦτο ἐν ψυχῇ μὲν ἐλλάμψαν ἐφώτισε, τοῦτο δ' ἔστι νοερὰν ἐποίησε.

Enn. VI, 9, 3. Τί ἂν οὖν εἴη τὸ ἕν; καὶ τίνα φύσιν 522
ἔχον; ἢ οὐδὲν θαυμαστὸν μὴ ῥᾴδιον εἰπεῖν εἶναι, ὅπου μηδὲ τὸ ὂν ῥᾴδιον μηδὲ τὸ εἶδος, ἀλλ' ἔστιν ἡμῖν γνῶσις εἴδεσιν ἐπερειδομένη. ὅσῳ δ' ἂν εἰς ἀνείδεον ἡ ψυχὴ ἴῃ, ἐξαδυνατοῦσα περιλαβεῖν τῷ μὴ ὁρίζεσθαι καὶ οἷον τυποῦσθαι ὑπὸ ποικίλου τοῦ τυποῦντος, ἐξολισθάνει καὶ φοβεῖται μὴ οὐδὲν ἔχῃ. διὸ κάμνει ἐν τοῖς τοιούτοις καὶ ἀσμένη καταβαίνει πολλάκις ἀποπίπτουσα ἀπὸ πάντων, μέχρις ἂν εἰς αἰσθητὸν ἵκοι ἐν στερεῷ ὥσπερ ἀναπαυομένη, οἷον καὶ ἡ ὄψις κάμνουσα ἐν τοῖς μικροῖς τοῖς μεγάλοις ἀσμένως περιπίπτει. καθ' ἑαυτὴν δὲ ἡ ψυχή, ὅταν ἰδεῖν ἐθέλῃ μόνην, ὁρῶσα τῷ συνεῖναι καὶ ἓν οὖσα τῷ ἓν εἶναι αὐτῷ, οὐκ οἴεταί πω ἔχειν ὃ ζητεῖ, ὅτι τοῦ νοουμένου μὴ ἕτερόν ἐστιν. ὅμως δὲ χρὴ οὕτω ποιεῖν τὸν μέλλοντα περὶ τὸ ἓν φιλοσοφήσειν. Ib. 4. Γίγνεται δὲ ἡ ἀπορία (sc. περὶ τοῦ ἑνὸς) μάλιστα, ὅτι μηδὲ κατ' ἐπιστήμην ἡ σύνεσις ἐκείνου μηδὲ κατὰ νόησιν ὥσπερ τὰ ἄλλα νοητά, ἀλλὰ κατὰ παρουσίαν ἐπιστήμης κρείττονα. πάσχει δὲ ἡ ψυχὴ τοῦ ἓν εἶναι τὴν ἀπόστασιν καὶ οὐ πάντη ἐστὶν ἕν, ὅταν ἐπιστήμην που λαμβάνῃ· λόγος γὰρ ἡ ἐπιστήμη, πολλὰ δὲ ὁ λόγος. παρέρχεται οὖν τὸ ἓν εἰς ἀριθμὸν καὶ πλῆθος πεσοῦσα.

ὑπὲρ ἐπιστήμην τοίνυν δεῖ δραμεῖν καὶ μηδαμῇ ἐκβαίνειν τοῦ*) ἓν εἶναι, ἀλλ᾽ ἀποστῆναι δεῖ καὶ ἐπιστήμης καὶ ἐπιστητῶν καὶ παντὸς ἄλλου, καὶ καλοῦ θεάματος. πᾶν γὰρ καλὸν ὕστερον ἐκείνου καὶ παρ᾽ ἐκείνου, ὥσπερ πᾶν φῶς μεθημερινὸν παρ᾽ ἡλίου. διὸ οὐδὲ ῥητὸν οὐδὲ γραπτόν, φησίν[a]. ἀλλὰ λέγομεν καὶ γράφομεν, πέμποντες εἰς αὐτὸ καὶ ἀναγείροντες ἐκ τῶν λόγων ἐπὶ τὴν θέαν, ὥσπερ ὁδὸν δεικνύντες τῷ τι θεάσασθαι βουλομένῳ. μέχρι γὰρ τῆς ὁδοῦ καὶ τῆς πορείας ἡ δίδαξις· ἡ δὲ θέα αὐτοῦ ἔργον ἤδη τοῦ ἰδεῖν βεβουλημένου. εἰ δὲ μὴ ἦλθέ τις ἐπὶ τὸ θέαμα, μηδὲ σύνεσιν ἔσχεν ἡ ψυχὴ τῆς ἐκεῖ ἀγλαΐας**), μηδὲ ἔπαθε, μηδὲ ἔσχεν ἐν ἑαυτῷ οἷον ἐρωτικὸν πάθημα ἐκ τοῦ ἰδεῖν, ἐραστοῦ ἐν ᾧ ἐρᾷ ἀναπαυσαμένου, δεξάμενον φῶς ἀληθινὸν καὶ πᾶσαν τὴν ψυχὴν περιφωτίσας διὰ τὸ ἐγγυτέρω γεγονέναι, ἀναβεβηκέναι δὲ ἔτι ὀπισθοβαρὴς ὑπάρχων, ἃ ἐμπόδια ἦν τῇ θέᾳ, καὶ οὐ μόνος ἀναβεβηκώς, ἀλλ᾽ ἔχων τὸ διεῖργον ἀπ᾽ αὐτοῦ ἢ μήπω εἰς ἓν συναχθείς. οὐ γὰρ δὴ ἄπεστιν οὐδενὸς ἐκεῖνο, καὶ πάντων δέ, ὥστε παρὸν μὴ παρεῖναι, ἀλλ᾽ ἢ τοῖς δέχεσθαι δυναμένοις καὶ παρεσκευασμένοις ὥστε ἐφαρμόσαι καὶ οἷον ἐφάψασθαι καὶ θιγεῖν ὁμοιότητι καὶ τῇ ἐν αὐτῷ δυνάμει, συγγενεῖ τῷ ἀπ᾽ αὐτοῦ· ὅταν οὕτως ἔχῃ, ὡς εἶχεν, ὅτε ἦλθεν ἀπ᾽ αὐτοῦ, ἤδη δύναται ἰδεῖν, ὡς πέφυκεν ἐκεῖνος θεατὸς εἶναι.

a) Sc. Plato, quem nomine non addito allegare solet, cf. Enn. III, 9, 1.

Si ad contemplationem Unius pervenimus, tum ipsius intellectus cogitationem contemnimus. Enn. VI, 7, 35. *οὕτω δὲ διάκειται τότε, ὡς καὶ τοῦ νοεῖν καταφρονεῖν, ὃ τὸν ἄλλον χρόνον ἠσπάζετο, ὅτι τὸ νοεῖν κίνησίς τις ἦν.* Unum vero animus non contemplatur nisi intellectu. Enn. I, 8, 2. *ἡ δὲ ἔξωθεν περὶ τοῦτον* (sc. *τὸν νοῦν*) *χορεύουσα ψυχή, περὶ αὐτὸν βλέπουσα καὶ τὸ εἴσω αὐτοῦ θεωμένη, τὸν θεὸν δι᾽ αὐτοῦ βλέπει.* Sed modus, quo existit nobis contemplatio, non potest describi. VI, 8, 19. *οὐδ᾽ ἂν τολμήσειέ τις ἰδὼν ἔτι τὸ ὡς συνέβη λέγειν.* Hoc tantum ponitur, nos in contemplando omnino patientes esse, quod indicat noster locus. Is qui contemplatur se habet *οἷον ὕλην ἑαυτὸν παρασχών.* Enn. IV, 4, 2, cf. VI, 7, 16. Ipsa contemplatio dicitur tanquam ebrietas animi esse, VI, 7, 35. *μεθυσθεὶς τοῦ νέκταρος*, vel furor sive *ἔκστασις*, Enn. VI, 9, 11. *ἁρπασθεὶς ἢ ἐνθουσιάσας — — ἔκστασις καὶ ἁπλωσις*, vel correptio per deum, V, 8, 10. *ὑπὸ θεοῦ κατασχεθεὶς φοιβόληπτος ἢ ὑπό τινος Μούσης.* Animus tunc prorsus quiescens est, neque animus est

*) Creuz. *ἐκβαίνειν τό.* — **) *μηδὲ — ἀγλ.*, quae desunt in vulg., ex omnibus codd. restituit Creuzerus.

neque vita neque intellectus, sed nihil nisi Unum, in quod ille absolvitur, VI, 7, 35. *διὸ οὐδὲ κινεῖται ἡ ψυχὴ τότε, ὅτι μηδ' ἐκεῖνο, οὐδὲ ψυχη τοίνυν, ὅτι μηδὲ ζῇ ἐκεῖνο, ἀλλὰ ὑπὲρ τὸ ζῆν, οὐδὲ νοῦς, ὅτι μηδὲ νοεῖ· ὁμοιοῦσθαι γὰρ δεῖ· νοεῖ δὲ οὐδ' ἐκεῖνο, ὅτι οὐδὲ νοεῖ*). Neque haec contemplatio, dum vivamus in corpore, diuturna esse potest. Enn. VI, 9, 10. *πῶς οὖν οὐ μένει* (sc. *ἡ ψυχὴ*) *ἐκεῖ; ἢ ὅτι μήπω ἐξελήλυθεν ὅλως. ἔσται δὲ ὅτε καὶ τὸ συνεχὲς ἔσται τῆς θέας οὐκ ἔτι ἐνοχλουμένῳ οὐδεμίαν ἐνόχλησιν τοῦ σώματος.* Dicit autem se ipsum aliquando Unum contemplatum esse, in quo tamen non potuerit stare quippe homuncio. Enn. IV, 8, 1 extr.; cf. n. 508 extr.

2. PORPHYRIUS.

Eunap. V. Soph. p. 7. Boiss. *Πορφυρίῳ Τύρος*[a] *μὲν ἦν* 523
πατρίς — —, Μάλχος δὲ — ἐκαλεῖτο τὰ πρῶτα, τοῦτο δὲ δύναται βασιλέα λέγειν· Πορφύριον δὲ αὐτὸν ὠνόμασε Λογγῖνος, ἐς τὸ βασιλικὸν τῆς ἐσθῆτος παράσημον τὴν προσηγορίαν ἀποτρέψας[b]*. παρ' ἐκείνῳ δὴ τὴν ἄκραν ἐπαιδεύετο παιδείαν, γραμματικῆς τε εἰς ἄκρον ἁπάσης ὥσπερ ἐκεῖνος ἀφικόμενος καὶ ῥητορικῆς, πλὴν ὅσον οὐκ ἐπ' ἐκείνην ἔνευσε, φίλοσοφίας τε πᾶν εἶδος ἐκματτόμενος. — — οὕτω δὲ ἀχθεὶς τὴν πρώτην παιδείαν καὶ ὑπὸ πάντων ἀποβλεπόμενος τὴν μεγίστην Ῥώμην ἰδεῖν ἐπιθυμήσας ἵνα κατάσχῃ διὰ σοφίας τὴν πόλιν, ἐπειδὴ τάχιστα εἰς αὐτὴν ἀφίκετο καὶ τῷ μεγίστῳ Πλωτίνῳ συνῆλθεν εἰς ὁμιλίαν, πάντων ἐπελάθετο τῶν ἄλλων καὶ προσέθετο φέρων ἑαυτὸν ἐκείνῳ*[c]*. — — ὁ μὲν γὰρ Πλωτῖνος τῷ τε τῆς ψυχῆς οὐρανίῳ καὶ τῷ λοξῷ καὶ αἰνιγματώδει τῶν λόγων βαρὺς ἐδόκει καὶ δυσήκοος, ὁ δὲ Πορφύριος ὥσπερ Ἑρμαϊκή τις σειρὰ*[d] *καὶ πρὸς ἀνθρώπους ἐπινεύουσα διὰ ποικίλης παιδείας πάντα εἰς τὸ εὔγνωστον καὶ καθαρὸν ἐξήγγελλεν. — — φαίνεται δὲ ἀφικόμενος εἰς γῆρας βαθύ*[e]*· πολλὰς γοῦν τοῖς ἤδη προπεπραγματευμένοις βιβλίοις θεωρίας ἐναντίας κατέλιπε, περὶ ὧν οὐκ ἔστιν ἕτερόν τι δοξάζειν ἢ ὅτι προϊὼν ἕτερα ἐδόξασεν*[f]*. ἐν Ῥώμῃ δὲ λέγεται μεταλλάξαι***) *τὸν βίον.*

a) Imo Batanea, oppidum Syriae; Tyri autem educatus erat, quapropter et ipse Tyrium se dicit, Vit. Plot. cap. 7, v. Fabric. Bibl. Gr.

---

*) Ita vulg. et Creuz. Sensus: „Neque animus cogitat Unum (*ἐκεῖνο*), quia Unum non cogitat.“ Expeditior foret sententia, si legeris *ὅτε οὐδὲ νοεῖται*. — **) Libb. *μεταλαχεῖν*. Wyttenb. *μετηλλαχέναι*. Boiss. *μεταλλάσσειν* vel *μεταλλαγεῖν*.

V, p. 725 not., ed. Harl. — **b)** Idem narrat ipse Porphyrius Vit. Plot. cap. 17. — **c)** Cum ad Plotinum venit, 30 annos natus erat, decimo anno Galieni, ut natus fuerit anno 233 p. Chr. n. sub M. Aur. Severo, quem Suidas v. *Πορφύριος* confudit cum Aureliano. — **d)** Fluxit hoc ex Homero, scilicet ex aurea illa catena, qua Iupiter universum suspensum tenet: quam Neoplatonici ad suam successionem veraeque philosophiae continuationem referebant, v. Wyttenb. l. l. *Ἑρμαϊκὴ* dicitur, quia principium repetebant ab Hermete Trismegisto; v. de Myster. Aegypt. I, 1. — **e)** Ipse narrat se semel Unum i. e. summum deum intuitum esse, 68 annos natum, Vit. Plot. cap. 23. Mortuus est sub Diocletiano, teste Suida. — **f)** Scriptis suis plurimum fecit ad Neoplatonicorum disciplinam stabiliendam et contra propugnatores Christianorum defendendam: in quo studio simul cunctas Graecorum litteras antiquas contra Christianos defendendas suscepit, ab iisdem a quibus philosophia infestari solitas. Verum etiam Christianos ultro aggressus est opere *κατὰ Χριστιανῶν* inscripto, v. Euseb. Hist. Eccl. VI, 19. Plotini doctrinam et scriptis Plotini emendandis et digerendis adiuvit, v. n. 508, et tractatu suo *αἱ πρὸς τὰ νοητὰ ἀφορμαὶ* inscripto, quo magistri doctrinam et coarctavit et illustravit. Eo magis mirum quod a sequioribus Neoplatonicis inconstantiae arguitur, cf. Euseb. Pr. Ev. IV, 10; Iambl. ap. Stob. Ecl. I, p. 866. Quod referendum videtur ad superstitiones istas theurgicas, quae ea aetate etiam per Neoplatonicorum scholas grassari coeperant et quibus ipse Porphyrius, dum intra arctiores limites se continerent, fovisse videtur; deinde vero cum ab illis sincerae Plotini doctrinae timendum putaret, qua statuebatur unicam salutem positam esse in purgatione animae et in contemplatione dei aeterni, coepit ille, iam senex ut videtur, nimio theurgiae studio obniti, praesertim epistola ad Anebontem Aegyptium scripta, cuius fragmenta ex Eusebio, aliis, collecta edidit Gale, ante Iambl. de Myster. Aeg. fol. b 2—d 2. De logicis commentationibus Porphyrii, quibus logicam inferiorum temporum maxime praeivit, v. Prantl, *Gesch. d. Log.* I, p. 626 sqq., de historicis C. Müller Fragm. Historic. Gr. III, p. 688 sqq.

524 Aug. de Civ. D. X, 9. Nam et Porphyrius quandam quasi purgationem animae per theurgiam, cunctanter tamen et pudibunda quodam modo disputatione promittit, reversionem vero ad deum hanc artem praestare cuiquam negat, ut videas eum inter vitium sacrilegae curiositatis et philosophiae professionem sententiis alternantibus fluctuare[a]. Nunc enim hanc artem tanquam fallacem et in ipsa actione periculosam et legibus prohibitam cavendam monet, nunc autem velut eius laudatoribus cedens utilem dicit esse mundandae parti animae, non quidem intellectuali, qua rerum intelligibilium percipitur veritas, nullas habentium similitudines corporum, sed spiritali, qua corporalium rerum capiuntur imagines. Hanc enim dicit

per quasdam consecrationes theurgicas, quas teletas vocant, idoneam fieri atque aptam susceptioni spiritum et angelorum et ad videndos deos. Ex quibus tamen theurgicis teletis fatetur intellectuali animae nihil purgationis accedere, quod eam faciat idoneam ad videndum deum suum et perspicienda ea quae vere sunt. Ex quo intelligi potest, qualium deorum vel qualem visionem fieri dicat theurgicis consecrationibus, in qua non ea videntur, quae vere sunt. Denique animam rationalem sive quŏd magis amat dicere, intellectualem[b], in supera*) dicit posse evadere, etiamsi quod eius spiritale est nulla theurgica fuerit arte purgatum: porro autem a theurgo spiritalem purgari hactenus, ut non ex hoc ad immortalitatem aeternitatemque perveniat. Quamquam itaque discernat a daemonibus angelos, aeria esse loca daemonum, aetheria vel empyrea disserens angelorum[c], et admoneat utendum alicuius daemonis amicitia, quo subvectante vel paullulum possit elevari a terra quisque post mortem, aliam vero viam esse perhibeat ad angelorum superna consortia: cavendam tamen daemonum societatem expressa quodam modo confessione testatur, ubi dicit animam post mortem luendo poenas cultum daemonum, a quibus circumveniebatur, horrescere. Ipsamque theurgiam, quam velut conciliatricem angelorum deorumque commendat, apud tales agere potestates negare non potuit, quae vel ipsae**) invideant purgationi animae vel artibus serviant invidorum, querelam de hac re Chaldaei nescio cuius expromens. Conqueritur, inquit, vir in Chaldaea bonus purgandae animae magno in molimine frustratos sibi esse successus, cum vir ad eadem potens tactus invidia adiuratas sacris precibus potentias alligasset, ne postulata concederent. Ergo et ligavit ille, inquit, et iste non solvit. Quo indicio dixit apparere theurgiam esse tam boni conficiendi quam mali et apud deos et apud homines disciplinam, pati etiam deos et ad illas perturbationes passionesque deduci, quas communiter daemonibus et hominibus Appuleius attribuit[d]. 11. Melius sapuit iste Porphyrius, cum ad Anebontem scripsit Aegyptium, ubi consulenti similis et quaerenti et prodit artes sacrilegas et evertit. Porphyr. Ep. ad Aneb. fol. d 2, a. Gale: Ἐρωτῶ

*) Mss. *sua*, al. *insuper*. Vulg. *superna*. — **) Margo *ipsi*.

δὲ μήποτε ἄλλη τις λανθάνῃ οὖσα ἡ πρὸς εὐδαιμονίαν ὁδὸς ἀφισταμένη τῶν θεῶν. ἀπορῶ δέ, εἰ πρὸς δόξας ἀνθρωπίνας ἐν τῇ θείᾳ μαντικῇ καὶ θεουργίᾳ βλέπειν δεῖ, καὶ εἰ μὴ ἡ ψυχὴ ἐκ τοῦ τυχόντος ἀναπλάττει μεγάλα. ἀλλὰ δὲ καὶ μέθοδοί εἰσιν ἄλλαι περὶ τὴν τοῦ μέλλοντος προμήνυσιν διατρίβουσαι. καὶ ἴσως οἱ θείαν μαντικὴν ἔχοντες προορῶσι μέν, οὐ μήν εἰσι εὐδαίμονες· προορῶσι γὰρ τὰ μέλλοντα, χρῆσθαι δὲ αὐτοῖς καλῶς οὐκ ἐπίστανται. θέλω οὖν παρ' ὑμῶν τὴν εἰς εὐδαιμονίαν ὁδὸν ἐπιδεῖξαί μοι καὶ ἐν τίνι κεῖται ἡ αὐτῆς οὐσία. παρὰ μὲν γὰρ ἡμῖν λογομαχία τίς ἐστι πολλή, ἅτε ἐξ ἀνθρωπίνων λογισμῶν τοῦ εἱκαζομένου ἀγαθοῦ· οἷς δὲ μεμηχάνηται ἡ πρὸς τὸ κρεῖττον συνουσία, εἰ μὲν παρεῖται τὸ μέρος τοῦτο εἰς ἐξέτασιν. μάτην αὐτοῖς ἡ σοφία ἐξήσκηται περὶ δραπέτου εὑρέσεως ἢ χωρίου ὠνῆς ἢ γάμου εἰ τύχοι ἢ ἐμπορίας τὸν θεῖον νοῦν ἐνοχλήσασιν· εἰ δ' οὐ παρεῖται μέν, οἱ δὲ συνόντες περὶ μὲν τῶν ἄλλων τἀληθέστατα λέγουσι, περὶ δὲ εὐδαιμονίας οὐδὲν ἀσφαλὲς οὐδ' ἐχέγγυον ἔχουσι, χαλεπὰ μὲν διαμελετῶντες ἄχρηστα δὲ τοῖς ἀνθρώποις, οὐκ ἦσαν οὔτε θεοὶ οὔτ' ἀγαθοὶ δαίμονες, ἀλλ' ἢ ἐκεῖνος ὁ λεγόμενος πλάνος[e] ἢ πᾶν ἀνθρώπων εὕρημα καὶ θνητῆς φύσεως ἀνάπλασμα[f].

a) Favet theurgicis hoc placitum, Porph. Sentent. 6. *οὐ τὸ ποιοῦν εἰς ἄλλο πελάσει καὶ ἀφῇ ποιεῖ ἃ ποιεῖ, ἀλλὰ καὶ τὰ πελάσει καὶ ἀφῇ τι ποιοῦντα κατὰ συμβεβηκὸς τῇ πελάσει χρῆται.* Vitam, quam in hoc corpore geramus, totam *γοήτευμα* esse dicit, de Abstin. I, 28; ad Marcell. 33. Inter bonos et malos daemonas distinguens hos placandos esse dicit, sed philosopho agendum esse ut liberet se ab omnibus iis, quae malis daemonibus subiecta sint, proptereaque abstinentiam commendat et cruenta reiicit. De Abstin. II, 38. 39. 43. *διὸ συνετὸς ἀνὴρ καὶ σώφρων εὐλαβήσεται τοιαύταις χρῆσθαι θυσίαις, δι' ὧν ἐπισπάσεται πρὸς ἑαυτὸν τοὺς τοιούτους* (malos genios) *σπουδάσει δὲ καθαίρειν τὴν ψυχὴν παντοίως· καθαρᾷ γὰρ ψυχῇ οὐκ ἐπιτίθενται διὰ τὸ αὐτοῖς ἀνόμοιον. εἰ δὲ ταῖς πόλεσιν ἀναγκαῖον καὶ τούτους ἀπομειλίττεσθαι, οὐδὲν πρὸς ἡμᾶς· ταύταις γὰρ καὶ πλοῦτον καὶ τὰ ἐκτὸς καὶ τὰ σωματικὰ ἀγαθὰ εἶναι νενόμισται καὶ τὰ ἐναντία κακά, ὀλίγιστον δ' ἐν αὐταῖς τὸ τῆς ψυχῆς ἐπιμελούμενον.* Summus deus sacrificiis non honoratur, *διὰ δὲ σιγῆς καθαρᾶς καὶ τῶν περὶ αὐτοῦ καθαρῶν ἐννοιῶν θρησκεύομεν αὐτόν.* De Abst. II, 34. Patriorum deorum cultum aperte quidem reiicere non audet, sed tecte subvertit. Ad Marcell. 18. *οὗτος γὰρ μέγιστος καρπὸς εὐσεβείας τιμᾶν τὸ θεῖον καὶ τὰ πάτρια. — — βωμοὶ δὲ θεοῦ ἱερουργούμενοι μὲν οὐδὲν βλάπτουσιν, ἀμελούμενοι δὲ οὐδὲν ὠφελοῦσιν. ὅστις δὲ τιμᾷ τὸν θεὸν ὡς προσδεόμενον, οὗτος λέληθεν ἑαυτὸν δοξάζων τοῦ θεοῦ κρείττονα εἶναι. — — μὴ τοίνυν μίαινε τὸ θεῖον ἀνθρωπίναις ψευδοδοξίαις· οὔτε γὰρ ἐκεῖνο βλάψεις τό γε μακάριον διὰ παντὸς καὶ οὗ πᾶσα βλάβη τῆς*

ἀφθαρσίας ἐξελήλαται, σαυτὴν δὲ τυφλώσεις πρὸς τὴν τῶν μεγίστων καὶ κυριωτάτων διάγνωσιν. Mali daemones vel potius omnes daemones et omnino dii visibiles h. e. sidera eo discrepant a diis non visibilibus (v. not. c), quod ex corpore et anima compositi sunt ideoque neque sempiterni neque immutabiles sunt, quae simul causa est cur sacrificia ab iis requiruntur. De Abst. II, 37—39. — **b)** Rationale sive *λογικὸν* ad solam animam refertur. Sententt. 10. *ἐν νῷ μὲν γὰρ νοερῶς, ἐν ψυχῇ δὲ λογικῶς* — **c)** Theologia huius aetatis multos ordines deorum, geniorum, angelorum, animarum enumerare solet. Porphyrius distinguit inter deos visibiles et non visibiles, de Abst. II, 34. 36; inter genios autem et angelos non distinxisse videtur utrosque animas appellans, hoc nomine amplissima significatione usurpato, ib. 37. 38. Augustinus nostro loco daemonas dicere videtur malas animas, quas Porphyrius bonis opponit, ib. 38, nisi putaveris Porphyrium in his nominibus parum sibi constitisse, quod habet probabilitatem, cum boni daemones soleant ab eo ad aerem, dii vero ad aetherem referri, de Abst. II, 38; Ep. ad Aneb. fol. b 2, a. — **d)** Ubi deos patibiles esse dicit, consentaneum est eum nonnisi de diis visibilibus loqui. Quamquam neque ad hos neque ad bonos genios talis quae h. l. describitur passio pertinet, verum nonnisi ad malos genios. De Abst. II, 38. *ὅσαι μὲν οὖν ψυχαὶ τῆς ὅλης ἐκπεφυκυῖαι μεγάλα μέρη διοικοῦσι τῶν ὑπὸ σελήνην τόπων, ἐπερειδόμεναι μὲν πνεύματι κρατοῦσαι δὲ αὐτοῦ κατὰ λόγον, ταύτας δαίμονάς τε ἀγαθοὺς νομιστέον — —· ὅσαι δὲ ψυχαὶ τοῦ συνεχοῦς πνεύματος οὐ κρατοῦσιν, ἀλλ' ὡς τὸ πολὺ καὶ κρατοῦνται δι' αὐτὸ τοῦτο, ἄγονταί τε καὶ φέρονται λίαν, ὅταν αἱ τοῦ πνεύματος ὀργαί τε καὶ ἐπιθυμίαι τὴν ὁρμὴν λάβωσιν, αὗται δὲ αἱ ψυχαί, δαίμονες μὲν καὶ αὗται, κακοεργοὶ δ' ἂν εἰκότως λέγοιντο.* Verum tamen quum loco supra laudato, de Abst. II, 43, politicus cultus, qui diis placandis inservit, etiam ad malos genios referatur, dixeris eum nostro loco vulgarem usum loquendi secutum esse, malos genios deos appellantem. — **e)** Errores de diis repetit a falsis opinionibus per malos genios in animos nostros iniectis. Ep. ad Aneb. fol. c 2, a; de Abstin. II, 40. — **f)** Patet eum innuere philosophiae viam, quam theurgiae via praestabiliorem esse existimat. Malos genios habere quidem aliquam in nos vim censebat, ut possint novis nocere, ad Marcell. 21, et debeant placari; sed tamen bonum nos invitis illis sequi possumus abstinentia et fortiter obnitendo perturbationibus. Ad Marc. 34. *ἐπὶ σωτηρίας τῆς ψυχῆς ἕτοιμος ἔσο τὸ ὅλον σῶμα ἀποκόπτειν.* Propterea commendat abstinentiam ab animalibus, nos magis etiam diis similiores fore confisus, si a plantarum quoque cibis abstinere possimus. De Abstin. III, 27. Sed facile intelligitur hanc philosophiae viam nihil aliud esse nisi praeparationem, qua perveniamus ad contemplationem eius boni, quod deus nobis largietur, si puri ad eum veniemus. Ad Marc. 24. *τέσσαρα στοιχεῖα μάλιστα κεκρατύνθω περὶ θεοῦ, πίστις, ἀλήθεια, ἔρως, ἐλπίς. πιστεῦσαι γὰρ δεῖ, ὅτι μόνη σωτηρία ἡ πρὸς θεὸν ἐπιστροφή· καὶ σπουδάσαντα ὡς ἔνι μάλιστα σπουδάσαι ταλήθῃ γνῶναι περὶ αὐτοῦ καὶ γνόντα ἐρασθῆναι τοῦ γνωσθέντος· ἐρασθέντο δὲ ἐλπίσιν ἀγαθαῖς τρέφειν τὴν ψυχὴν περὶ τοῦ βίου.* De

Abstin. I, 57. *οὐκ ἔστιν ἄλλως τυχεῖν τοῦ τέλους μὴ*) προσηλωθέντα μέν, εἰ χρὴ φάναι, τῷ θεῷ, ἀφηλωθέντα δὲ ἐκ σώματος καὶ τῶν διὰ τούτου τῆς ψυχῆς ἡδυπαθειῶν.*

3. Iamblichus.

525 Suid. *Ἰάμβλιχος — Χαλκίδος τῆς Συρίας, φιλόσοφος, μαθητὴς Πορφυρίου τοῦ φιλοσόφου*[a], *τοῦ Πλωτίνου ἀκουστοῦ, γεγονὼς κατὰ τοὺς χρόνους Κωνσταντίνου τοῦ βασιλέως*[b]. *ἔγραψε βιβλία φιλόσοφα διάφορα*[c].

a) Ante eam audiverat Anatolium et ipsum Neoplatonicum, v. Eunap. V. Soph. p. 11 Boiss. Hic princeps est scholae Asiaticae Novorum Platonicorum, sicut Proculus Atticae. Cf. Zumpt in Comm. Acad. Berol. a. 1842, p. 74 sq. — **b)** Mortuus est sub Constantino, v. Eunap. p. 20. Iuliani epistolae ad Iamblichum suppositae sunt. Eunapius refert eum multa miracula edidisse. — **c)** Scripta eius, quae supersunt, Pythagoricam philosophiam vel interpretantur vel concelebrant et partes sunt maioris operis, commentationum Pythagoricarum inscripti. Mirum quantum hi libri superstitionibus omnibus referti sunt. In deperditis sunt commentarii super Platone, Aristotele, et philosophia Chaldaica. Ex libris de anima non pauca exstant per I. Stobaeum.

526 Procul. in Tim. II, p. 94. *Περὶ δὲ τῆς ἐν Τιμαίῳ τοῦ Διὸς δημιουργίας γράφων* (sc. *Ἰάμβλιχος*) *μετὰ τὰς νοητὰς τριάδας καὶ τὰς τῶν νοερῶν θεῶν τρεῖς τριάδας ἐν τῇ νοερᾷ ἑβδομάδι τὴν τρίτην ἐν τοῖς πατράσιν**) ἀπονέμει τῷ δημιουργῷ τάξιν.* Ib. V, p. 299. *καὶ ἀπὸ τῶν οὐρανίων δὲ χορῶν πρόεισί τις εἰς τὴν γένεσιν διάταξις διπλασιαζομένη, ὡς φησιν ὁ θεῖος Ἰάμβλιχος· ἀπὸ μὲν γὰρ τῶν εἴκοσι καὶ ἑνὸς ἡγεμόνων γενέσθαι δύο καὶ τετταράκοντα καθ' ἑκάστην στοιχείου λῆξιν*[a] *ἡγεμονίας θεῶν γενεσιουργῶν· ἀπὸ δὲ τῶν ἓξ καὶ τριάκοντα δεκαδαρχῶν δύο καὶ ἑβδομήκοντα προελθεῖν καὶ ἄλλους ὡσαύτως θεούς, πλήθει μὲν διπλασίους τῶν οὐρανίων, δυνάμει δὲ ἀπολειπομένους. δεῖ δὲ καὶ τὰς τριπλᾶς αὐτῶν προόδους θεωρεῖν καὶ τὰς πενταμερεῖς διαιρέσεις καὶ τὴν καθ' ἑβδομάδα θείαν ἀπογέννησιν· ἀνάλογον γὰρ τῷ κόσμῳ παντὶ καὶ τριχῇ διεκοσμήθησαν καὶ πενταχῇ καὶ ἑπταχῇ ἵνα καὶ ἕκαστον τῶν στοιχείων κόσμος ᾖ καὶ ὄντως μίμημα τοῦ παντός. ἡ μὲν δὴ σύντομος διδασκαλία περὶ τῶν ὑπὸ σελήνην*

---

*) Reiske ἤ, f εἰ μή. — **) Ed. Basil. *πραγμασιν*. Illud recepi ex ed. Schneideri, quem etiam in ceteris secutus sum.

θεῶν τοιαύτη τίς ἐστι κατὰ τὰς διπλᾶς οὐσίας καὶ τὰς διφυεῖς ζωὰς καὶ διττὰς λήξεις προεληλυθότων.

a) Cf. Iambl. ap. Stob. Ecl. p. 904. *τὰ στοιχεῖα, μεθ' ὧν καὶ αἱ ψυχαὶ συνεκληρώθησαν καθ' ἑκάστην τοιαύτην λῆξιν.* Respicere videtur Plat. Legg. V extr.

Poterit ex illis existimari, quantum Neoplatonici non solum theologia sua sed etiam numerorum doctrina a Pythagoreis adscita effecerint ad vulgares de deorum multitudine opiniones non solum confirmandas, sed etiam amplificandas. Iamblichus theurgiam eodem studio sectatur, quo scriptor de mysteriis Aegyptiorum, v. n. 530. Censet ille simulacra, quae de coelo deciderint sive etiam quae humana manu facta rite consecrata sint, plena esse praesentiae atque effectus divini. Cf. excerpta ex libro *περὶ ἀγαλμάτων*, ap. Phot. cod. 215.

Olympiodor. Comm. ined. in Plat. Phaed. *Προστίθησιν* 527
ὁ Ἰάμβλιχος ἐν τοῖς περὶ τῶν ἀρετῶν, ὅτι εἰσὶ καὶ ἱερατικαὶ ἀρεταὶ κατὰ τὸ θεοειδὲς ὑφιστάμεναι τῆς ψυχῆς, ἀντιπαρελθοῦσαι πάσαις ταῖς εἰρημέναις οὐσιώδεσιν οὔσαις, ἑνιαῖαι δὲ ὑπάρχουσαι.

Publicavit haec Cousin *Journ. des Sax.* 1835, p. 149 in. *Ἀρεταὶ οὐσιώδεις* sunt virtutes intellectuales, quia intellectus coniunctus est cum *οὐσίᾳ*, n. 512, not. b; *ἱερατικαὶ* contra virtutes sunt *ἑνιαῖαι* quia uniunt nos cum Uno, virtutibus igitur intellectualibus superiores sunt.

Procl. in Tim. V, p. 341. *Ὀρθῶς ἄρα καὶ ὁ θεῖος Ἰάμ-* 528
βλιχος διαγωνίζεται πρὸς τοὺς ταῦτα οἰομένους[a]*. τί γὰρ τὸ ἁμαρτάνον ἐν ἡμῖν, ὅταν τῆς ἀλογίας κινησάσης πρὸς ἀκόλαστον φαντασίαν ἐπιδράμωμεν; ἆρ' οὐχ ἡ προαίρεσις; καὶ πῶς οὐχ αὕτη; κατὰ γὰρ ταύτην διαφέρομεν τῶν φαντασθέντων προπετῶς. εἰ δὲ ἡ προαίρεσις ἁμαρτάνει, πῶς ἀναμάρτητος ἡ ψυχή; τί δὲ τὸ ποιοῦν εὐδαίμονα τὴν ὅλην ἡμῶν ζωήν; ἆρ' οὐ τὸ τὸν λόγον σχεῖν τὴν οἰκείαν ἀρετήν; πάντως δήπου φήσομεν. εἰ δὲ ὅταν τὸ ἐν ἡμῖν κράτιστον τέλειον ᾖ καὶ τὸ ὅλον ἡμῶν εὔδαιμον, τί κωλύει καὶ νῦν ἡμᾶς εὐδαίμονας εἶναι ἀνθρώπους ἅπαντας, εἰ τὸ ἀκρότατον ἡμῶν ἀεὶ νοεῖ καὶ ἀεὶ πρὸς τοῖς θείοις ἐστίν;*

a) Id est contra Plotinum et Theodorum Asinaeum, auditorem Porphyrii, *ἀπαθές τι φυλάττοντας ἐν ἡμῖν καὶ ἀεὶ νοοῦν.* Iamblichus eodem in philosophando tendebat, quo scriptor de myster. Aeg., v. n. 534, ut animam non idoneam esse evinceret quae per se h. e. solius intellectus instrumento ad summi dei contemplationem emergere posset. Id maxime agit, ut animam nostram inopem esse, peccatis contaminatam, felicitate orbam demonstret, indeque theurgiae necessitatem legentibus approbet.

4. Aedesius. Chrysanthius.

529 Eunap. V. Soph. p. 19. *Ἐκδέχεται δὲ τὴν Ἰαμβλίχου διατριβὴν καὶ ὁμιλίαν ἐς τοὺς ἑταίρους Αἰδέσιος ὁ ἐκ Καππαδοκίας, — — μικρὸν ἀποδέων Ἰαμβλίχου, πλὴν ὅσα γε εἰς θειασμὸν*[a] *Ἰαμβλίχου φέρει· τούτων γὰρ οὐδὲν εἴχομεν ἀναγράφειν, ὅτι τὸ μὲν ἐπέκρυπτεν ἴσως Αἰδέσιος αὐτὸς διὰ τοὺς χρόνους (Κωνσταντῖνος γὰρ ἐβασίλευε τά τε τῶν ἱερῶν ἐπιφανέστατα καταστρέφων καὶ τὰ τῶν Χριστιανῶν ἀνεγείρων οἰκήματα), τὰ δὲ ἴσως καὶ τῶν ὁμιλητῶν ἄριστον πρὸς μυστηριώδη τινὰ σιωπὴν καὶ ἱεροφαντικὴν ἐχεμυθίαν ἐπιρρεπὲς ἦν καὶ συνεκέκλιτο. ὁ γοῦν ταῦτα γράφων ἐκ παιδὸς ἀκροατὴς Χρυσανθίου γενόμενος μόλις εἰς εἰκοστὸν ἔτος ἠξιοῦτο τῶν ἀληθεστέρων*[b].

a) Cogitandum non modo de vaticinationibus Iamblichi, sed etiam de miraculis, quae ille frequentare solebat. Quamquam miraculorum non omnes aeque studiosi fuerunt Neoplatonici: quo pertinet imprimis quod narrat Eunap. Vit. Soph. p. 49 sq. Eusebius, discipulus Aedesii, in conclusione praelectionum praedicare consueverat, *ὡς ταῦτα εἴη τὰ ὄντως ὄντα, αἱ δὲ τὴν αἴσθησιν ἀπατῶσαι μαγγανεῖαι καὶ γοητεύουσαι θαυματοποιῶν ἔργα καὶ πρὸς ὑλικάς τινας δυνάμεις παραπαιόντων καὶ μεμηνότων.* Quae pronuntiabantur adversus Maximum, alium Aedesii discipulum, qui *διὰ μέγεθος φύσεως καὶ λόγων ὑπεροχὴν καταφρονήσας τῶν ἐν τούτοις ἀποδείξεων* pro argumentis miracula exhibenda putabat. Quo studio quantum indulserit patet ex hisce, ib. p. 109. *ὁ μὲν γὰρ ἔχων τι φιλόνεικον ἐν τῇ φύσει καὶ δυσεκβίαστον τοῖς φανθεῖσι σημείοις παρὰ τῶν θεῶν ἀντιβαίνων ἕτερα ᾔτει καὶ προσηνάγκαζεν.* Talem ille rationem secutus est, cum signa eum ad Iulianum imperatorem vocatum a proficiscendo retinere viderentur. — **b)** Chrysanthius erat discipulus Aedesii, Iuliani imperatoris doctor, Eunap. l. l. p. 49. Omnino Neoplatonici, quo magis Christianorum instituta invalescebant, eo magis artificiis istis theurgicis ipsique placitorum suorum professioni latibula quaerere cogebantur: quo pertinent multa quae narrantur de vitis eorum. Quamquam et ipsi ultro amabant secreta simulare; simulque fiducia miraculorum atque ipsius artis theurgicae, cui tantum olim tribuerant, labefactata fuisse videtur.

5. Scriptor de mysteriis Aegyptiorum.

530 De Myster. Aeg. I, 3[a]. *Εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, οὐδὲ γνῶσίς ἐστιν ἡ πρὸς τὸ θεῖον συναφή· διείργηται γὰρ αὕτη πως ἑτερότητι. — — Ὁ δὲ αὐτός ἐστί μοι λόγος πρός σε καὶ περὶ τῶν συνεπομένων θεοῖς κρειττόνων γενῶν, δαιμόνων φημὶ καὶ ἡρώων καὶ ψυχῶν ἀχράντων. — — Ἐοικέτω δὴ οὖν τοῖς ἀϊδίοις*

τῶν θεῶν συνοπαδοῖς καὶ ἡ σύμφυτος αὐτῶν κατανόησις. ὥσπερ οὖν αὐτοὶ τὸ εἶναι ἔχουσιν ἀεὶ ὡσαύτως, οὕτως καὶ ἀνθρωπίνη ψυχὴ κατὰ τὰ αὐτὰ τῇ γνώσει πρὸς αὐτοὺς συναπτέσθω, εἰκασίᾳ μὲν ἢ δόξῃ ἤ συλλογισμῷ τινι, ἀρχομένοις ποτὲ ἀπὸ χρόνου, μηδαμῶς τὴν ὑπὲρ ταῦτα πάντα οὐσίαν μεταδιώκουσα, ταῖς δὲ καθαραῖς καὶ ἀμέμπτοις νοήσεσιν, αἷς εἴληφεν ἐξ ἀϊδίου παρὰ τῶν θεῶν, ταύταις αὐτοῖς συνηρτημένη. σὺ δ' ἔοικας ἡγεῖσθαι τὴν αὐτὴν εἶναι τῶν θείων καὶ τῶν ἄλλων ὁποιωνοῦν γνῶσιν, δίδοσθαί τε ἀπὸ τῶν ἀντικειμένων τὸ ἕτερον μόριον, ὥσπερ εἴωθε καὶ ἐπὶ τῶν ἐν τοῖς διαλεκτικοῖς) προτεινομένων. τὸ δὲ οὐκ ἔστιν οὐδαμῶς παραπλήσιον· ἐξήλλακται γὰρ αὐτῶν ἡ εἴδησις ἀντιθέσεώς τε πάσης κεχώρισται, καὶ οὐκ ἐν τῷ συγχωρεῖσθαι νῦν ἢ ἐν τῷ γίγνεσθαι ὑφέστηκεν, ἀλλ' ἦν ἐξ ἀϊδίου μονοειδὴς ἐπὶ τῇ ψυχῇ συνυπάρχουσα.*

a) Scriptor huius libri, qui sub Aegyptii sacerdotis persona Porphyrii epistolae ad Anebontem (n. 523, not. f) respondet, auctore Proculo (ap. Anonymum, cuius testimonium praefixum est codd. Mss. libri de Myster.) vulgo Iamblichus esse fertur, quod cum magna probabilitate impugnavit Meiners Comment. Soc. Gotting. Vol. IV, p. 50 sqq. Nos nonnulla ex eo excerpsimus, ut quibus rationibus haec schola theurgiae patrocinata sit intelligatur.

Rationem haud sufficere ponens, si quaeratur de veritate non solum summi dei, verum etiam inferiorum deorum, geniorum etc., omnes dubitationes refutat, quas contra theurgiam moverat Porphyrius, cf. n. 524. Sequitur ut neget contrarium inter id quod patitur quid et quod non patitur ad deos referri posse, I, 10. 21, similiterque eam dubitationem, qua quaeritur dei, qui sint sine passione, an possint nostris precibus, incantationibus ceterisve artibus magicis cogi ut nobis largiantur aliquid, eam igitur dubitationem eo removet, quod deorum operationem sacris rite peractis nullo contrario nullaque differentia impediri contendit. IV, 3. *πολὺ δὴ οὖν κρεῖττόν ἐστι τὸ νυνὶ λεγόμενον, τὸ μὴ δι' ἐναντιώσεως ἢ διαφορότητος ἀποτελεῖσθαι τὰ τῶν θεῶν ἔργα, ὥσπερ δὴ τὰ γιγνόμενα εἴωθεν ἐνεργεῖσθαι, ταυτότητι δὲ καὶ ἑνώσει καὶ ὁμολογίᾳ τὸ πᾶν ἔργον ἐν αὐτοῖς κατορθοῦσθαι. ἐὰν μὲν οὖν καλοῦν ἢ καλούμενον ἢ ἐπιτάττον ἢ ἐπιταττόμενον ἢ κρεῖττον ἢ χεῖρον διαιρῶμεν, τὴν τῶν γενέσεων ἐπὶ τὰ τῶν θεῶν ἀγέννητα ἀγαθὰ μεταφέρομέν πως ἐναντιότητα.* Omnino id huic scriptori propositum est, ut superius quodque ita se ad id quod cum eo coniunctum est inferius, velut animam ad corpus, habere demonstret, ut illud ab hoc nihil omnino patiatur, I, 10. Propterea emanatio quaeque non eius actu fieri statuitur, unde quid emanat, sed eius quod

---

*) Mss. *ταῖς διαλέκτοις*. Coni. Gale.

emanat. VIII, 2. *ἀπὸ δὲ τοῦ ἑνὸς τούτου ὁ αὐτάρκης θεὸς ἑαυτὸν ἐξέλαμψε· διὸ καὶ αὐτοπάτωρ καὶ αὐτάρκης.*

531 De Myster. Aeg. I, 17. *Μεταλάβωμεν οὖν ἀντὶ ταύτης* (sc. *τῆς διαιρέσεως*[a]) *ἅπερ ἠπόρησας πρὸς τὴν παροῦσαν δόξαν. πῶς γὰρ δὴ ἥλιός τε καὶ σελήνη, κατὰ τὸν σὸν λόγον, καὶ οἱ ἐν οὐρανῷ ἐμφανεῖς ἔσονται θεοί, εἰ ἀσώματοι μόνως οἱ θεοί; ὅτι δὴ οὐ περιέχονται ὑπὸ τῶν σωμάτων, φαμὲν ἡμεῖς, ἀλλὰ ταῖς θείαις ζωαῖς καὶ ἐνεργείαις περιέχουσι*) *τὰ σώματα, καὶ ὅτι οὐ πρὸς τὸ σῶμα ἐπιστρέφονται, ἀλλὰ τὸ σῶμα ἔχουσιν ἐπιστρεφόμενον εἰς τὴν θείαν αἰτίαν, καὶ ὅτι τὴν νοερὰν αὐτῶν καὶ ἀσώματον τελειότητα οὐκ ἐμποδίζει τὸ σῶμα οὐδὲ μεταξὺ παρεμπῖπτον πράγματα αὐτῇ παρέχει· ὅθεν δὴ οὐδὲ δεῖται πλείονος ἐπιμελείας, αὐτοφυῶς δὲ καὶ τρόπον τινὰ*[b] *αὐτοκινήτως συνέπεται, οὐκ αὐτουργικῆς δεόμενον ἐπιστασίας, τῇ δὲ πρὸς τὸ ἓν τῶν θεῶν ἀναγωγῇ καὶ αὐτὸ ὑφ' ἑαυτοῦ μονοειδῶς συνεπαιρόμενον. εἰ δὲ δεῖ καὶ τοῦτο εἰπεῖν, τὸ οὐράνιον σῶμα πρὸς αὐτὴν τὴν ἀσώματον οὐσίαν τῶν θεῶν ἐστὶ συγγενέστατον· μιᾶς μὲν γὰρ ἐκείνης οὔσης αὐτὸ ἁπλοῦν ἐστίν, ἀμερίστου δὲ ἀδιαίρετον, καὶ ἀτρέπτου ὡσαύτως ἀναλλοίωτον. — διόπερ οὐδ' ὡς ἐξ ἐναντίων καὶ διαφερόντων οὔτε τὸ σῶμα αὐτῶν συγκέκραται, ὥσπερ δὴ τὸ ἡμέτερον συνίσταται σῶμα, οὔτε ἡ ψυχὴ πρὸς τὸ σῶμα συνεπάγη εἰς ἓν ἐκ δύο ζῷον, ἀλλ' ὅμοια πάντη καὶ συνηνωμένα, δι' ὅλων τε ὅλα καὶ μονοειδῆ καὶ ἀσύνθετα τὰ κατ' οὐρανὸν τῶν θεῶν ἐστὶ ζῷα*[c]*. τῶν μὲν γὰρ κρειττόνων ἐν αὐτοῖς ἀεὶ ὑπερεχόντων ὡσαύτως, τῶν δὲ ἐλαττόνων ἐξηρτημένων τῆς κρειττόνων***) *ἀρχῆς καὶ οὐδέποτε αὐτὴν εἰς ἑαυτὰ κατατεινόντων, τῶν δ' ὅλων εἰς μίαν σύνταξιν καὶ μίαν συντέλειαν συναγομένων καὶ τρόπον τινὰ πάντων ἀσωμάτων ὄντων καὶ θεῶν δι' ὅλου, διότι τὸ θεῖον εἶδος ἐν αὐτοῖς ἐπικρατοῦν δι' ὅλων τὴν αὐτὴν πανταχοῦ ὅλην μίαν οὐσίαν ἐντίθησιν. οὕτω μὲν οὖν οἱ κατ' οὐρανὸν ἐμφανεῖς θεοί τέ εἰσι πάντες καὶ τρόπον τινὰ ἀσώματοι.*

a) Superiore capite demonstraverat distinctionem inter corporale et incorporale non posse ad differentiam deorum et daemonum referri, quia hac ratione dei et linea et tempus et ab altera parte daemones et ignis et aqua ad idem genus redire viderentur. Iam vero, cum nolit nimis

*) Mss. *παρέχουσι*. Coni. Gale. — **) Recepi ex cod. Basil. Vulg. *προτέρων*.

severe, ut ait, examinare hanc distinctionem, eam ipsam transfert ad ea quae deinde disputantur. — **b)** Nam patet materiam non posse sua sponte moveri. — **c)** Namque dubitatio Porphyrii in alia insuper ratione nititur. Dicit deos esse substantias puras atque intelligibiles, quae non sint ex corpore et anima mixtae, cf. n. 524, not. a, et deinde numquid possint esse dei compositi quaerit. Propterea demonstrandum erat *τοὺς κατ' οὐρανὸν ἐμφανεῖς θεοὺς εἶναι τρόπον τινὰ ἀσωμάτους*, quae leguntur in sequentibus.

Similiter iudicat de differentia inter deos et genios, quamquam concedit eos minus perfectam naturam habere, videlicet propter corpus iis inhaerescens. I, 20. *οὐ τὸ**) *τῶν σωμάτων οὖν ἐπιμελεῖσθαι φέρει τινὰ ἐλάττωσιν. οἷς ὑπηρετεῖ τὸ σῶμα, καὶ συνέχεται ὑπὸ τοῦ κρείττονος καὶ ἐπέστραπται***) *πρὸς αὐτὸ καὶ οὐδὲν ἐμπόδιον αὐτῷ παρέχει, ἀλλὰ τὸ τῇ γενεσιουργῷ φύσει προσκεῖσθαι καὶ μερίζεσθαι παρ' αὐτὴν ἐξ ἀνάγκης καταδεεστέραν μοῖραν δίδωσι τοῖς δαίμοσιν. ὅλως δὲ τὸ μὲν θεῖόν ἐστιν ἡγεμονικὸν καὶ προϊστάμενον τῆς ἐν τοῖς οὖσι διατάξεως, διακονικὸν δὲ τὸ δαιμόνιον καὶ παραδεχόμενον ἅπερ ἂν παρραγγείλωσιν οἱ θεοί, προθύμως αὐτουργίᾳ****) *χρώμενοι περὶ ὧν οἱ θεοὶ νοοῦσί τε καὶ βούλονται καὶ ἐπιτάττουσι· τοιγαροῦν οἱ θεοὶ τῶν ῥεπουσῶν εἰς τὴν γένεσιν δυνάμεων εἰσὶν ἀπηλλαγμένοι, δαίμονες δὲ τούτων οὐ πάντη καθαρεύουσι.*

De Myster. Aeg. I, 18. *Ἡ δ' ἑξῆς ἐπιζήτησις ἡ σὴ διαπορεῖ, πῶς αὐτῶν οἱ μέν εἰσιν ἀγαθοποιοὶ οἱ δὲ κακοποιοί. εἴληπται μὲν οὖν ἀπὸ τῶν γενεθλιαλόγων αὕτη ἡ δόξα, πάντη δὲ διαμαρτάνει τοῦ ὄντος. ἀγαθοί τε γάρ εἰσιν ἅπαντες καὶ ἀγαθῶν αἴτιοι ὡσαύτως, πρὸς ἕν τε ἀγαθὸν ὑποβλέποντες*†) *ἑνοειδῶς περιάγονται κατὰ τὸ μόνον, τὸ καλὸν καὶ ἀγαθόν. οὐ μὴν ἀλλὰ τά γε ὑποκείμενα αὐτοῖς σώματα καὶ αὐτὰ ἀμηχάνους ὅσας ἔχει δυνάμεις, τὰς μὲν ἐν αὐτοῖς τοῖς θείοις σώμασι μονίμως ἑστώσας τὰς δὲ ἀπ' αὐτῶν προϊούσας εἰς τὴν φύσιν τοῦ κόσμου καὶ αὐτὸν τὸν κόσμον, δι' ὅλης τε τῆς γενέσεως ἐν τάξει κατιούσας καὶ μέχρι τῶν κατὰ μέρος διατεινούσας ἀκωλύτως.* 532

Deos nil mali efficere necessario ex antecedendibus consequitur, ubi ponebatur absolutum penes eos materiae imperium esse. Quod ex geniorum effectibus procedere videatur malum, id revocatur ad partes materiales eorum qui deorum effectus in se recipiant, l. l.: *ὥσπερ οὖν τὸ γιγνόμενον τοῦ ὄντος γεννητῶς καὶ τὸ σῶμα τοῦ ἀσωμάτου σωματοειδῶς μεταλαμβάνει, οὕτω καὶ τὰ ἐν τῇ γενέσει φυσικὰ καὶ ἔννλα τῶν ἀΰλων καὶ ὑπὲρ-*

---

*) *τὸ* deest in codd. Adiecit Gale ex coni. — **) Mss. *ἀπέστρ.* Corr. Gale. — ***) Mss. *αὐτουργίαν.* Corr. Gale. — †) Recepimus ex Mss. Gale ex aliis ut videtur *ἅπαντες.* In seqq. leg. v. *κατὰ τὸ μόνον ὄν, τ. κ.*

τὴν φύσιν καὶ γένεσιν αἰθερίων σωμάτων ἀτάκτως καὶ πλημμελῶς ἔστιν ὅπου μεταλαμβάνει. Sed admittuntur etiam mali daemones, ad quos tamen vera theurgia nihil pertinet, III, 31.

533 Ib. V, 23. *Πέφυκεν ἀεὶ τῶν ἀκροτάτων ἡ περιουσία τῆς δυνάμεως καὶ ἐν τῷδε ὑπερέχειν τῶν ὅλων, ἐν τῷ παρεῖναι πᾶσιν ἐξ ἴσου τὴν αὐτὴν ἀνεμποδίστως. ἐλλάμπει τοίνυν κατὰ τοῦτον τὸν λόγον καὶ τοῖς ἐσχάτοις τὰ πρώτιστα καὶ πάρεστιν ἀΰλως τοῖς ἐνύλοις τὰ ἄϋλα. μὴ δή τις θαυμαζέτω ἐὰν καὶ ὕλην τινὰ καθαρὰν καὶ θείαν εἶναι λέγωμεν· ἀπὸ γὰρ τοῦ πατρὸς καὶ δημιουργοῦ τῶν ὅλων καὶ αὐτὴ γενομένη τὴν τελειότητα ἑαυτῆς ἐπιτηδείαν κέκτηται πρὸς θεῶν ὑποδοχήν. καὶ ἅμα οὐδὲν διείργει*) τὰ κρείττονα πρὸς τὸ δύνασθαι τὰ καταδεέστερα ἑαυτῶν ἐλλάμπειν. οὐδὲ τὴν ὕλην οὖν ἀφίστησιν οὐδὲ τῆς τῶν βελτιόνων μετουσίας, ὥστε ὅση τελεία καὶ καθαρὰ καὶ ἀγαθοειδὴς**) ὑπάρχει πρὸς θεῶν ὑποδοχήν ἐστιν οὐκ ἀνάρμοστος· ἐπεὶ γὰρ ἔδει καὶ τὰ ἐν γῇ μηδαμῶς εἶναι ἄμοιρα τῆς θείας κοινωνίας, ἐδέξατό τινα ἀπ' αὐτῆς θείαν μοῖραν καὶ ἡ γῆ, ἱκανὴν οὖσαν χωρῆσαι τοὺς θεούς, ταῦτα τοίνυν κατιδοῦσα ἡ θεουργικὴ τέχνη, κοινῶς δὲ οὕτωσὶ κατ' οἰκειότητα ἑκάστου τῶν θεῶν τὰς προσφόρους ὑποδοχὰς ἀνευρίσκουσα, συμπλέκει πολλάκις λίθους, βοτάνας, ζῷα, ἀρώματα ἱερὰ καὶ τέλεια καὶ θεοειδῆ, κἄπειτα ἀπὸ πάντων τούτων ὑποδοχὴν ὁλοτελῆ καὶ καθαρὰν ἀπεργάζεται. οὐ γὰρ δὴ δεῖ δυσχεραίνειν πᾶσαν ὕλην, ἀλλὰ μόνην τὴν ἀλλοτρίαν τῶν θεῶν· τὴν δὲ οἰκείαν πρὸς αὐτοὺς ἐκλέγεσθαι ὡς συμφωνεῖν δυναμένην, εἴς τε θεῶν οἰκοδομήσεις καὶ καθιδρύσεις ἀγαλμάτων, καὶ δὴ καὶ εἰς τὰς τῶν θυσιῶν ἱερουργίας. οὐδὲ γὰρ ἂν ἄλλως τοῖς ἐπὶ γῆς τόποις ἢ τοῖς δεῦρο κατοικοῦσιν ἀνθρώποις μετουσία ἂν γένοιτο τῆς τῶν κρειττόνων λήψεως, εἰ μή τις τοιαύτη καταβολὴ πρώτη προενιδρυθείη*[a] πείθεσθαι δὲ χρὴ τοῖς ἀπορρήτοις λόγοις. ὡς καὶ διὰ τῶν μακαρίων θεαμάτων ὕλη τις ἐκ θεῶν παραδίδοται. αὕτη δή που συμφυής ἐστιν αὐτοῖς ἐκείνοις τοῖς διδοῦσιν. οὐκοῦν καὶ ἡ τῆς τοιαύτης ὕλης θυσία ἀνεγείρει τοὺς θεοὺς ἐπὶ τὴν ἔμφασιν καὶ προσκαλεῖται εὐθέως πρὸς κατάληψιν, χωρεῖ τε αὐτοὺς παραγιγνομένους καὶ τελείως ἐπιδείκνυσι*[b].

a) Cf. n. 534. 535. — **b)** De deorum apparitionibus pro varietate ordinum variis v. II, 3 sqq.

---

*) Mss. *διέργει*. Corr. Gale. — **) Codd. *ὅσα τέλεια κ. κ. κ. ἀγαθοειδῆ*. Corr. Gale.

Ib. II, 11. *Οὐδὲ γὰρ ἡ ἔννοια συνάπτει τοῖς θεοῖς τοὺς* 534
θεουργούς· ἐπεὶ τί ἐκώλυε τοὺς θεωρητικῶς φιλοσοφοῦντας ἔχειν τὴν θεουργικὴν ἕνωσιν πρὸς τοὺς θεούς; νῦν δὲ οὐκ ἔχει τό γε ἀληθὲς οὕτως, ἀλλ' ἡ τῶν ἔργων τῶν ἀρρήτων καὶ ὑπὲρ πᾶσαν νόησιν θεοπρεπῶς ἐνεργουμένων τελεσιουργία ἥ τε τῶν νοουμένων τοῖς θεοῖς μόνοις συμβόλων ἀφθέγκτων δύναμις ἐντίθησι τὴν θεουργικὴν ἕνωσιν. διόπερ οὐδὲ τὸ νοεῖν αὐτὰ ἐνεργοῦμεν· ἔσται γὰρ οὕτω νοερὰ ἡ αὐτῶν) ἐνέργεια καὶ ἀφ' ἡμῶν ἐνδιδομένη· τὸ δ' οὐδέτερόν ἐστιν ἀληθές. καὶ γὰρ μὴ νοούντων ἡμῶν αὐτὰ τὰ συνθήματα ἀφ' ἑαυτῶν δρᾷ τὸ οἰκεῖον ἔργον καὶ ἡ τῶν θεῶν, πρὸς οὓς ἀνήκει ταῦτα, ἄρρητος δύναμις, αὐτὴ ἀφ' ἑαυτῆς ἐπιγιγνώσκει τὰς οἰκείας εἰκόνας, ἀλλ' οὐ τῷ διεγείρεσθαι ὑπὸ τῆς ἡμετέρας νοήσεως· οὐδὲ γὰρ ἔχει φύσιν τὰ περιέχοντα ὑπὸ τῶν περιεχομένων οὐδὲ τέλεια ὑπὸ τῶν ἀτελῶν οὐδ' ὑπὸ τῶν μερῶν τὰ ὅλα ἀνακινεῖσθαι· ὅθεν δὴ οὐδ' ὑπὸ τῶν ἡμετέρων νοήσεων προηγουμένως τὰ θεῖα αἴτια προκαλεῖται εἰς ἐνέργειαν, ἀλλὰ ταύτας μὲν καὶ τὰς ὅλας τῆς ψυχῆς ἀρίστας διαθέσεις καὶ τὴν περὶ ἡμᾶς καθαρότητα, ὡς συναίτια ἄττα προϋποκεῖσθαι χρή, τὰ δ' ὡς κυρίως ἐγείροντα τὴν θείαν θέλησιν αὐτὰ τὰ θεῖά ἐστιν συνθήματα. καὶ οὕτως τὰ τῶν θεῶν αὐτὰ ὑφ' ἑαυτῶν ἀνακινεῖται, ὑπ' οὐδενὸς τῶν ὑποδεεστέρων ἐνδεχόμενά τινα εἰς ἑαυτὰ ἀρχὴν τῆς οἰκείας ἐνεργείας.*

Similiter I, 12 preces non deos ad nos detrahere affirmat, sed nos ad deos evehere.

Ib. V, 14. *Ἀρχὴ δὲ πασῶν ἀρίστη, ἥ τῆς τῶν θεῶν τάξεως* 535
τὸν θεσμὸν τῶν θυσιῶν ἐχόμενον ἐπιδείκνυσιν· ἄνωθεν οὖν τοὺς μὲν ὑλαίους τῶν θεῶν τοὺς δὲ ἀΰλους ὑποθώμεθα, ὑλαίους μὲν τοὺς τὴν ὕλην περιέχοντας ἐν ἑαυτοῖς καὶ διακοσμοῦντας, ἀΰλους δὲ παντελῶς τοὺς ἐξῃρημένους ἀπὸ τῆς ὕλης καὶ ὑπερέχοντας. κατὰ δὲ τὴν τῶν ἱερέων τέχνην ἄρχεσθαι χρὴ τῶν ἱερουργιῶν ἀπὸ τῶν ὑλαίων· οὐ γὰρ ἂν ἄλλως ἐπὶ τοὺς ἀΰλους θεοὺς γένοιτο ἡ ἀνάβασις. οὗτοι δὴ οὖν ἔχουσί τινα κοινωνίαν πρὸς τὴν ὕλην καθόσον αὐτῆς ἐπιβεβήκασιν. οἱ αὐτοὶ δὴ οὖν καὶ τῶν περὶ τὴν ὕλην ἐγγιγνομένων ἐπάρχουσιν, οἷον διαιρέσεων, πληγῆς ἀντιτύπου, μεταβολῆς, γενέσεως, φθορᾶς, πάντων τῶν ἐνύλων σωμάτων. εἰ

*) Ed. *ἡ αὐτῶν ἡ ἐνέργεια.*

δή τις τοὺς τοιούτους βούλοιτο θεραπεύειν θεουργικῶς, ᾗ πεφύκασι καὶ ᾗ τὴν ἀρχὴν εἰλήχασι, ταύτῃ*) προσεκτέον αὐτοῖς τὴν θεραπείαν, ἐνύλοις οὖσιν αὐτοῖς ἔνυλον οὖσαν. 15. Σκεψόμεθα δὴ τὸ μετὰ τοῦτο συμφώνως τοῖς προειρημένοις καὶ τὴν ἡμετέραν διπλῆν κατάστασιν· ὁτὲ μὲν γὰρ ὅλη ψυχὴ γιγνόμεθα καὶ ἐσμὲν ἔξω τοῦ σώματος μετέωροί τε τῷ νῷ**) μεθ' ὅλων τῶν ἀΰλων θεῶν μετεωροπολοῦμεν, ὁτὲ δ' αὖ δεδέμεθα ἐν τῷ ὀστρεώδει[a] σώματι καὶ ὑπὸ τῆς ὕλης κατεχόμεθα καὶ ἐσμὲν σωματοειδεῖς. πάλιν οὖν ἥκει τῆς θρησκείας ὁ διπλοῦς τρόπος· ὁ μὲν γὰρ ἔσται ἁπλοῦς, ἀσώματος, ἁγνὸς ἀπὸ πάσης γενέσεως, ὅστις ταῖς ἀχράντοις ἐπιβάλλει ψυχαῖς, ὁ δ' ἀναπιμπλάμενος τῶν σωμάτων καὶ τῆς ἐνύλου πάσης πραγματείας, ὅστις ταῖς μὴ καθαραῖς πρέπει ψυχαῖς μηδὲ ἀπολυθείσαις πάσης γενέσεως. καὶ θυσιῶν τοίνυν τίθημι διττὰ εἴδη, τὰ μὲν τῶν ἀποκεκαθαρμένων παντάπασιν ἀνθρώπων, οἷα ἐφ' ἑνὸς ἄν ποτε γένοιτο σπανίως, ὡς φησιν Ἡράκλειτος, ἢ τινων ὀλίγων εὐαριθμήτων ἀνδρῶν, τὰ δ' ἔνυλα καὶ σωματοειδῆ καὶ διὰ μεταβολῆς συνιστάμενα, οἷα τοῖς ἔτι κατεχομένοις ὑπὸ τοῦ σώματος ἁρμόζει[b]. πόλεσι τοίνυν καὶ δήμοις οὐκ ἀπολελυμένοις τῆς γενεσιουργοῦ μοίρας καὶ τῆς ἀντεχομένης τῶν σωμάτων κοινωνίας εἰ μὴ δώσει τις τὸν τοιοῦτον τρόπον τῆς ἁγιστείας ἀμφοτέρων διαμαρτήσει, καὶ τῶν ἀΰλων ἀγαθῶν καὶ τῶν ἐνύλων· τὰ μὲν γὰρ οὐ δύναται δέξασθαι, τοῖς δὲ οὐ προσάγει τὸ οἰκεῖον.

a) Adiectivum fictum ex similitudine Platonis de Rep. X, p. 611 D. — **b)** V, 18 sqq. triplex hominum genus esse statuitur, mediis quibusdam hominibus positis, qui ex parte corpori pareant ex parte ab eo soluti et liberi sint ideoque duplici deorum cultu indigeant. Ceterum concedit ille quidem esse paucos, qui *ὑπερφυεῖ τινὶ δυνάμει τοῦ νοῦ χρώμενοι τῆς φύσεως μὲν ἀφίστανται, πρὸς δὲ τὸν χωριστὸν καὶ ἀμιγῆ νοῦν περιάγονται*, neque propterea indigeant sacrificiis materialibus; sed existimat etiam hos eo non posse perduci nisi per inferiora genera theurgiae. Ib. 20. *οὐ δεῖ δή τὸ ἑνί ποτε****) *μόλις καὶ ὀψὲ παραγιγνόμενον ἐπὶ τῷ τέλει τῆς ἱερατικῆς τοῦτο κοινὸν ἀποφαίνειν πρὸς ἅπαντας ἀνθρώπους, ἀλλ' οὐδὲ πρὸς τοὺς ἀρχομένους τῆς θεουργίας ποιεῖσθαι αὐτόχρημα κοινόν, οὐδὲ πρὸς τοὺς μεσοῦντας ἐν αὐτῇ*. Quapropter cavendum ne ullum deum, etiam qui sunt inferiorum ordinum et ceterorum satellites, negligamus aut vilipendamus; unicuique suus honos habendus; ib. 21. Deorum cultus perinde

*) Scr. ex coni. Gale. Mss. *ταύτην*. — **) Coni. Gale. Mss. *τῶν*. — ***) Ed. *ἐνίποτε*. Gale *ἐνίοτε*.

varius et multiplex est atque potestates mundi; ib. 22. Daemones custodiunt mysteria, VI, 7. Theurgia unica ad felicitatem via est, X, 1.

6. Proculus.

Suidas. *Πρόκλος ὁ Λύκιος*[a], *μαθητὴς Συριανοῦ, ἀκουστὴς* 536
δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου[b], *καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης*[c]. *ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά*[d].

a) Ita appellabatur, quia parentes eius ex Lycia prognati erant, et quia ipse Xanthi in Lycia primum educatus erat. Natus vero ipse erat Constantinopoli, v. Marin. Vit. Procl. 6, anno p. Chr. 410, nam mortuus est a. 485, annos 75 natus, teste Marino ib. 36, cf. Clinton Fasti Romani Vol. I ad a. 410. — **b)** Hic Plutarchus eiusque domus Athenis, postquam reliquae scholae omnes in antiquo hoc philosophiae litterarumque omnium domicilio exstinctae erant, Platonicae philosophiae magna cum laude studere pergebat. Discipuli eius erant Syrianus et Proculus, qui plurimi eum aestimabant, cf. Marin. V. Procl. 6; Zumpt in Comm. Acad. Berol. a. 1842, p. 58. 78 sqq. Ab Syriano exstat commentarius ad Aristotelis Metaph. lib. II, XIII et XIV, latina translatione editus, ubi simili atque Proculus ratione doctrinam Neoplatonicam syllogismis firmare conatur. — **c)** Neapoli Palaestinensi natus, v. Phot. Bibl. cod. 242, p. 562 Hoesch. Scripsit ille vitam magistri, unde iuvabit pauca, quae maxime attinebunt, excerpere. Neoplatonici, patrios deorum ritus sectati, in ecclesia pressa tum, ut aiunt, vivebant et ipsos discipulos, qui nondum satis explorati erant, et placita sua et sacra celabant; v. c. 11. 22. 29. Ipse Proculus propter superstitiosam priscae religionis observantiam periclitabatur et Athenis aliquantisper in Asiam fugere coactus est, ubi iisdem sacris in operto faciendis et propagandis operam dedit, c. 15. Quo factum ut insigni deorum favore uteretur et precibus suis artibusque quas callebat magicis multa miracula ederet, c. 28. 29. Ex c. 28 attinebunt haec: *ὅτι τῆς Ἑρμαϊκῆς εἴη σειρᾶς* (n. 523, not. d) *σαφῶς ἐθεάσατο, καὶ ὅτι τὴν Νικομάχου τοῦ Πυθαγορείου ψυχὴν ἔχοι ὄναρ ποτὲ ἐπίστευσεν.* De diis a philosopho colendis cf. 19. *καὶ γὰρ πρόχειρον ἐκεῖνο εἶχεν ἀεὶ καὶ ἔλεγεν ὁ θεοσεβέστατος ἀνήρ, ὅτι τὸν φιλόσοφον προσήκει οὐ μιᾶς τινὸς πόλεως οὐδὲ τῶν παρ' ἐνίοις πατρίων εἶναι θεραπευτήν, κοινῇ δὲ τοῦ ὅλου κόσμου ἱεροφάντην.* — **d)** Cf. Marin. V. Procl. 22: *κατὰ ταύτην* (sc. *τὴν σοφίαν*) *δὴ ἐνεργῶν ὁ φιλόσοφος πᾶσαν μὲν θεολογίαν ἑλληνικήν τε καὶ βαρβαρικὴν καὶ τὴν μυθικοῖς πλάσμασιν ἐπισκιαζομένην κατεῖδέ τε ῥᾳδίως καὶ τοῖς ἐθέλουσί τε καὶ δυναμένοις συνέπεσθαι εἰς φῶς ἤγαγεν, ἐξηγούμενός τε πάντα ἐνθουσιαστικώτερον καὶ εἰς συμφωνίαν ἄγων· πᾶσι δὲ τοῖς τῶν παλαιοτέρων συγγράμμασιν ἐπεξιὼν ὅσον μὲν ἦν παρ' αὐτοῖς γόνιμον, τοῦτο μετ' ἐπικρίσεως εἰσεποιεῖτο, εἰ δέ τι ἀνεμιαῖον ηὕρισκε, τοῦτο πάντη ὡς μῶμον ἀπωκονομεῖτο,*

τὰ δέ γε ὑπεναντίως ἔχοντα τοῖς καλῶς τεθεῖσι μετὰ πολλῆς βασάνου ἀγωνιστικῶς διήλεγχεν, ἐν τε ταῖς συνουσίαις δυνατῶς ἅμα καὶ σαφῶς ἐπεξεργαζόμενος ἕκαστα καὶ ἐν συγγράμμασιν ἅπαντα καταβαλλόμενος· φιλοπονίᾳ γὰρ ἀμέτρῳ χρησάμενος ἐξηγεῖτο τῆς αὐτῆς ἡμέρας πέντε, ὁτὲ δὲ καὶ πλείους πράξεις καὶ ἔγραφε στίχους τὰ πολλὰ ἀμφὶ τοὺς ἑπτακοσίους. Ex libris multi interciderunt, sed multi etiam supersunt, inter quos philosophiam docent potissimum commentarii scriptorum Platonicorum. Cum tantam operam in antiquis litteris tradendis et interpretandis collocaverit, mirum quod narrat Marin V. Procl. 38: εἰώθει δὲ πολλάκις καὶ τοῦτο λέγειν, ὅτι κύριος εἰ ἦν, μόνα ἂν τῶν ἀρχαίων ἁπάντων βιβλίων ἐποίουν φέρεσθαι τὰ λόγια καὶ τὸν Τίμαιον· τὰ δὲ ἄλλα ἠφάνιζον ἐκ τῶν νῦν ἀνθρώπων διὰ τὸ καὶ βλάπτεσθαι ἐνίους τῶν εἰκῇ καὶ ἀβασανίστως ἐντυγχανόντων αὐτοῖς. Simile dictum est Iamblichi de operibus Platonis, quod probat Proculus, in Alc. 6, p. 11: ὁ θεῖος Ἰάμβλιχος — ἐν δέκα διαλόγοις — οἴεται τὴν ὅλην τοῦ Πλάτωνος περιέχεσθαι φιλοσοφίαν. In Tim. I, p. 5. ὀρθῶς ἄρα φησὶν ὁ θεῖος Ἰάμβλιχος τὴν ὅλην τοῦ Πλάτωνος θεωρίαν ἐν τοῖς δύο τούτοις περιέχεσθαι διαλόγοις, Τιμαίῳ καὶ Παρμενίδῃ.

537 Plat. Theol. I, 2. Ἀναγκαῖον δέ ἐστί μοι καὶ τὸν τρόπον ἐκθέσθαι τῆς προκειμένης διδασκαλίας ὁποῖόν τινα αὐτὸν ἔσεσθαι προσδοκᾶν χρὴ τοὺς ἀκροασομένους*), καὶ τὴν παρασκευὴν ἀφορίσασθαι καθ' ἣν οὐ πρὸς τοὺς ἡμετέρους λόγους, ἀλλὰ πρὸς τὴν ὑψηλόνουν καὶ ἔνθεον τοῦ Πλάτωνος φιλοσοφίαν ἐπιτηδείως ἔχοντες ἀπαντήσονται. — — ἐν ἅπασι δὲ τὸ σαφὲς καὶ διηρθρωμένον καὶ ἁπλοῦν προθήσομεν τῶν ἐναντίων, τὰ μὲν διὰ συμβόλων παραδεδομένα μεταβιβάζοντες εἰ τὴν ἐναργῆ περὶ αὐτῶν διδασκαλίαν, τὰ δὲ δι' εἰκόνων ἀναπέμποντες ἐπὶ τὰ σφέτερα παραδείγματα, καὶ τὰ μὲν ἀποφαντικώτερον ἀναγεγραμμένα τοῖς τῆς αἰτίας βασανίζοντες λογισμοῖς, τὰ δὲ δι' ἀποδείξεων συντε — θέντα διερευνώμενοι καὶ τὸν τρόπον τῆς ἐν αὐτοῖς ἀληθείας ἐπεκδιηγούμενοι καὶ γνώριμον τοῖς ἀκούουσι ποιοῦντες, καὶ τῶν μὲν ἐν**) αἰνίγμασι κειμένων ἀλλαχόθεν τὴν σαφήνειαν ἐξευρίσκοντες, οὐκ ἐξ ἀλλοτρίων ὑποθέσεων, ἀλλ' ἐκ τῶν γνησιωτάτων τοῦ Πλάτωνος συγγραμμάτων[a]. — — ταῖς δὲ λογικαῖς μεθόδοις ἁπάσαις γεγυμνάσθω (sc. ὁ ἀκροατὴς) καὶ πολλὰ μὲν περὶ ἀναλύσεων, πολλὰ δὲ περὶ τῶν ἐναντίων πρὸς ταύτας διαιρέσεων ἀνέλεγκτα νοήματα τεθεαμένος παρέστω[b].

a) Haud semel indicat se in philosophando studiosissime Platonem secuturum interpretandum, et criminatur Plotino quod suis opinionibus

*) Ed. καὶ τούτου ἀκροασάμενον τὴν π. Punctum post χρή. — **) Ed. uncinis inclusum habet τὸ ἐν.

indulgens a Platone in nonnullis desciverit, in Alcib. p. 227 Creuz. Ipse vero in Platone interpretando satis libere vagatur. — **b)** Cum ex universo loco tum ex novissimis apparet Proculum magis quam Plotinum et ceteros de quibus dictum est Neoplatonicos doctrinae logicis argumentis firmandae studuisse. Neque Platonis doctrinam propter aliud Orpheo et Pythagorae praestare censet quam quod magis ad dialecticae regulas disputaverit, Theol. Plat. I, 4, p. 9.

Inst. Theol. 24. *Πᾶν τὸ μετέχον τοῦ μετεχομένου κατα-* 538
δεέστερον καὶ τὸ μετεχόμενον τοῦ ἀμεθέκτου. — — ἦγεῖται ἄρα τὸ μὲν ἀμέθεκτον τῶν μετεχομένων, ταῦτα δὲ τῶν μετεχόντων. ὡς γὰρ συνελόντι φάναι τὸ μέν ἐστιν ἓν πρὸ τῶν πολλῶν, τὸ δὲ μετεχόμενον ἐν τοῖς πολλοῖς ἓν ἅμα καὶ οὐχ ἕν, τὸ δὲ μετέχον πᾶν οὐχ ἓν ἅμα καὶ ἕν.

Plat. Theolog. III, 20, p. 163. *Τὸ μὲν δὴ πρώτιστον* 539
καὶ ἀμέθεκτων ἕν, ἐπέκεινα τῶν ὅλων προϋπάρχον, οὐ τῶν μετ-ἐχόντων μόνον ἀλλὰ καὶ τῶν μετεχομένων ἑνάδων, ὕμνηται διὰ τῆς πρώτης ὑποθέσεως, ἁπάντων μὲν ἀρρήτως αἴτιον ἀποπεφασμένον, αὐτὸ δὲ ἐν οὐδενὶ δὴ τῶν πάντων ἀφοριζόμενον, ὐοδέ τινα δύναμιν ἔχον οὐδὲ ἰδιότητα συγγενῆ πρὸς τοὺς ἄλλους θεούς[a]. *μετὰ δὲ τοῦτο τὸ μόνως ὑπερούσιον καὶ ὑπερὸν καὶ ἄμικτον πρὸς πάσας τὰς ὑπάρξεις ἑνάς ἐστι μετεχομένη μὲν ὑπὸ τοῦ ὄντος καὶ περὶ αὐτὴν ὑποστήσασα τὴν πρώτην οὐσίαν, καὶ πλεονάσασα τῇ προσθήκῃ τῆς μεθέξεως ταύτης, τοῦ πρώτως ἑνός, αὐτὴ δὲ — περούσιος ὕπαρξις καὶ τῆς πρωτίστης νοητῆς τριάδος. δύο δὴ τούτων ὄντων ἐν τῇ πρώτῃ τριάδι, τοῦ ἑνὸς καὶ τοῦ ὄντος, καὶ τοῦ μὲν γεννῶντος τοῦ δὲ γεννωμένου, καὶ τοῦ μὲν τελειοῦντος τοῦ δε τελειουμένου, δεῖ δὴ καὶ τὴν μέσην ἀμφοῖν ὑπάρχειν δύναμιν, δι᾽ ἧς καὶ μεθ᾽ ἧς τὸ ἓν ὑποστατικόν ἐστι καὶ τελειωτικὸν τοῦ ὄντος. ἥ τε γὰρ πρόοδος ἀπὸ τοῦ ἑνὸς καὶ ἡ πρὸς τὸ ἓν ἐπιστροφὴ τῷ ὄντι διὰ τῆς δυνάμεως. τί γὰρ ἄλλο συνάπτει τῷ ἑνὶ τὸ ὂν ἢ μετεχόμενον ποιεῖ τὸ ἓν ὑπὸ τοῦ ὄντος πλὴν τῆς δυνάμεως; πρόοδος γάρ ἐστι τοῦ ἑνὸς καὶ ἔκτασις ἐπὶ τὸ ὄν· ὅθεν δὴ καὶ ἐν πᾶσι τοῖς θείοις γένεσι προόδων καὶ γεννήσεων αἱ δυνάμεις προκατάρχουσι· τριὰς οὖν ἐστιν αὕτη τῶν νοητῶν ἀκρότης, τὶ ἕν, ἡ δύναμις, τὸ ὄν, τὸ μὲν παράγον, τὸ δὲ παραγόμενον, ἡ δὲ ἐξηρτημένη μὲν τοῦ ἑνὸς συμφερομένη δὲ τῷ ὄντι*[b].

a) Nam primum unum, quod Platon. Theol. III, 7, p. 131 sq., ubi ad bonum Platonis revocatur (cf. n. 259), dicitur esse summa causa

ἄρρητος μὲν παντὶ λόγῳ καὶ ἄφραστος, ἄγνωστος δὲ πάσῃ γνώσει καὶ ἄληπτος, sicuti omnium rerum principium est, ita primum effunditur in multas unitates, quas totidem deos esse ponit, h. e. primi ordinis deos, nam statuit et infinitum numerum et diversissima genera et classes deorum, cf. Plat. Theol. III, 1, p. 118. μετὰ δὲ τὴν ἀμέθεκτον ταύτην καὶ ἄρρητον καὶ ὡς ἀληθῶς ὑπερούσιον αἰτίαν, ἀπὸ πάσης αἰτίας καὶ πάσης δυνάμεως καὶ πάσης ἐνεργείας κεχωρισμένην, συνεχής ἐστιν ὁ περὶ τῶν θεῶν λόγος. τί γὰρ ἄλλο τῷ ἑνὶ συνάπτεσθαι πρὸ τῶν ἑνάδων θεμιτὸν ἢ τί τῷ ἑνιαίῳ θεῷ συνήνωται μᾶλλον τῶν πολλῶν θεῶν; Ib. p. 122. εἰ δὲ καὶ τὸ παράγον τὰ πάντα πρώτως τὸ ἓν καὶ ἡ πρόοδος ἑνιαία, δεῖ δή που καὶ τὸ παραγόμενον ἐκεῖθεν πλῆθος ἑνάδας αὐτοτελεῖς ὑπάρχειν τῷ παράγοντι συγγενεστέρας. ἔτι δὲ εἰ πᾶσα μονὰς ἀριθμὸν ὑφίστησι πρὸς ἑαυτὴν οἰκεῖον, ὡς δέδειχται πρότερον, πολλῷ δή που πρότερον τὸ ἓν ἀπογεννᾷ τὸν τοιοῦτον ἀριθμόν. Quae unitates cum numero differunt ab uno tum eo ab hoc distant quod sunt μεθεκταί, Inst. Theol. 116. πᾶς θεὸς μεθεκτός ἐστι πλὴν τοῦ ἑνός. ὅτι μὲν γὰρ ἐκεῖνο ἀμέθεκτον δῆλον, ἵνα μὴ μετεχόμενον καί τινος διὰ τοῦτο γενόμενον μηκέτι πάντων ὁμοίων ᾖ τῶν τε προόντων καὶ τῶν ὄντων αἴτιον. Sequitur ut omnia intelligibilia, omnes animae, omnia corpora nonnisi mediantibus unitatibus illis cum primo uno connectantur, v. Plat. Theol. l. c. καὶ γὰρ αὖ καὶ κατ' ἄλλον τρόπον ἀνάγκη τὰ πρώτως ὄντα διὰ τῶν προσεχῶν αὐτῶν ἑνάδων μετέχειν τῆς πρωτίστης αἰτίας· ἕκαστα γὰρ τῶν δευτέρων διὰ τῶν ὁμοίων συνάπτεται τοῖς πρὸ αὐτῶν, τὰ μὲν σώματα διὰ τῶν καθέκαστα ψυχῶν τῇ ὅλῃ, ψυχαὶ δὲ διὰ τῶν νοερῶν μονάδων τῷ παντὶ νῷ, τὰ δὲ ὄντα δή που πρῶτα διὰ τῶν ἑνιαίων ὑπάρξεων τῷ ἑνί. Unde apparet proximum ab unitatibus illis divinis, quas interposuit Proculus, esse τὸ νοητόν, quod et ipsum, ut per omnem doctrinam tripertitam rationem sequitur, ad tres classes revocat, τὸ νοητόν, τὸ νοερόν, et τὸ νοητὸν καὶ νοερόν, longam inde diversarum classium seriem deorum nectens, v. Plat. Theol. III, 14. — b) Τὸ νοητόν quod sensu angustiore dicitur, ad tres rursus triadas revocatur, quarum prima est ea quae nostro loco adumbratur, h. e. quae amplectitur τὸ ἓν (h. e. unum secundi ordinis, quod a primo uno differt τῇ μεθέξει τοῦ ὄντος) et τὸ ὂν et δύναμιν, quae inter utrumque media est: quam triadem in antecedentibus, Plat. Theol. III, 7, p. 131 sq., ita retulerat ad id quod Platoni Phileb. p. 23 D sqq. appellatur πέρας, ἄπειρον et μικτόν, ut finis respondeat uni secundo, infinitum τῇ δυνάμει quippe ἀπείρῳ, denique mixtum τῇ οὐσίᾳ s. τῷ ὄντως ὄντι h. e. substantiae, cf. Instit. Theol. 89 sqq.; Plat. Theol. III, 9, p. 135 sq.; IV, 1, p. 180; in Cratyl. 42. Ea principia per omnes deinde ordines deorum, omnes substantiarum gradus persequitur, cf. in Parmenid. VI, 99 sqq.; Inst. Theol. 159. πᾶσα τάξις θεῶν ἐκ τῶν πρώτων ἐστὶν ἀρχῶν, πέρατος καὶ ἀπειρίας, — ἀλλ' ὅπου μὲν τὸ πέρας ἐνδυναστεύει κατὰ τὴν μίξιν, ὅπου δὲ τὸ ἄπειρον. Secunda trias intelligibilis est vitae quam appellat intelligibilis (νοητὴ ζωή) vel aeternitatis (αἰών), tertia intellectus s. mundi intelligibilis, cf. Plat. Theol. III, 13 sqq.; in Tim. p. 241 B sqq.; 268 C sqq.

Inst. Theol. 111. *Πάσης τῆς νοερᾶς σειρᾶς οἱ μέν εἰσι* 540
θεῖοι νόες ὑποδεξάμενοι θεῶν μεθέξεις, οἱ δὲ νόες μόνον· καὶ πάσης τῆς ψυχικῆς αἱ μέν εἰσι νοεραὶ ψυχαὶ εἰς νοῦς ἀνηρτημέναι οἰκείους, αἱ δὲ ψυχαὶ μόνον. καὶ πάσης τῆς σωματικῆς φύσεως αἱ μὲν καὶ ψυχὰς ἔχουσιν ἐφεστώσας ἄνωθεν, αἱ δέ εἰσι φύσεις μόνον τῆς τῶν ψυχῶν ἄμοιροι παρουσίας. ἑκάστης γὰρ σειρᾶς οὐχ ὅλον τὸ γένος εἰς τὸ πρὸ αὐτοῦ ἀνηρτῆσθαι πέφυκεν, ἀλλὰ τὸ ἐν αὐτῇ τελειότερον καὶ συμφύεσθαι τοῖς ὑπερκειμένοις ἱκανόν. οὔτε οὖν πᾶς νοῦς θεοῦ ἐξῆπται, ἀλλ᾽ οἱ ἀκρότατοι καὶ ἐνικώτατοι τῶν νόων· οὗτοι γὰρ ταῖς θείαις ἑνάσι συγγενεῖς· οὔτε πᾶσαι ψυχαὶ μετέχουσι νοῦ τοῦ μεθεκτοῦ, ἀλλ᾽ ὅσαι νοερώταται· οὔτε πᾶσαι σωματικαὶ φύσεις ἀπολαύουσι ψυχῆς παρούσης καὶ μετεχομένης, ἀλλ᾽ αἱ τελειότεραι καὶ λογοειδέστεραι. καὶ οὗτος ἐπὶ πάντων ὁ λόγος τῆς ἀποδείξεως.

Vides longam a mundo intelligibili usque ad corpora seriem et catenam deorum, intelligentiarum, animarum necti, idque per tres gradus praecipuos, quorum extrema sunt affinia, cf. Instit. Theol. 147. *πάντων τῶν θείων διακόσμων τὰ ἀκρότατα τοῖς πέρασιν ὁμοιοῦται τῶν ὑπερκειμένων. εἰ γὰρ δεῖ συνέχειαν εἶναι τῆς θείας προόδου καὶ ταῖς οἰκείαις ἑκάστην τάξιν συνδεδέσθαι μεσότησιν, ἀνάγκη τὰς ἀκρότητας τῶν δευτέρων συνάπτειν ταῖς ἀποπερατώσεσι τῶν πρώτων· ἡ δὲ συναφὴ δι᾽ ὁμοιότητος.* Ib. 175. *οὐδαμοῦ γὰρ αἱ πρόοδοι γίγνονται ἀμέσως, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ ὁμοίων, κατά τε τὰς ὑποστάσεις καὶ τὰς τῶν ἐνεργειῶν τελειότητας.* Materiam cum Platone ad infinitam *δύναμιν* revocat, cf. n. 539, in Tim. p. 117 B; Plat. Th. V, 17, p. 281, neque eam malam esse dicit, sed necessariam, De Mal. Subsist. (Opp. I) p. 241 sqq.; 251 sq. Neque corpora omnia infima esse statuit, sed etiam aeterna et media, v. Inst. Theol. 196; in Tim. V, p. 311 B sqq.; 321 B, 330 D. — {Proculum *παρουσίας* verbo ut termino technico uti, iam Krug cognovit, ut monui in *Stud. z. Gesch. d. Begr.* p. 625.}

Inst. Theol. 190. *Πᾶσα ψυχὴ μέση τῶν ἀμερίστων ἐστὶ* 541
καὶ τῶν περὶ τὰ σώματα μεριστῶν[a]. 194. *Πᾶσα ψυχὴ πάντα ἔχει τὰ εἴδη, ἃ ὁ νοῦς πρώτως ἔχει. εἰ γὰρ ἀπὸ νοῦ πρόεισι καὶ νοῦς ὁ ὑποστάτης ψυχῆς καὶ αὐτῷ τῷ εἶναι ἀκίνητος ὢν πάντα ὁ νοῦς παράγει, δώσει καὶ τῇ ψυχῇ τῇ ὑφισταμένῃ τῶν ἐν αὐτῷ πάντων οὐσιώδεις λόγους.* 195. *Πᾶσα ψυχὴ πάντα ἐστὶ τὰ πράγματα, παραδειγματικῶς μὲν τὰ αἰσθητά, εἰκονικῶς δὲ τὰ νοητά· μέση γὰρ οὖσα τῶν ἀμερίστων καὶ τῶν περὶ τὸ σῶμα μεριστῶν τὰ μὲν παράγει καὶ ὑφίστησι, τὰ δὲ αἴτια προεστήσατο ἑαυτῆς ἀφ᾽ ὧν προελήλυθεν.* 184. *Πᾶσα ψυχὴ ἡ θεία ἐστὶν ἢ*

μεταβάλλουσα ἀπὸ νοῦ εἰς ἄνοιαν ἢ μεταξὺ τούτων ἀεὶ μένουσα, καταδεεστέρα δὲ τῶν θείων ψυχῶν[b].

a) Compositio animae ex substantia individua et dividua secundum Platonem ad numeros et proportiones harmonicas revocatur, cf. in Tim. III, p. 176 C sqq.; V, p. 342 D sq. Individuum est quod incorporeum, quod quid sit definitur hisce, Instit. Theol. 15. *πᾶν τὸ πρὸς ἑαυτὸ ἐπιστρεπτικὸν ἀσώματόν ἐστιν· οὐδὲν γὰρ τῶν σωμάτων πρὸς ἑαυτὸ πέφυκεν ἐπιστρέφειν. — τοῦτο γὰρ ἦν τὸ πρὸς ἑαυτὸ ἐπιστρέψαι, ὅταν ἓν γένηται ἄμφω, τό τε ἐπιστραφὲν καὶ πρὸς ὃ ἐπεστράφη.* — **b)** Aliis locis eadem genera revocantur ad deos, daemonas et homines, cf. in Tim. III, p. 210 C. *ἐπειδήπερ ἐν ἑκάστῃ τῶν σφαιρῶν ἔστι θεῖα γένη ψυχῶν καὶ δαιμόνια καὶ μερικά, οἷα δὴ τῶν ἡμετέρων.* Ib. V, p. 317 B. *διότι καὶ τῶν γενῶν τῶν μέσων ἡ μὲν οὐσία κρατοῦσα θείαν ἐποίει ψυχήν, ἡ δὲ ταυτότης δαιμονίαν, ἡ δὲ ἑτερότης μερικήν.* Daemones sunt diis affines, v. in Alcib. 22, p. 71. *τῶν γὰρ δαιμόνων τούτων κατὰ τὸ μέσον, ὡς εἴπομεν, τεταγμένων οἱ μὲν πρώτιστοι θεῖοι δαίμονές εἰσι καὶ θεοὶ φανταζόμενοι πολλάκις διὰ τὴν ὑπερβάλλουσαν ὁμοιότητα πρὸς τοὺς θεούς· ὡς γὰρ καθ' ὅλου φάναι πάσης τάξεως τὸ πρώτιστον σώζει τὴν τοῦ πρὸ ἑαυτοῦ μορφήν*, cf. n. 540 not. Homines nonnisi per daemonas cum diis coniunguntur, v. in Alcib. p. 63.

542 Inst. Theol. 211. *Πᾶσα μερικὴ ψυχὴ*[a] *κατιοῦσα εἰς γένεσιν ὅλη κάτεισι καὶ οὐ τὸ μὲν αὐτῆς ἄνω μένει τὸ δὲ κάτεισιν. εἰ γάρ τι μένοι τῆς ψυχῆς ἐν τῷ νοητῷ, ἢ ἀμεταβάτως νοήσει ἀεὶ ἢ μεταβατικῶς· ἀλλ' εἰ μὲν ἀμεταβάτως, νοῦς ἔσται καὶ οὐ μέρος ψυχῆς, καὶ ἔσται ἡ ψυχὴ προσεχῶς*[b] *νοῦ μετέχουσα· τοῦτο δὲ ἀδύνατον. εἰ δὲ μεταβατικῶς, ἐκ τοῦ ἀεὶ νοοῦντος κἀκ τοῦ ποτὲ νοοῦντος μία οὐσία ἔσται. ἄλλ' ἀδύνατον· ταῦτα γὰρ ἀεὶ διαφέρει, ὡς δέδεικται, πρὸς τῷ καὶ ἄτοπον εἶναι τὸ τῆς ψυχῆς ἀκρότατον, ἀεὶ τέλειον ὄν, μὴ κρατεῖν τῶν ἄλλων δυνάμεων κἀκείνας τελείας ποιεῖν. πᾶσα ἄρα μερικὴ ψυχὴ ὅλη κάτεισιν.*

a) Cf. n. 541, not. b. — **b)** H. e. *ἀμέσως*, cf. ib. 175 in n. 540 not. Disputantur haec adversus Plotinum, cf. n. 515 not.; 516, not. c. Similiter Iamblichus, v. n. 528. Nostrum conferas in Alcib. p. 227. *οὔτε αὖ ἐκείνους* (sc. *ἀποδεξόμεθα τοὺς λόγους*), *ὅσοι μέρος μὲν εἶναι τῆς θείας οὐσίας λέγουσι τὴν ψυχήν, ὅμοιον δὲ τῷ ὅλῳ τὸ μέρος καὶ ἀεὶ τέλειον, τὸν δὲ θόρυβον εἶναι καὶ τὰ πάθη περὶ τὸ ζῷον.* Malum non a materia repetebat, v. n. 540 not., sed ab inclinatione animae, v. in Tim. p. 335 B. *τῶν κακῶν ἑαυτῷ τὸ θνητὸν ζῷον αἴτιον*, cf. De malo 226 sqq. 254 sqq. et in Iamblicho n. 528.

543 In Tim. II, p. 92 extr. *Ἡ γὰρ ἐν συνθέσει φερομένη διέξοδος ἀδυνατεῖ τὴν ἑνοειδῆ καὶ ἁπλῆν παριστάνειν φύσιν. τί*

οὖν; φαίη τις ἄν· οὐχὶ καὶ πολλὰ καὶ περὶ τοῦ δημιουργοῦ καὶ περὶ τῶν ἄλλων θεῶν καὶ ὑπὲρ τοῦ ἑνὸς αὐτοῦ λέγομεν; περὶ αὐτῶν μὲν λέγομεν, αὐτὸ δὲ ἕκαστον οὐ λέγομεν, καὶ ἐπιστημονικῶς μὲν δυνάμεθα λέγειν, νοερῶς δὲ οὔ[a]. Theol. Plat. I, 25, p. 61. τί οὖν ἡμᾶς ἑνώσει πρὸς αὐτό (sc. τὸ ἀγαθόν); τί τῆς ἐνεργείας παύσει καὶ κινήσεως; τί δὲ τὰ θεῖα πάντα καὶ τῇ πρωτίστῃ καὶ ἀρρήτῳ τῆς ἀγαθότητος ἑνάδι συνίστησι; — — ὡς μὲν τὸ ὅλον εἰπεῖν, τῶν θεῶν πίστις ἐστὶν ἡ πρὸς τὸ ἀγαθὸν ἀρρήτως ἑνίζουσα τὰ θεῶν γένη σύμπαντα καὶ δαιμόνων καὶ ψυχῶν τὰς εὐδαίμονας. δεῖ γὰρ οὐ γνωστικῶς οὐδὲ ἀτελῶς τὸ ἀγαθὸν ἐπιζητεῖν, ἀλλ' ἐπιδόντας ἑαυτοὺς τῷ θείῳ φωτὶ καὶ μύσαντας οὕτως ἐνιδρύεσθαι τῇ ἀγνώστῳ καὶ κρυφίῳ τῶν ὄντων ἑνάδι. — — ἡ δέ γε τῶν θεῶν πίστις ἅπασαν ὑπεραίρει γνῶσιν καὶ κατ' αὐτὴν ἄκραν τὴν ἕνωσιν συνάπτει τὰ δεύτερα τοῖς πρώτοις. — — καὶ τοῦτο (sc. τὸ ἀγαθὸν) μάλιστα τοῖς οὖσιν ἅπασι πιστόν. — — ἵν' οὖν συνελόντες εἴπωμεν, τρία μέν ἐστι τὰ πληρωτικὰ ταῦτα τῶν θείων διὰ πάντων πληροῦντα τῶν κρειττόνων γενῶν, ἀγαθότης, σοφία, κάλλος· τρία δὲ αὖ καὶ τῶν πληρουμένων συναγωγά, δεύτερα μὲν ἐκείνων, διήκοντα δὲ εἰς πάσας τὰς θείας διακοσμήσεις, πίστις καὶ ἀλήθεια καὶ ἔρως. σώζεται δὲ πάντα διὰ τούτων καὶ συνάπτεται ταῖς πρωτουργοῖς αἰτίαις, τὰ μὲν διὰ τῆς ἐρωτικῆς μανίας, τὰ δὲ διὰ τῆς θείας φιλοσοφίας, τὰ δὲ διὰ τῆς θεουργικῆς δυνάμεως, ἣ κρεῖττον ἐστὶν ἁμάσης ἀνθρωπίνης σωφροσύνης καὶ ἐπισυλλαβοῦσα τά τε τῆς μαντικῆς ἀγαθὰ καὶ τὰς τῆς τελεσιουργικῆς καθαρτικὰς δυνάμεις καὶ πάντα ἁπλῶς τὰ τῆς ἐνθέου κατακωχῆς ἐνεργήματα[b].

a) *Νοῦς* enim scientia praestabilior est. Theol. Plat. I. 25, p. 62. *νοῦς γὰρ ἐπέκεινα πάσης ἐπιστήμης.* — **b)** Cf. Ritter, *Gesch. d. Philos.* IV, p. 705 ed. 2. Idem persequitur in Alcib. 16, p. 51 sq., ubi similiter fides ante veritatem et amorem eo maxime praestare dicitur, quod sit *ἑδράζουσα τὰ πάντα καὶ ἐνιδρύουσα τῷ ἀγαθῷ*, omnia firmet in bono atque ad perseverantiam impellat.

7. Damascius.

Phot. Bibl. cod. 181, p. 213 H. Ὁ δὲ Δαμάσκιος[a] τήν 544
τε ῥητορεύουσαν τέχνην ὑπὸ Θέωνι τρία ἔτη ὅλα διεπόνησε καὶ

προὔστη διατριβῶν ῥητορικῶν ἐπὶ ἔτη ἐννέα· γεωμετρίας δὲ καὶ ἀριθμητικῆς καὶ τῶν ἄλλων μαθημάτων Μαρῖνον[b] τὸν διάδοχον Πρόκλου ἐν Ἀθήναις ἔσχε διδάσκαλον. τῆς δὲ φιλοσόφου θεωρίας ὅ τε Ζηνόδοτος αὐτῷ καθηγεμὼν Ἀθήνῃσι καὶ αὐτὸς ἐγεγόνει (διάδοχος δὲ καὶ οὗτος Πρόκλου τὰ δεύτερα Μαρίνου φέρων) καὶ Ἀμμώνιος ἐν Ἀλεξανδρείᾳ ὁ Ἑρμείου[c], ὃν οὐ μικρῷ μέτρῳ τῶν καθ' ἑαυτὸν ἐπὶ φιλοσοφίᾳ φησὶ διαφέρειν, καὶ μάλιστα τοῖς μαθήμασι. τοῦτον καὶ τῶν Πλατωνικῶν ἐξηγητὴν αὐτῷ γεγενῆσθαι Δαμάσκιος ἀναγράφει, καὶ τῆς συντάξεως τῶν ἀστρονομικῶν Πτολεμαίου βιβλίων. τῆς μέντοι διαλεκτικῆς τριβῆς τὰς Ἰσιδώρου συνουσίας τὴν ἰσχὺν αὐτῷ διατείνεται παρασχεῖν, ὃν καὶ ἐπὶ τῇ τοιαύτῃ τῶν λόγων δυνάμει πάντας ἀνθρώπους, ὅσους ὁ κατ' ἐκείνην τὴν γενεὰν ἤνεγκε χρόνος, ἀποκρύψασθαί φησιν[d].

a) Damascius cognomine Diadochus, nam videtur Isidori in schola Platonica, quae Athenis erat, successor fuisse, floruit sub Iustiniano I, v. Suid. v. Δαμάσκιος; patria Syrus erat. De extremis fatis v. n. 547. Ex libris praeter excerpta nonnulla et nondum edita exstant ἀπορίαι καὶ λύσεις περὶ τῶν πρώτων ἀρχῶν, ed. Kopp. Frcfrt. ad M. 1826. — **b)** V. n. 536. — **c)** Ab hoc Ammonio exstant commentarii in nonnulla scripta Aristotelis, satis illi quidem sobrii, quibus Platonis doctrina, quae tunc obtinebat opinio, cum Aristotelis placitis conciliatur. Erat discipulus Proculi et non Damascii tantum institutor, sed etiam Simplicii, Ioannis Philoponi, aliorum, v. Fabric. Bibl. Gr. V, p. 704 sqq. Harles. — **d)** Isidorus, auditor Proculi, Marini in schola Atheniensi successor. Phot. Bibl. cod. 242, p. 568. Vitam eius scripsit Damascius, ex quo libro multa excerpsit Photius Bibl. cod. 181. 242: unde de fanatica huius disciplinae indole iudicari potest. Imprimis attinet hoc locus, cod. 242, p. 568 b. εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φῄς, ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία, φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζον ἀγαθὸν φιλοσοφίας. ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς. De dialectica eius alii minus bene iudicant, v. Suid. v. Ἰσίδωρος. Et vituperabat eum ipse Damascius, Phot. Bibl. cod. 181, p. 212. διὸ καὶ Ἰσίδωρον οὐχ ἧττον ἐπαινῶν ἢ ψόγοις περιβάλλων διατελεῖ.

545 De Princip. 2. Μαντεύεται ἄρα ἡμῶν ἡ ψυχὴ τῶν ὁπωσοῦν πάντων ἐπινοουμένων εἶναι ἀρχὴν ἐπέκεινα πάντων ἀσύντακτον πρὸς πάντα· οὐδὲ ἄρα ἀρχὴν οὐδὲ αἴτιον ἐκείνην κλητέον, οὐδὲ πρῶτον οὐδέ γε πρὸ πάντων οὐδ' ἐπέκεινα πάντων· σχολῇ γε ἄρα πάντα αὐτὴν ὑμνητέον· οὐδ' ὅλως ὑμνητέον οὐδ' ἐννοητέον,

οὐδὲ ὑπονοητέον. 6. Φέρε οὖν τὸ δεύτερον αὐτὸ τοῦτο κατίδωμεν, ὅπως λέγεται ἄγνωστον εἶναι παντελῶς· εἰ γὰρ τοῦτο ἀληθές, πῶς ταῦτα πάντα περὶ αὐτοῦ διαταττόμενοι γράφομεν; οὐ γὰρ δὴ λογοποιοῦμεν, πολλὰ ληροῦντες περὶ ὧν οὐκ ἴσμεν. εἰ δέ ἐστιν ἀσύντακτον τῷ ὄντι πρὸς πάντα καὶ ἄσχετον πρὸς πάντα καὶ οὐδὲν τῶν πάντων οὐδὲ αὐτὸ τὸ ἕν[a], αὐτὰ ταῦτα φύσις αὐτοῦ ἐστίν, ἣν ὡς γιγνώσκοντες διακείμεθα καὶ ἄλλους διατιθέναι σπουδάζομεν. ἔτι δὲ αὐτὸ τὸ ἄγνωστον αὐτοῦ ἢ γιγνώσκομεν ὅτι ἄγνωστον ἢ ἀγνοοῦμεν· ἀλλ' εἰ μὲν τοῦτο, πῶς λέγομεν ὅτι πάντη ἄγνωστον; εἰ δὲ γιγνώσκομεν, ταύτῃ ἄρα γνωστόν ἢ*) ἄγνωστον γιγνώσκεται ὅτι ἄγνωστον. — — καὶ γάρ ἐστιν ἁπλῶς ἡ τοιαύτη γνῶσις οὐκ ἐκείνου, ἀλλὰ τῆς οἰκείας ἀγνοίας· καὶ δὴ καὶ ἡμεῖς ἄγνωστον ἐκεῖνο λέγοντες οὐκ αὐτοῦ τι ἀπαγγέλλομεν, ἀλλὰ τὸ περὶ αὐτὸ πάθος ἡμῶν ὁμολογοῦμεν. 7. πῶς γὰρ ἐκεῖνο ἄγνωστον λέγομεν; ἑνὶ μὲν λόγῳ τῷ ῥηθέντι, ὅτι ἀεὶ τὸ ὑπὲρ τὴν γνῶσιν τιμιώτερον εὑρίσκομεν. ὥστε τὸ ὑπὲρ ἅπασαν γνῶσιν, εἴπερ ἦν εὑρετόν, εὑρεθείη ἂν καὶ αὐτὸ τιμιώτατον. — — εἰ τοίνυν τὸ ἓν ἔσχατόν ἐστι γνωστὸν τῶν ὅπως ποτὲ γνωριζομένων ἢ ὑπονοουμένων, καὶ τὸ τοῦ ἑνὸς ἐπέκεινα τὸ πρώτως ἐστὶ καὶ πάντη ἄγνωστον, ὅπερ οὕτως ἐστὶν ἄγνωστον, ὡς μηδὲ τὸ ἄγνωστον ἔχειν φύσιν, μηδὲ ὡς ἀγνώστῳ προσβάλλειν ἡμᾶς, ἀγνοεῖν δὲ καὶ εἰ ἄγνωστον. παντελὴς γὰρ ἄγνοια περὶ αὐτό. — — καὶ τί πέρας ἔσται τοῦ λόγου πλὴν σιγῆς ἀμηχάνου καὶ ὁμολογίας τοῦ μηδὲν γιγνώσκειν ὧν μηδὲ θέμις, ἀδυνάτων ὄντων εἰς γνῶσιν ἐλθεῖν;

a) Damascio non satis est supremum esse idem quod Unum ponere, sed dicit illud esse ἐπέκεινα Unius, quod cernitur ex sequentibus. Simul tamen velut Unum ab eo consideratur, quippe quod omnia contraria in se complectatur, ut nullum quod praeter illud sit contrarium cogitari queat.

Ib. 73. Ἔστι γὰρ μείζων ἡ ἀπορία, εἰ τὸ ἡνωμένον[a] πρὸς 546
τὸ ἓν παραβάλοιμεν ὡς προεληλυθὸς ἀπὸ τοῦ προάγοντος, ἢ τοῦτο μὲν τῆς ἡνωμένης φύσεως ἐξαίρετόν ἐστι τὸ μὴ ἀνασχέσθαι τῆς πρὸς τὸ ἓν διακρίσεως, οὐδὲ τῆς ἀπ' ἐκείνου προόδου, ἀλλὰ

*) Ed. ἤ.

περὶ αὐτὸ πεφυκέναι καὶ ἐν τούτῳ ἐκεῖνο τὸ ἡνωμένον εἶναι, ἐν τῷ μὴ ἑαυτοῦ εἶναι, ἀλλὰ τοῦ ἑνός. 107. Ἀλλ' ἐπὶ τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν, ὅτι τὸ νοητὸν οὐκ ἂν προέλθοι τὴν ἔξω πρόοδον, ὅ γε οὐδὲ τὴν εἴσω πρόεισιν· ὥστε οὔτε μεθεκτὸν πλῆθος οὔτε ἀμέθεκτον[b] πέφυκε προάγειν, ᾗ μονοειδές ἐστι καὶ ἀδιάκριτον. — — δεῖ οὖν μὴ ἐπιμένειν αὐτῇ (τῇ διακρίσει), ἀλλὰ φεύγειν προτροπάδην, οὐ νοῦν τιθέμενοι ἐκεῖνον (sc. τὸν νοῦν), ἀλλ' οἷον νοῦν, οὐδὲ ζωήν, ἀλλ' οἷον ζωήν, οὐδὲ οὐσίαν, ἀλλ' οἷον οὐσίαν, οὐδὲ ὅλως πρόοδον, ἀλλ' οἷον πρόοδον[c]. — — Ὅπερ οὖν ἄρτι ἐλέγομεν, ταὐτὸν τὸ εἴσω καὶ τὸ ἔξω πλῆθος ἐν τῷ νοητῷ φαντάζεται. ὡς οὖν ἔξω τοῦ νοεροῦ διακόσμου παντὸς οὐδεὶς ἂν προέλθοι νοῦς (πᾶς γὰρ ἐν αὐτῷ περιέχοιτο ἄν), καὶ ὡς ἔξω τοῦ ψυχικοῦ οὐδεμία ψυχὴ (περιέχοιτο γὰρ ἂν καὶ αὕτη ἐν τῷ οἰκείῳ διακόσμῳ), οὕτω καὶ τοῦ νοητοῦ διακόσμου ἐκτὸς οὐκ*) ἂν εἴη τὸ νοητόν. οὐ τοίνυν ἄλλο μὲν τὸ μεθεκτὸν ἄλλο δὲ τὸ ἀμέθεκτον· συνῄρηται γὰρ καὶ αὐτὰ δύο ὄντα πλήθη εἰς ἓν τὸ ἁπλῶς τε καὶ ἡνωμένον πλῆθος ὁπωσοῦν λεγόμενον. τὸ γὰρ αὐτὸ καὶ πᾶσιν ἐποχεῖται καὶ πάντων ἐξῄρηται. οὐ γὰρ ἀντιδιῄρηται τὸ μεθεκτὸν τῷ ἀμεθέκτῳ, ἀλλὰ πρὸ τῆς ἀντιδιαιρέσεως τεταγμένον τὴν συναμφότερον ἔχει δύναμιν, πρὸ ἀμφοῖν ὡς ταὐτὸν ὄν, καὶ μεθεκτὸν εἶναι καὶ ἀμέθεκτον· καθόσον μὲν γὰρ ὑπὲρ τὸ μεθεκτόν, ἀμέθεκτον εἶναι φαντάζεται, καθόσον δὲ ἀποίου[d], καὶ μεθεκτὸν εἶναι δοκεῖ. 118. τρία μὲν οὖν οὐκέτι κλητέον αὐτά, παθόντα αὐτοῖς τὸ εἶναι τρισίν, οὐδενὸς ἄλλου πεφηνότος ἐκεῖ[e]· πλὴν ἡμεῖς γε ἀνθρωπίνως διαλεγόμενοι περὶ τῶν ὑπερθειοτάτων ἀρχῶν οὐκ ἔχομεν ἄλλως οὔτε ἐννοεῖν οὔτε ὀνομάζειν ἢ οὕτως, ὡς ἀναγκαζόμεθα χρῆσθαι τοῖς λόγοις ὑπὲρ τῶν εἰς τὰ ἐπέκεινα ἀνεχόντων τοῦ παντὸς καὶ ζωῆς καὶ οὐσίας πραγμάτων.

a) Id quod cum Uno coniunctum est et unitum. — **b)** Spectat ad contrarium, quod ponebat Proculus, n. 538; 539, impugnat vero Damascius, ut cernitur ex nostro loco. Sequitur in his Plotinum, cuius doctrinam Iamblichus, n. 528, et Proculus aspernati erant, non totam animam in mundum sensibilem descendisse, sed restitisse in ea aliquid ἀπαθές. In Parm. in cod. Monac. fol. 308 ap. Creuzer. ad Procl. Inst.

*) Cod. Monac. *οὐκ*. Ed. *οὖν* et punctum ante *ἐκτὸς* et sign. interrog. post *νοητόν*.

Theol. p. 315. *ὥστε ἀληθινὸς ὁ Πλωτίνου λόγος ὡς οὐ πᾶσα κάτεισιν ἡ ψυχή.* — *Πρόοδος* secundum Damascium non *πρόοδος* est, sed mansio in superiore. De Princ. 74. *πᾶν μὲν οὖν τὸ προεληλυθὸς καὶ ἐν τῇ φύσει καὶ ἐν τοῖς ὅροις μένει τῶν οἰκείων αἰτίων.* Ib. 75. *ἔστω τοίνυν αὐτὴ μὲν πρόοδος αὐτὴ δὲ ἡ μονὴ, καὶ συμπεφυκέτω ἀεὶ ἑκατέρα τῇ ἑτέρᾳ.* — *τοιγαροῦν ψυχὴ τὴν ἑαυτῆς πρόοδον ἀναλύει διὰ τῆς ἐπιστροφῆς· ἀλλ᾽ εἰ τοῦτο, οὐκ ἔτι ἔσται προεληλυθός· ἀπολεῖ γὰρ τοῦτο, εἰ ἐπιστρέψειεν.* — **c)** Ut Unum est super Unum, n. 545, not. b, ita etiam intellectus est tanquam intellectus, et *πρόοδος* tanquam *πρόοδος*. — **d)** Hoc ubique sequitur Damascius, id quod proficiscatur ex alio manere in natura eius unde proficiscatur, h. e. eiusdem atque illud generis esse. Ib. 74; v. not. b· Itaque si *τὸ μεθεκτὸν* proficiscitur ex *ἀμεθέκτου*, sequitur ut sit etiam hoc *μεθεκτόν*.— **e)** Sc. quod esse possit in causa, cur sint illa patibilia eo quod dividantur. Tria principia igitur vere Unum sunt, et Unum vere tria. Ib. 117. *ἔστω γὰρ τὸ ἁπλῶς ἓν τῷ ὄντι τὸ ἀνάριθμον, καὶ εἰ χρὴ φάναι σαφέστερον, ἀτρίαστον καὶ ἀμονάδιστον.* Ita quicquid ponitur a Damascio, in subsequentibus tollitur.

Veteris philosophiae exitus.

Agath. Hist. II, 30. *Οὐ πολλῷ γὰρ ἔμπροσθεν Δαμά-* 547
*σκιος ὁ Σύρος καὶ Σιμπλίκιος ὁ Κίλιξ, Εὐλάλιός**) *τε ὁ Φρὺξ καὶ Πρισκιανὸς ὁ Λυδός, Ἑρμείας τε καὶ Διογένης οἱ ἐκ Φοινίκης καὶ Ἰσίδωρος ὁ Γαζαῖος*[a], *οὗτοι δὴ οὖν ἅπαντες τὸ ἄκρον ἄωτον κατὰ τὴν ποίησιν τῶν ἐν τῷ καθ᾽ ἡμᾶς χρόνῳ φιλοσοφησάντων, ἐπειδὴ αὐτοὺς ἡ παρὰ Ῥωμαίοις κρατοῦσα ἐπὶ τῷ κρείττονι δόξα οὐκ ἤρεσκεν, ᾠοντό τε τὴν Περσικὴν πολιτείαν πολλῷ εἶναι ἀμείνονα, τούτοις δὴ τοῖς ὑπὸ τῶν πολλῶν περιᾳδομένοις ἀναπεπεισμένοι, ὡς εἴη παρ᾽ ἐκείνοις δικαιότατον μὲν τὸ ἄρχον καὶ ὁποῖον εἶναι ὁ Πλάτωνος βούλεται λόγος φιλοσοφίας τε καὶ βασιλείας ἐς ταὐτὸ ξυνελθούσης, σῶφρον δὲ ἐς τὰ μάλιστα καὶ κόσμιον τὸ κατήκοον*[b]. — — *τούτοις δὴ οὖν ὡς ἀληθέσιν ἀρθέντες καὶ πρός γε ἀπειρημένον αὐτοῖς ἐκ τῶν νόμων ἀδεῶς ἐνταῦθα ἐμπολιτεύεσθαι ὡς τῷ καθεστῶτι οὐχ ἑπομένοις*[c], *οἱ δὲ αὐτίκα ἀπιόντες ᾤχοντο ἐς ἀλλοδαπὰ καὶ ἄμικτα ἤθη, ὡς ἐκεῖσε τὸ λοιπὸν βιωσόμενοι. πρῶτον μὲν οὖν τοὺς ἐν τέλει ἀλαζόνας μάλα εὑρόντες καὶ πέρα τοῦ δέοντος ἐξωγκωμένους ἐβδελύττοντό γε αὐτοὺς καὶ ἐκάκιζον· ἔπειτα δὲ*

---

*) Codd. omnes *Εὐλάμιος*. Cf. Suid. v. *πρέσβεις*.

ἑώρων ὡς τοιχωρύχοι τε πολλοὶ καὶ λωποδύται οἱ μὲν ἡλίσκοντο οἱ δὲ καὶ διελάνθανον, ἅπαν δὲ εἶδος ἀδικίας ἥμαρτάνετο. καὶ γὰρ οἱ δυνατοὶ τοὺς ἐλάττονας λυμαίνονται ὠμότητί τε πολλῇ χρῶνται κατ᾽ ἀλλήλων καὶ ἀπανθωπίᾳ, καὶ τὸ δὴ πάντων παραλογώτερον, ἐξὸν γὰρ ἑκάστῳ μυρίας ὅσας ἄγεσθαι γαμετάς, καὶ τοίνυν ἀγομένοις, ἀλλὰ μοιχεῖαί γε ὅμως τολμῶνται. τούτων δὴ οὖν ἁπάντων ἕκατι οἱ φιλόσοφοι ἐδυσφόρουν καὶ σφᾶς αὐτοὺς ᾐτιῶντο τῆς μεταστάσεως. 31. ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ διαλεχθέντες ἐψεύσθησαν τῆς ἐλπίδος ἄνδρα εὑρόντες φιλοσοφεῖν μὲν φρυαττόμενον, οὐδὲν δὲ ὅ τι καὶ ἐπαΐοντα τῶν αἰπυτέρων, ὅτι δὲ αὐτοῖς οὐδὲ τῆς δόξης ἐκοινώνει, ἕτερα δὲ ἄττα ἐνόμιζεν ὁποῖα ἤδη μοι εἴρηται[d], τήν τε τῶν μίξεων κακοδαιμονίαν οὐκ ἐνεγκόντες ὡς τάχιστα ἐπανῆεσαν. καίτοι ἔστεργέ τε αὐτοὺς ἐκεῖνος καὶ μένειν ἠξίου, οἱ δὲ ἄμεινον εἶναί σφισιν ἡγοῦντο ἐπιβάντες μόνον τῶν Ῥωμαϊκῶν ὁρίων αὐτίκα, οὕτω παρασχόν, καὶ τεθνάναι ἢ μένοντες παρὰ Πέρσαις τῶν μεγίστων γερῶν μεταλαγχάνειν. οὕτω τε ἅπαντες οἴκαδε ἀπενόστησαν χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου φιλοξενίᾳ. ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας οὐκ ἐν βραχεῖ τινὶ καὶ ἠμελημένῳ, ἀλλ᾽ ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος εἰς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν· ἐπειδὴ γὰρ κατ᾽ ἐκεῖνο τοῦ χρόνου Ῥωμαῖοί τε καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ ξυνθήκας, μέρος ὑπῆρχε τῶν κατ᾽ αὐτὰς ἀναγεγραμμένων τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας εἰς τὰ σφέτερα ἤθη κατιόντας βιοτεύειν ἀδεῶς τὸ λοιπὸν ἐφ᾽ ἑαυτοῖς, οὐδὲν ὁτιοῦν πέρα τῶν δοκούντων φρονεῖν ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους.

a) Incertum an hic Isidorus idem sit atque ille qui memoratur n. 544, qui appellatur Alexandrinus; Suid. v. *Συριανός*. Damascius vero et Simplicius iidem sunt, de quibus dictum est, hic commentariis suis in Aristotelem scriptis satis in historia philosophica nobilis. Exsulatio illa voluntaria, de qua narrat Agathias, incidit in a. 532 p. Chr. n. Cf. Zumpt in Comment. Acad. Berol. a. 1842, p. 59 sqq. — **b)** Nimias istas expectationes commoverat ut videtur inveterata illa opinio, orientem esse matrem ac sedem priscae sapientiae, a qua desciverint Graeci novatores. Cf. de Myster. Aeg. VII, 4, 5. *μεταβαλλόμενα ἀεὶ διὰ τὴν καινοτομίαν καὶ παρανομίαν τῶν Ἑλλήνων οὐδὲν παύεται· φύσει γὰρ Ἕλληνές εἰσι νεωτεροποιοὶ καὶ ᾄττοντες φέρονται πανταχῇ, οὐδὲν ἔχοντες ἔρμα ἐν ἑαυτοῖς οὐδ᾽ ὅπερ ἂν δέξωνται παρά τινων διαφυλάττοντες, ἀλλὰ καὶ τοῦτο ὀξέως ἀφέντες, πάντα κατὰ τὴν ἄστατον εὑρεσιλογίαν μεταπλάττουσι· βάρβαροι δὲ μόνιμοι τοῖς ἤθεσιν ὄντες καὶ τοῖς λόγοις βεβαίως τοῖς αὐτοῖς ἐμμένουσι.* — **c)** Scil. sacris Christianorum. Iustinianus, in

cuius regnum haec incidunt, paganos persequebatur philosophiaeque doctoribus stipendium ademit et scholas eorum interdixit. Zonar. Annal. Tom. III, p. 52 ed. Basil.; Ioann. Malal. Chronogr. XVIII, p. 184; 187. Oxon. *ἐπὶ δὲ τῆς ὑπατείας τοῦ αὐτοῦ Δεκίου ὁ αὐτὸς βασιλεὺς θεσπίσας πρόσταξιν ἔπεμψεν ἐν Ἀθήναις κελεύσας μηδένα διδάσκειν φιλοσοφίαν.* Decii consulatus incidit in a. 529 p. Chr. — **d)** In antecedentibus narraverat Chosroem, regem Persarum, Uranium philosophum Graecum secum habuisse hominem foedissimum, Scepticorum placita professum. Chosroes regnabat inde ab a. 531. Pacem, cuius h. l. mentio fit, cum Iustiniano pepigit a. 533.

I. INDEX FONTIUM.

Achillis Tatii Isagoge ad Arati Phaenomena.
Aeliani Historia Animalium.
— Varia Historia.
Agathemeri Compendium Geographiae.
Agathiae Historiae.
Albini Introductio ad Platonis dialogos.
Alexander Aphrodisiensis de Fato.
— — in Aristot. Analytica, ed. Ald. 1520.
Ammonius Hermiae in Aristotelis Categorias et de Interpretatione, ed. Ald. 1503.
— — in Porphyrii Isagogen, ed. Venet. 1500.
Anonymi Vita Platonis, ed. Westermann.
— Vita Aristotelis, ed. Westermann.
— Catalogus librorum Aristotelis, v. n. 299 not.
M. Antonini commentarii in se ipsum.
Appuleii Florida.
— de Deo Socratis liber.
— de Dogmate Platonis liber.
Aristophanis Nubes.
Aristoteles ex recensione Bekkeri.
— de Anima, rec. F. A. Trendelenburg.
— Metaphysica, rec. Bonitz.
— de Xenophane, Zenone et Gorgia, v. n. 134 not.
Aristoxeni Elementa Harmonica.
Arriani Dissertationes Epicteti.
Athenaei Deipnosophistae.
Athenagorae legatio pro Christianis.
Augustinus de Civitate Dei.
Bessarion adversus Calumniatores Platonis.
Boethius de Musica.
— in Aristotelis Categorias.

Carmen Aureum.
Cebetis Tabula.
Censorinus de Die Natali.
Ciceronis Opera, ed. Io. Casp. Orelli.
— libri de Finibus, rec. Io. N. Madvig.
Claudianus Mamertus de Statu Animae.
Clemens Alexandrinus, ed. Paris. a. 1641.
Cyrillus contra Iulianum, ed. Spanh.
Damascius de Principiis, ed. Kopp.
— in Platonis Parmenidem v. n. 546, not. b.
Demetrius de Elocutione.
Dionis Cassii Historia Romana.
Diodori Siculi Bibliotheca Historica.
— — Excerpta Valesiana.
— — Excerpta Vaticana.
Diogenis Laertii Vitae Philosophorum, rec. Cobet.
Dionysii Halicarnassensis Opera rhetorica et critica.
Epicteti Manuale.
Eunapii Vitae Philosophorum et Sophistarum.
Eusebii Praeparatio et Demonstratio Evangelica, ed. Colon. a. 1688.
— Historia Ecclesiastica.
— Chronicon, ed. Scaliger.
Eustathii Commentarii in Homerum.
M. Corn. Frontonis Reliquiae, ed. Niebuhr.
Galeni opera, ed. Kühn.
Gellii Noctes Atticae, rec. M. Hertz.
Georgii Syncelli Chronographia.
Heraclidis Allegoriae Homeri, ed. Gale.
Hermogenes de Generibus Dicendi.
Herodoti Historiae.
Hesychii Lexicon.
Hieronymus adversus Iovinianum.
— Catalogus Scriptorum Ecclesiae.
Hippolyti Refutatio Omnium Haeresium, rec. Duncker et Schneidewin.
Horatii Carmina et Epistolae.
Iamblichus de Vita Pythagorica.
— Adhortatio ad Philosophiam.
— in Institutiones Arithmeticas.
— de Mysteriis Aegyptiorum.
Ioannis Malalae Chronographia.
Ioannes Philoponus in Aristotelis Physica, ed. Venet. 1535.
— — in Aristot. de Generatione et Corruptione.
— — in Aristot.
Ioannis Stobaei Eclogae Physicae et Ethicae, ed. Heeren.
— — Florilegium, ed. Gaisford.
Iosephus contra Apionem.

Irenaeus adversus Haereses.
Isocratis Laus Busiridis.
Iustini Historiae.
Lactantii Divinae Institutiones.
Luciani Vitarum Auctio, de Parasito, Demonax.
Lucretius de Rerum Natura, rec. Bernays.
Macrobii Somnium Scipionis.
Marini Vita Proculi, ed. Boissonade.
Maximi Tyrii Dissertationes.
Nemesius de Natura Hominis, ed. Matthaei.
Nicomachi Institutiones Arithmeticae.
— Manuale Harmonices.
Olympiodori Vita Platonis, ed. Westermann.
— Comm. in Platonis Alcibiadem, ed. Creuzer.
— Comm. in Platonis Gorgiam.
— Comm. in Platonis Phaedonem, v. n. 527.
Origenes contra Celsum, ed. Spencer.
Ovidii Metamorphoses.
Pausaniae Descriptio Graeciae.
Philonis Opera, ed. Mangey.
Philostrati Vita Apollonii.
Photii Bibliotheca, rec. Bekker.
Platonis Opera, rec. C. F. Hermann.
Plinii Naturalis Historia.
Plinii Minoris Epistolae.
Plotini Enneades, rec. Creuzer, ed. Paris. a. 1855.
Plutarchi Vitae Parallelae, rec. Sintenis.
— Opera Moralia, rec. Dübner.
Iul. Pollucis Onomasticon.
Polybii Historiae.
— Excerpta Vaticana.
Porphyrius de Vita Pythagorae.
— de Vita Plotini, ed. Westermann.
— de Abstinentia ab Esu Animantium.
— de Antro Nympharum.
— ad Marcellam Coniugem Epistola.
— ad Anebontem Epistola, v. n. 523, not. f.
Porphyrii Sententiae ad Intelligibilia ducentes (in Plotino Creuzeri).
— Comm. in Ptolemaei Harmonica.
Proculus in Platonis Theologiam.
— in Platonis Timaeum, rec. Schneider.
— in Platonis Alcibiadem.
— in Platonis Parmenidem.
— in Euclidis Elementa, et Basil. 1533.
— Institutio Theologica (in Plotino Creuzeri).
Quintilianus de Institutione Oratoria.

Scholia in Aristophanis Nubes.
— in Aristotelem, ed. Brandis.
— in Dionysii Thracis Grammaticam, ed. Bekker (Anecd. Gr.)
— in Homerum.
— in Horatii Satiras et Artem Poeticam.
— in Iuvenalis Satiras.
— ined. in Platonis Phaedonem, v. n. 507 not.
L. Annaei Senecae Opera, ed. Ruhkopf.
M. Annaei Senecae Controversiae.
Sextus Empiricus ex rec. Bekkeri.
Simplicius in Aristotelis Categorias, ed. Basil.
— in Aristotelis Physica, ed. Ald.
— in Aristotelis de Coelo.
— in Aristotelis de Anima.
— in Epicteti Enchiridion.
Spartiani Vita Hadriani.
Stephani Byzantii Ethnica.
Strabonis Geographica.
Suetonii Vitae Imperatorum.
— de Illustribus Grammaticis.
— de Claris Rhetoribus.
Suidae Lexicon, ed. Bernhardy.
Taciti Annales et Historiae.
Themistii Orationes.
— Comm. in Aristotelis Analytica.
— Paraphrasis Aristotelis de Anima.
Theo Smyrnaeus de iis quae in Mathematicis ad Platonis lectionem utilia sunt.
Theologumena Arithmetica, ed. Ast.
Theophrasti Metaphysica, ed. Brandis.
— de Sensu et Sensibilibus, liber ed. Philippson: Ὑλη Ἀνθρωπίνη, Berol. 1831.
— Historia Plantarum.
Tzetzis Chiliades.
— Exegesis Iliadis.
— Prooemium in Iliadem ap. Metrangam Anecd. Gr. I.
Varro de Lingua Latina.
Vitruvius de Architectura.
Flav. Vopisci Vita Aureliani.
Xenophontis Memorabilia Socratis.
— Cyropaedia.
— Convivium.
Zonarae Annales.

II. INDEX TEMPORUM.

Septem Sapientes florent circa a. 600—580 *ante Christum natum.*
Thales floret circa a. 586.
Anaximander natus circa a. 610, annos 64 natus a. 547.
Anaximenes floret circa a. 548.
Xenophanes floret circa a. 538.
Pythagoras floret c. a. 540—510, temporibus Polycratis et Tarquinii Superbi.
Heraclitus floret circa a. 503.
Parmenides floret circa a. 503.
Anaxagoras Athenis philosophatus 480—450 obit annos 72 natus a. 428.
Diogenes Appolloniates floret post a. 468.
Zeno Eleates floret circa a. 464.
Philolaus floret circa a. 460.
Archelaus floret circa a. 450.
Protagoras floret circa a. 450—430.
Melissus floret a. 444, Samum contra Periclem defendit a. 440.
Empedocles floret circa a. 444.
Gorgias natus circa a. 485, floret circa 450—425, obit circa a. 380.
Democritus natus circa a. 460, floret a. 430—410, obit circa a. 357.
Prodicus floret circa a. 435.
Socrates natus a. 468, obit a. 399.
Xenophontis expeditio cum Cyro a. 401.
Euclides Megaricus floret a. 399.
Aristippus, Antisthenes, Aeschines } florent circa a. 400—365.
Archytas floret circa a. 400—365.
Plato natus a. 429, obit a. 347.
Aristoteles natus a. 384, obit a. 322.
Speusippus Academiae praeest a. 347—339.
Xenocrates „ „ a. 339—315.

Pyrrho Scepticus floret circa a. 335.
Diogenes Cynicus obit a. 323.
Theophrastus succedit Aristoteli a. 322, obit a. 287.
Aristoxenus floret circa a. 330—300.
Dicaearchus floret circa a. 326—287.
Polemo, Crantor, Crates florent circa a. 315.
Stilpo Megaricus floret a. 307.
Epicurus natus a. 341, obit a. 270.
Arcesilas floret a. 299—241.
Strato succedit Theophrasto a. 287.
Timo Phliasius floret a. 279.
Zeno Citieus floret circa a. 279, obit a. 263 aut a. 259.
Lyco succedit Stratoni a. 270, obit a. 226.
Cleanthes succedit Zenoni a. 263.
Chrysippus natus a. 280, obit a. 207.
Hieronymus Rhodius (n. 355, not. c) floret a. 250.
Carneades natus a. 213 obit a. 129.
Sotion Alexandrinus (n. 2) successionis philosophorum componit a. 205.
Hermippus vitas philosophorum componit a. 203.
Philosophi Roma eiecti a. 161.
Legatio philosophorum h. e. Diogenis Stoici, Critolai Peripatetici, Carneadis Academici Romam missa a. 155.
Apollodori Chronica exeunt in a. 145.
Antipater Tarsensis (n. 422 not.) Diogeni Stoico succedit a. 144.
Panaetius comes Scipionis Africani a. 143.
Clitomachus Carthaginiensis succedit Carneadi a. 129.
Philo Academicus floret a. 92, Romam fugit a. 88.
Antiochus Academicus floret Athenis a. 79, comes Luculli in Asia a. 74—67.
Posidonius Stoicus floret a. 86—62.
Sulla bibliothecam Apellicontis Romam transportat a. 84.
Aenesidemus Scepticus floret circa a. 80—50.
Zeno Epicureus floret a. 79.
Lucretius natus a. 95, obit a. 52.
Philodemus Epicureus floret Romae circa a. 50.
Cicero philosophiam libris variis illustrat a. 44.
Cratippus Peripateticus floret a. 44.
Sextius pater floret a. 45.
Sextius filius floret a. 1.
Philo Iudaeus floret a. 35, legatus ad Caligulam a. 40 *post Christum natum.*
Demetrius Cynicus floret circa a. 39—71.
Apollonius Tyanensis floret circa a. 45—97.
Seneca Neronem instituit a. 49, obit a. 65.
Musonius Stoicus floret a. 66—74.
Plutarchus floret circa a. 66—120.

[illegible]

Epictetus floret circa a. 90—118.
Favorinus floret circa a. 106—133.
M. Aurelius Antoninus natus a. 120, imperator a. 161—180.
Numenius floret circa a. 160—180.
Sextus Empiricus floret circa a. 175—205.
Alexander Aphrodisiensis floret a. 200.
Ammonius Saccas floret a. 200—242.
Plotinus natus a. 205, obit a. 270.
Porphyrius natus a. 233, floret a. 263—301.
Iamblichus floret circa a. 309—329.
Aedesius succedit Iamblicho circa a. 329, obit a. 355.
Plutarchus Nestorii Syrianus } florent Athenis a. 429.
Proculus natus a. 410, obit a. 485.
Ammonius Hermiae florent a. 500.
Boethius floret a. 510, obit a. 524.
Damascius floret a. 525.
Damascius, Simplicius, Eulalius apud Chosroem regem Persarum a. 532.
Anthemius, Isidorus florent a. 532.
Simplicii commentarius in Aristotelis Physica a. 536.
Io. Philoponus floret circa a. 617.

GOTHAE, FORMIS PERTHESIANIS.



